ΙΛΙΑΔΟΣ

ΣΤΡΑΤΗΓΙΚΗ ΔΙΑΣΚΕΥΗ

ΚΑΙ

ΤΟΠΟΓΡΑΦΙΑ

ΜΕΤΑ ΔΥΟ ΣΤΡΑΤΗΓΙΚΩΝ ΠΙΝΑΚΩΝ

ΥΠΟ

ΓΕΩΡΓΙΟΥ ΝΙΚΟΛΑΪΔΟΥ

ΚΡΗΤΟΣ



ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΑΔΕΛΦΩΝ ΠΕΡΡΗ

ΕΠΙ ΤΗΣ ΠΛΑΤΕΙΑΣ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ

1883

ΙΛΙΑΔΟΣ

ΣΤΡΑΤΗΓΙΚΗ ΔΙΑΣΚΕΥΗ

ΚΑΙ

ΤΟΠΟΓΡΑΦΙΑ

ΙΛΙΑΔΟΣ

ΣΤΡΑΤΗΓΙΚΗ ΔΙΑΣΚΕΥΗ

ΚΑΙ

ΤΟΠΟΓΡΑΦΙΑ

ΜΕΤΑ ΔΥΟ ΣΤΡΑΤΗΓΙΚΩΝ ΠΙΝΑΚΩΝ

ΥΠΟ

ΓΕΩΡΓΙΟΥ ΝΙΚΟΛΑΪΔΟΥ

ΚΡΗΤΟΣ



ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΑΔΕΛΦΩΝ ΠΕΡΡΗ

ΕΠΙ ΤΗΣ ΠΛΑΤΕΙΑΣ ΤΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ

1883


LIBRARY
JUN 23 1972
UNIVERSITY OF TORONTO

ΠΡΟΛΕΓΟΜΕΝΑ

ΠΕΡΙ ΟΜΗΡΟΥ. ΠΕΡΙ ΙΛΙΑΔΟΣ ΚΑΙ ΟΔΥΣΣΕΙΑΣ.

Ὑπόθεσις μὲν τῆς συγγραφῆς ἡ Ἰλιάδος στρατηγικὴ διασκευή, δι' αὐτῆς δὲ οὐ μόνον ἡ ἑνότης καὶ ἡ τοπογραφία τοῦ ποιήματος γενήσονται καταφανεῖς, ἀλλὰ καὶ νέαι ἐν αὐτῷ πηγαὶ θελγήτρων καὶ σοφίας ἀποκαλυφθήσονται. Ἀναγνωρισθείσης γὰρ τῆς χώρας ἐν ᾗ ἐπράχθησαν τὰ ἱστορούμενα καὶ ἐπιδειχθέντος τοῦ τρόπου δι' οὗ ἐφαρμόζονται αὐτῇ αἱ τῶν πολεμούντων στρατιωτικαὶ κινήσεις, ἡ Ἰλιάδος μελέτη καὶ εὐαρεστοτέρα καὶ χρησιμοτέρα ἀποβήσεται.

Καὶ ἀφ' οὗ μὲν χρόνου τὰ περὶ τοπογραφίας καὶ στρατηγικοῦ σχεδίου Ἰλιάδος γαλλιστὶ ἐξέδωκα (1), πολλοί, ἰδίως ἐν Γερμανίᾳ καὶ ἐν Γαλλίᾳ, ἀναγινώσκουσιν, ἢ διδάσκουσιν ἐπὶ τοῦ ἐμοῦ στρατηγικοῦ πίνακος τὴν

(1) *Topographie et plan stratégique de l'Iliade.* Avec une carte topographique et stratégique. Par M. G. Nicolaïdes, de l'île de Crète. Paris. Librairie de L. Hachette et Cie 1867.

Ἰλιάδα περιβαλλομένην οὕτως ἱστορικῆς συγγραφῆς περίβλημα καὶ δεσμοὺς ἑνότητος τέως ἀγνώστους, ἀπομένουσι δ' ἔτι προλήψεις τινες καὶ ἰδέαι ἐσφαλμέναι περί τε Ἰλιάδος καὶ τῶν ἡρωϊκῶν χρόνων. Βουλόμενος οὖν τὴν μὲν ἐπὶ τοῦ Τρωϊκοῦ πεδίου τῶν μαχῶν ἐφαρμογὴν εὐχερεστέραν ποιῆσαι, τὴν δὲ λαμπρότητα τῆς Ἰλιάδος καὶ τῶν ἡρωϊκῶν χρόνων ἐναργεστέραν, ἀντὶ ἑνὸς δύω πίνακας ἐνταῦθα ἀνήρτησα καὶ προλεγόμενα ἐν συντομίᾳ προέταξα, τὸν Ὅμηρον ἀεὶ ἡγεμόνα καὶ διδάσκαλον ἔχων.

Τίς δὲ ὁ τὴν Ἰλιάδα ποιήσας; πόθεν ἦν; πότε ἔζη; Εἰ μὴ ὅτι Ὅμηρος ὠνομάζετο οὐδὲν ἕτερον γινώσκομεν βέβαιον περὶ τοῦ ἀνδρὸς τοῦ θέλξαντος καὶ διδάξαντος τὴν Ἑλλάδα. Οὐδεὶς ἄνθρωπος ἴσως ἀφῆκεν ἐπὶ τῆς γῆς ἴχνη πλείονα καὶ μᾶλλον ἀρίδηλα τῶν Ὁμήρου· ἐν Ἰλιάδι οὔσῃ σχολῇ μεταφυσικῆς, καλλιτεχνίας, ποιήσεως, ῥητορικῆς, πολιτικῆς, ἀνατομίας, ἡ φύσις ὥρισε τὴν ἐφικτὴν ἀνάπτυξιν τῆς ἀνθρωπίνης διανοίας· ἀλλ' ὁ ποιητὴς ἔργου τοιούτου μένει σχεδὸν ἄγνωστος τοῖς νῦν. Οἱ μὲν γὰρ περὶ αὐτοῦ γράψαντες, ἀμφίβολα ὡς ἐπὶ το πολὺ ἢ μυθώδη εἶπον, αὐτὸς δὲ ἐν Ἰλιάδι οὐδὲν περὶ ἑαυτοῦ λέγει, οὔτε δ' ἐν Ὀδυσσείᾳ λέγεταί τι περὶ Ὁμήρου.

Κατὰ Θουκυδίδην (1) ποιητὴς τοῦ εἰς Ἀπόλλωνα ὕμνου ἐστὶν Ὅμηρος, ἐπιμνησθεὶς ἑαυτοῦ ὡς τυφλοῦ καὶ ἐν Χίῳ οἰκοῦντος, ἐν τοῖσδε τοῖς ἔπεσιν.

(1) Βιβλ. Γ'. Κεφ. 104.

« . . . . ἐμοῖο δὲ καὶ μετόπισθεν
» μνήσασθ', ὁππότε κέντις ἐπιχθονίων ἀνθρώπων
» ἐνθάδ' ἀνείρηται ξεῖνος ταλαπείριος ἐλθών·
» ὦ κοῦραι, τίς δ' ὔμμιν ἀνὴρ ἥδιστος ἀοιδῶν
» ἐνθάδε πωλεῖται καὶ τέῳ τέρπεσθε μάλιστα ;
» ὑμεῖς δ' εὖ μάλα πᾶσαι ὑποκρίνασθ' εὐφήμως·
» τυφλὸς ἀνήρ, οἰκεῖ δὲ Χίῳ ἐνὶ παιπαλοέσσῃ ».

Ἴσως δ' ἐκ τούτων καὶ Σιμωνίδης Χῖον λέγει τὸν Ποιητήν. Ὁ δὲ Wood, ὁμηριστὴς ἄριστος, ἄγγλος τὸ ἔθνος, ἀποδίδων τῷ ἐπιρρήματι π έ ρ η ν ἔννοιαν τοπικὴν συσχετικὴν τῷ γράψαντι τὸν ἑξῆς τοῦ καταλόγου στίχον.

« Λοκρῶν οἳ ναίουσι πέρην ἱερῆς Εὐβοίης ».

Ἰλ., Β, 535.

νομίζει τὸν Ὅμηρον ἴωνα εἶναι, ἢ τήν γε Ἰλιάδα ἐν Ἰωνίᾳ ποιῆσαι. Κατὰ Wood ὁ οὕτως ὁρίσας τὴν Λοκρίδα, ἐτύγχανεν ὢν πρὸς ἀνατολὰς τῆς Εὐβοίας, ὁρῶν πρὸς δύσιν, καὶ διὰ τῆς χειρός, οὕτως εἰπεῖν, δεικνύων Εὔβοιαν καὶ Λοκρίδα. Τὴν αὐτὴν δὲ καὶ ἡμεῖς νῦν ἀποδίδομεν ἔννοιαν τῷ πέραν, οἷον οἱ ἐν Ἀθήναις λέγομεν τὴν Ἐπίδαυρον κεῖσθαι πέραν Αἰγίνης, οἱ ἐν Σύρῳ τὴν Μύκονον πέραν Δήλου. Ἀλλ' Αἰσχύλος ὁ τοῖς χρόνοις Ὁμήρῳ πλησιέστερος, τὴν ἔννοιαν ἁπλῶς τοῦ ἄντικρυ ἀπονέμει τῷ πέραν, ποιῶν τοὺς Μυκηναίους λέγειν, πέραν Χαλκίδος εἶναι τὴν Αὐλίδα.

« Εὖτ' ἀπλοίᾳ κεναγγεῖ βαρύ-
» νοντ' Ἀχαιικὸς λεώς,
» Χαλκίδος πέραν ἔχων παλιρρό-
» θοις ἐν Αὐλίδος τόποις . . . . . » (1)

Οὔτε δ' αἱ συχναὶ καὶ πισταὶ περιγραφαὶ τοῦ λέοντος ἐν Ἰλιάδι εἰσὶ τεκμήρια τῆς ἐν Μικρᾷ Ἀσίᾳ γεννήσεως Ὁμήρου. Οὐ γὰρ πάντῃ Ἀσιανὸν ζῶον ὁ λέων, μηδαμᾶ φανεὶς ἐν Εὐρώπῃ, ὡς εἶπόν τινες ἐν οἷς καὶ Ἐμίλιος Βουρνούφ (2), ἐπιλαθόμενοι τῶν λεχθέντων περὶ τῶν ἐν Μακεδονίᾳ λεόντων ὑπὸ Ἡροδότου, διηγουμένου τὴν εἰς Ἑλλάδα τοῦ Ξέρξου πορείαν (Πολύμνια. § 125-126)· καὶ ὑπὸ Ξενοφῶντος ἐν τῷ κυνηγετικῷ (Κεφ. 11^ον^).

Οὐ μὴν ἀλλ' ἐκ τούτων πάντων καὶ ἐκ τοῦ χαρακτῆρος τῶν ἐπῶν καὶ ἐκ τῆς μαρτυρίας τῶν πάλαι, ὁμολογούντων ἐκ Μικρᾶς Ἀσίας κατὰ πρῶτον μετενεχθῆναι αὐτὰ εἰς τὴν Ἑλλάδα, πιθανή γε φαίνεται, εἰ μὴ βεβαία, ἡ ἐκεῖθι συγγραφὴ τῆς Ἰλιάδος καὶ ἡ Ὁμήρου γέννησις.

Ὁμοίως δ' ἀόριστοι εἰσὶ καὶ οἱ χρόνοι καθ' οὓς ὁ ποιητὴς ἔζη· τῷ μὲν γὰρ Ἡροδότῳ κατὰ τετρακόσια ἔτη δοκεῖ αὐτὸν πρεσβύτερον ἑαυτοῦ γενέσθαι (Εὐτέρπη § 53)· Θουκυδίδης δὲ «πολλῷ ὕστερον ἔτι καὶ τῶν Τρωϊκῶν γενόμενον» λέγει τὸν Ὅμηρον (Βιβλ. Α'. § 3). Τοῦτο εἰ-

(1) Αἰσχ. Ἀγαμέμνων στίχ. 188-191.
(2) Histoire de la litterature grecque. Tome 1^er^, page 79.

κάζουσι καί τινες τῶν καθ' ἡμᾶς ἐκ τῆς πρὸς τὰς Μούσας ἐπιφωνήσεως·

« Ἔσπετε νῦν μοι, Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι
» Ὑμεῖς γὰρ θεαί ἐστε, πάρεστέ τε, ἴστε τε πάντα,
» Ὑμεῖς δὲ κλέος οἶον ἀκούομεν, οὐδέ τι ἴδμεν ».
Ἰλ., Β, 484.

Ἀλλὰ τὰ ἐν Ἰλιάδι μετὰ τοσαύτης ζωηρότητος καὶ ἀκριβείας λέγονται, τοσοῦτον ὁ ποιητὴς συνταυτίζεται τῇ ἐποχῇ ἣν ἐξιστορεῖ, ὥστε δοκεῖ μοι διὰ τὴν πλησίασιν τῶν χρόνων μᾶλλον ἢ διὰ τὴν Ὁμήρου ἀγχίνοιαν τοῦτο συμβαίνειν.

—

Οἱ πλεῖστοι τῶν ἀρχαίων τοῦ αὐτοῦ ποιητοῦ νομίζουσιν εἶναι τήν τε Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν, ὡς καὶ οἱ καθ' ἡμᾶς. Ὀλίγη δ' ἐδόθη προσοχὴ ὑπὸ τῶν Ἀλεξανδρινῶν κριτικῶν τοῖς λεχθεῖσιν ὑπὸ τῶν χωριζόντων τὰ δύο ποιήματα, ὡς μὴ ὄντα Ὁμήρου ἀμφότερα. Μὴ προτιθέμενος δὲ τό γε νῦν λεπτομερῆ ποιῆσαι παραλληλισμόν, ἔρχομαι ὀλίγα μόνον εἰπεῖν ἐξ ὧν κρινάτω ἕκαστος ἂν ὁ Ὅμηρος, ὡς λέγεται, τὴν μὲν Ἰλιάδα ἐν τῇ ἀκμαίᾳ ἡλικίᾳ, τὴν Ὀδύσσειαν δὲ ἐν τῇ προβεβηκείᾳ ἐποίησεν, ἢ ἐὰν ἡ γλῶσσα καὶ τὰ ἤθη ἐν Ὀδυσσείᾳ ἐπιδει-

κνύουσιν ἐποχὴν μεταγενεστέραν καὶ ποιητὴν οὐχὶ τὸν αὐτὸν τῷ τῆς Ἰλιάδος.

Πρῶτον μὲν οὖν ἡ προσφώνησις τῇ Μούσῃ ἐν Ὀδυσσείᾳ γίνεται ὑπὸ ποιητοῦ μήπω ἐπιχειρήσαντος ἐποποιΐᾳ, θηρῶντος δὲ δόξαν ὑπ' ἄλλων προκεκτημένην.

« Τῶν ἁμόθεν γε, θεά, θύγατερ Διός, εἰπὲ καὶ ἡμῖν» ·

Δεύτερον δὲ ἡ μὲν Ὀδύσσεια ἐστὶ συγγραφὴ φαντασιώδης, πολὺ ἔχουσα τὸ μυθῶδες καὶ τὸ παράλογον, ἡ δ' Ἰλιὰς ἐστὶν ἱστορία ἐν ἔπεσιν, ἀνθρωπίνως καὶ ἐλλόγως περαινομένη. Εἶτα ἡ γλῶσσα ἐν Ὀδυσσείᾳ καί τοι τὰ πολλὰ ὁμοία οὖσα τῇ Ἰλιάδος γλώσσῃ, παρέχει ὅμως τεκμήρια περιττοτέρας μᾶλλον δ' εἰπεῖν, σχολαστικῆς καὶ νεανικῆς μελέτης· οἷον ἡ ἀπάντησις Ἡφαίστου πρὸς Ποσειδῶνα ἐξαιτούμενον τὴν Ἄρεως λύσιν ἀπὸ τῶν μετ' Ἀφροδίτης δεσμῶν καὶ ἐγγυώμενον τὴν ἀπότισιν τῆς διὰ τὴν ἀτιμίαν ποινῆς·

« Μή με, Ποσείδαον γαιήοχε, ταῦτα κέλευε·
» δειλαί τοι δειλῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι ».

Ὀδυσ., Θ, 350-351.

Η περὶ τα ὄνειρα γνώμη Πηνελόπης.

» Δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων.
» αἱ μὲν γὰρ κεράεσσι τετεύχαται, αἱ δ' ἐλέφαντι.
» τῶν οἱ μὲν κ' ἔλθωσι διὰ πριστοῦ ἐλέφαντος
» οἵ ῥ' ἐλεφαίρονται ἔπε' ἀκράαντα φέροντες »
'Οδ., Τ, 562·

Ἡ παραγωγικὴ ἐξήγησις τοῦ ἐπωνύμου τοῦ πτωχοῦ Ἀρναίου.

« Ἶρον δὲ νέοι κίκλησκον ἅπαντες,
» Οὕνεκ' ἀπαγγέλλεσκε κιὼν ὅτε πού τις ἀνώγοι
'Οδ., Σ, 6-7.

Ὁμοίως δὲ ἡ ἐτυμολογικὴ ἐξήγησις τοῦ ὀνόματος Ὀδυσσέως,

« Γαμβρὸς ἐμός, θυγάτηρ τε, τίθεσθ' ὄνομα ὅττικεν εἴπω
» πολλοῖσιν γαρ ἔγωγε ὀδυσσάμενος τόδ' ἱκάνω,
» ἀνδράσιν ἠδὲ γυναιξίν, ἀνὰ χθόνα πολυβότειραν
» τῷ δ' Ὀδυσσεὺς ὄνομα ἔστω ἐπώνυμον».
'Οδ. Τ, 406·

ἔτι δὲ τὸ ὄνομα Οὔτις δι' οὗ Ὀδυσσεὺς ἀπατᾷ τὸν Πολύφημον.

Οἱ ἀναγινώσκοντες τὰς δύο ἐποποιΐας ῥαδίως διακρίνουσι τῶν ἐν Ἰλιάδι περιγραφῶν τὴν ὑπεροχήν, ἣν τεκμηριοῦσι καὶ τὰ σωζόμενα ἔργα τῆς ἀρχαιότητος οἷον

ἀγάλματα, εἰκόνες ἐπὶ τοίχων, ἐπὶ κεράμων, ἐπὶ μετάλλων ἢ λίθων, ὡς ἐπὶ τὸ πολὺ ὑπὸ τῆς Ἰλιάδος τοῖς δημιουργοῖς ἐμπνευσθέντα.

Δια τὴν τελειότητα δὲ γλώσσης καὶ ἰδεῶν ἡ Ἰλιὰς ἦν διδάσκαλος τῆς πάλαι ὡς ἔδει καὶ τῆς νῦν Ἑλλάδος εἶναι· μιμηταὶ δ' αὐτῆς ἐνδοξότεροι, Σόλων, Ἡρόδοτος, Πλάτων. Θαυμάζονται μὲν ἐν τοῖς ἐπικοῖς καὶ ἄλλοι οἷοι, Οὐϊργίλιος, Τάσσος, Μίλτων, καίτοι μιμηταί, ἐνίοτε κατὰ γράμμα μεταφρασταὶ πολλῶν τῆς Ἰλιάδος ἐπῶν, ἀλλ' οὐδεὶς ποτε διήγειρε θαυμασμὸν καὶ ἡδονὴν οἷα Ὅμηρος. Τίς ἄλλος παρέστησεν ὡς ἡ Ἰλιὰς τὴν κίνησιν, αὔξησιν καὶ ῥῆξιν τῶν θαλασσίων κυμάτων τῶν ὑπο Ζεφύρου ἀνέμου ἐπὶ βράχων ὠθουμένων;

« Ὡς δ' ὅτ' ἐν αἰγιαλῷ πολυηχεῖ κῦμα θαλάσσης
» ὄρνυτ' ἐπασσύτερον Ζεφύρου ὑποκινήσαντος·
» πόντῳ μὲν τὰ πρῶτα κορύσσεται· αὐτὰρ ἔπειτα
» χέρσῳ ῥηγνύμενον μεγάλα βρέμει, ἀμφὶ δὲ τ' ἄκρας
» κυρτὸν ἐὸν κορυφοῦται, ἀποπτύει δ' ἁλὸς ἄχνην.

Ἰλ., Δ, 422.

ἢ τὸ ἐκτόξευμα τοῦ βέλους·

« Λίγξε βίος, νευρὴ δὲ μέγ' ἴαχεν, ἆλτο δ' ὀϊστὸς
» ὀξυβελὴς καθ' ὅμιλον ἐπιπτέσθαι μενεαίνων·

Ἰλ., Δ, 125.

Ἐκ τῶν πρὸ μικροῦ λεχθέντων περὶ τοῦ πτωχοῦ Ἀρναίου ἐπονομασθέντος Ἴρου διὰ τὸ ἰέναι καὶ ἀπαγγέλλειν ὅτε πού τις ἀνώγοι, φαίνεται ὁ τῆς Ὀδυσσείας ποιητὴς γινώσκειν τὴν Ἶριν ἀγγελιαφόρον εἶναι τῶν θεῶν, ὡς περιγράφει αὐτὴν ἡ Ἰλιάς· τίνος οὖν ἕνεκεν ἀντὶ Ἴριδος, ὁ Ἑρμῆς λέγεται ἐν Ὀδυσσείᾳ τῶν θεῶν ἄγγελος; Κατὰ μὲν τὴν Ἰλιάδα ὁ Ἥφαιστος τὴν Χάριτα ἔχει σύζυγον, κατὰ δὲ τὴν Ὀδύσσειαν, τὴν Ἀφροδίτην. Ἐν Ὀδυσσείᾳ Αἴολος φίλος ὢν τοῖς θεοῖς, γίνεται ὑπὸ Διὸς ταμίας τῶν ἀνέμων· ἐν Ἰλιάδι οἱ ἄνεμοι εἰσὶ θεοὶ ἔχοντες ἴδια οἰκήματα. Ὁ τῆς Ὀδυσσείας ποιητὴς ἀπονέμει ἔτι τῷ Διῒ τυπικῶς καὶ κατὰ μίμησιν τὰ ἐπίθετα ἅπερ εὗρεν ἐν Ἰλιάδι, ἀλλὰ φωρᾶται δημοκρατικώτερος εἶναι, περιγράφων ἡμῖν τὸν Δία ταπεινότερον, σχεδὸν ἴσον τῇ Ἀθηνᾷ καὶ Ποσειδῶνι, μηκέτι ἔχοντα τὸ ὕψος τοῦ ὑπερτάτου θεοῦ τῆς Ἰλιάδος, τοῦ διὰ νεύματος κινοῦντος τὸν Ὄλυμπον, οὗ τὴν εἴσοδον εἰς τὰ Ὀλύμπου δώματα ἐχαιρέτων ἀνιστάμενοι πάντες οἱ θεοί. Εἰ καὶ μήπω ἀκουόμεναι προμηνύονται ὅμως ἐν Ὀδυσσείᾳ αἱ ὕβρεις καὶ τὰ παράπονα κατὰ τῆς τυραννίας τοῦ Διός, ἣν διασύρει μετ' οὐ πολὺ ἀναφανδὸν Αἰσχύλος ἐν Προμηθεῖ χαριζόμενος τοῖς Ἀθηναίοις δημοκρατουμένοις. Ἐν μὲν τῇ Ἰλιάδι ὁ Ἀχιλλέως υἱὸς Νεοπτόλεμος ὑποτίθεται νεανίας, μὴ ἔχων πλείω τῶν δώδεκα ἐτῶν κατὰ τὸν χρόνον τῆς μήνιδος. Ἐν δὲ τῇ Ὀδυσσείᾳ φαίνεται ἴσος τὴν

μὲν φρόνησιν τῷ Νέστορι καὶ Ὀδυσσεῖ, τὴν δὲ ἀνδρίαν τοῖς ἀρίστοις τῶν Ἑλλήνων· πότε δὲ τοῦτο; ἓν ἔτος μετὰ τὴν μῆνιν τοῦ πατρὸς αὐτοῦ.

Καὶ ἡ τοῦ χρόνου καταμέτρησις ἐν μὲν τῇ Ἰλιάδι γίνεται ἀκριβής, ὡς ἐκτενέστερον ἐν τοῖς ἔπειτα ἐξηγήσομεν· ἐν δὲ τῇ Ὀδυσσείᾳ πρῶτον μὲν δυσκόλως ἐννοοῦμεν πῶς ἡ Ὀδυσσέως πλάνη διήρκεσε δέκα ἔτη (1). Εἶτα δὲ διατί ὁ Τηλέμαχος μένει τοσοῦτον χρόνον ἐν Λακεδαίμονι, καίτοι τῇ δευτέρᾳ ἡμέρᾳ τῆς ἐκεῖσε ἀφίξεως, ἀποποιηθεὶς τὴν πρόσκλησιν Μενελάου βουλομένου ξενίσαι αὐτὸν ἐπὶ ἕνδεκα ἢ δώδεκα ἡμέρας;

« ἀλλ' ἤδη μοι ἀνιάζουσιν ἑταῖροι
» ἐν Πύλῳ ἠγαθέῃ, σὺ δέ με χρόνον ἐνθάδ' ἐρύκεις.

'Οδ., Δ, 587.

Ἡ τελευταία μάλιστα φράσις δεικνύει τὸν Τηλέμαχον ἀθυμοῦντα καὶ διὰ τὰς δύο μόνον ἡμέρας καθ' ἃς ἐξενίζετο. Οὐ μὴν ἀλλὰ τὴν τρίτην ἡμέραν μετὰ τὴν εἰς Λακεδαίμονα Τηλεμάχου ἄφιξιν, ὁ Ἑρμῆς ἔρχεται παρὰ Διὸς εἰς Ὠγυγίαν καὶ λέγει τῇ Καλυψοῖ ἀποπέμψαι εἰς τὴν αὐτοῦ πατρίδα τὸν Ὀδυσσέα (2)· τὴν δ' ὑστε-

(1) Ὁ κύων Ἄργος μετὰ εἴκοσι ἐτῶν ἀπουσίαν ὡς ἴδε τὸν Ὀδυσσέα ἀπέθανεν. Ὀδυσ. Ρ. 326, ἄρα ἐπὶ δέκα ἔτη ἐπλανᾶτο ὁ τῆς Ἰθάκης βασιλεύς, κατὰ δὲ τὰ ἕτερα δέκα ἔτη ἐπολέμει ἐν Τροίᾳ.

(2) Ὀδ., Ε, 29-227.

ραίαν Ὀδυσσεὺς λαβὼν ἐργαλεῖα παρὰ τῆς θεᾶς ἐργάζεται ἡμέρας τέσσαρας καὶ κατασκευάζει σχεδίαν· τὴν δὲ πέμπτην (οὖσαν ὀγδόην ἀπὸ τῆς εἰς Λακεδαίμονα ἀφίξεως Τηλεμάχου) Ὀδυσσεὺς ἀναχωρεῖ (1). Πλεύσας δ' ἑπτακαίδεκα ἡμέρας ναυαγεῖ τὴν δεκάτην ὀγδόην· τὴν δ' εἰκοστὴν (οὖσαν εἰκοστὴν ὀγδόην ἀπὸ τῆς εἰς Λακεδαίμονα Τηλεμάχου ἀφίξεως) σώζεται εἰς Σχερίαν ὡς αὐτὸς διηγεῖται τὴν ἑπομένην ἡμέραν τῇ Ναυσικᾷ·

« Χθιζὸς ἐεικοστῷ φύγον ἤματι οἴνοπα πόντον ».

Ὀδ., Ζ, 170.

Τὴν δ' ἐπαύριον, οὖσαν εἰκοστὴν δευτέραν ἀπὸ τῆς ἐξ Ὠγυγίας ἀναχωρήσεως Ὀδυσσέως, τριακοστὴν δὲ ἀπὸ τῆς εἰς Λακεδαίμονα Τηλεμάχου ἀφίξεως, Ὀδυσσεὺς συσταίνεται πρὸς Φαίακας ὑπ' Ἀλκινόου (2). Ἀναχωρήσας δὲ τὴν ἑπομένην ἀφικνεῖται εἰς Ἰθάκην τὴν ἐπαύριον, ἤτοι τὴν τριακοστὴν δευτέραν ἡμέραν ἀπὸ τῆς εἰς Λακεδαίμονα ἀφίξεως Τηλεμάχου (3). Μέχρι τοῦδε ὁ Τηλέμαχος ξενίζεται ἔτι παρὰ Μενελάῳ, μείνας ὅλας δύω καὶ τριάκοντα ἡμέρας (4).

Πρὸς δὲ τούτοις οἱ Ὀδυσσέως ἑταῖροι πολλήν, κατ' ἐμέ,

(1) Ὀδ., Ε, 228-263.
(2) Ὀδ., Θ, 1-45.
(3) Ὀδ., Ν, 8-95.
(4) Ὀδ., Ν, 96-440.

εὐήθειαν δεικνύουσι νομίσαντες πλήρη χρυσοῦ ἢ ἀργύρου τὸν μαλακὸν καὶ ἐλαφρὸν ἀσκὸν τὸν δοθέντα Ὀδυσσεῖ ὑπ' Αἰόλου. Δυσεξήγητος δ' ἐστι καὶ ἡ ἐν τῇ νήσῳ Κίρκης ἐπιλησμοσύνη Ὀδυσσέως, λέγοντος ἀγνοεῖν πόθεν ἀνέτελλεν ὁ ἥλιος καὶ ποῦ ἦν ἡ Δύσις·

» Ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν ὅπῃ ζόφος οὐδ' ὅπῃ Ἠώς
» οὐδ' ὅπῃ Ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖαν,
» οὐδ' ὅπῃ ἀννεῖται.

Ὀδ. Κ. 190.

καίτοι ἀμέσως πρὸ τούτου διηγεῖτο πῶς ἐφ' ὅλης τῆς προτεραίας ἡμέρας, ἐν τῇ αὐτῇ χώρᾳ ἐδαίνυντο μέχρι δυσμῶν ἡλίου, μετὰ δὲ τὸ γεῦμα ἐκοιμήθησαν, ἅμα δ' ἐφάνη ἡ ῥοδοδάκτυλος Ἠὼς ἐποίησαν ἀγοράν! (1)

Πρόσθες τούτοις τὴν δι' ἐπῳδῆς στάσιν τοῦ αἵματος τῶν πληγῶν ἐν Ὀδυσσεία (2). Τὴν ἐν ταῖς ὁδοῖς περιπόλησιν τῶν πτωχῶν. Τελευταῖον δὲ τὸν φόνον τῶν μνηστήρων, ποινήν, κατ' ἐμέ, ὑπέρμετρον. Ἡ γὰρ πιθανότης τοῦ Ὀδυσσέως θανάτου ἐπιτρέποντος δεύτερον γάμον τῇ Πηνελόπῃ, δικαιολογεῖ κατά τι τοὺς μνηστῆρας πρὸς οὓς οὐδέποτε ἡ Πηνελόπη ἠρνήθη ἀλλ' ἀνέβαλλε τὸν γάμον.

(1) Ὀδ., Κ, 183—189.
(2) Ὀδ., Τ, 457.

« ἡ δ' οὔτ' ἀρνεῖται στυγερὸν γάμον, οὔτε τελευτὴν
» ποιῆσαι δύναται».

'Οδ., Α, 249.

Ἐν ἑνὶ λόγῳ ὁ μὲν τὴν Ἰλιάδα ποιήσας ἦν οἰκειότερος τῇ φύσει, πλήρης ζωῆς καὶ σοφίας, ἀμείνων τὴν καρδίαν, ἀποστρεφόμενος στάσεις καὶ πολέμους· ἐν δὲ τῇ Ὀδυσσείᾳ ἡ μὲν φύσις περιβάλλεται χρώματα ἐξίτηλα, ἡ δὲ κοινωνία μελάντερα.

Ἐν Ἰλιάδι τὰ φυσικὰ μάλιστα φαινόμενα μετὰ τοσαύτης ἐπιτυχίας ἐκφράζονται δι' ἐκλογῆς λέξεων καὶ συνθέσεως ἀμιμήτου, δι' ἐπιθέτων, διὰ μορίων ὧν οὐδὲν μάταιον (1), ὥστε παρίστανται πολλάκις τοῦ ἀληθοῦς ζωηρότερα, πολλῷ δὲ μᾶλλον τῶν διὰ μαρμάρου ἢ διὰ γραφῆς ἀπομιμήσεων· ἔστω καὶ πάλιν παράδειγμα ἡ τοῦ οἰστοῦ ἐκτόξευσις·

« ἕλκε δ' ὁμοῦ γλυφίδας τε λαβὼν καὶ νεῦρα βόεια
» νευρὴν μὲν μαζῷ πέλασεν, τόξῳ δὲ σίδηρον·
» αὐτὰρ' ἐπειδὴ κυκλοτερὲς μέγα τόξον ἔτεινεν,
» λίγξε βιός, νευρὴ δὲ μέγ' ἴαχεν, ἆλτο δ' ὀϊστὸς
» ὀξυβελὴς καθ' ὅμιλον ἐπιπτέσθαι μενεαίνων ».

Ἡ ζωγραφικὴ δεικνύει τὴν ἔντασιν τοῦ τόξου ἢ καὶ

(1) Ἔστω τεκμήριον ὁ γνωστὸς 446ος στίχος τῆς Ῥαψ. Ρ. « Οὐ μὲν γάρ τι πού ἐστιν ὀϊζυρώτερον ἀνδρός ».

τὸ ἅλμα τοῦ βέλους, οὐχὶ δὲ καὶ τὸν ἦχον αὐτοῦ τε τοῦ βέλους καὶ τῆς χορδῆς, οὔτε τὴν ἐνοικοῦσαν τῷ βέλει ἐπιθυμίαν, ὡς ἐμψύχῳ, τοῦ πεσεῖν ἐν τῷ ὁμίλῳ.

Πολλοὶ παλαιοί τε καὶ νέοι ἐμιμήθησαν ἐπὶ μαρμάρου ἢ διὰ γραφῆς τὸν θάνατον Λυκάονος ἐν τῷ Σκαμάνδρῳ· καὶ τὸν μὲν φόβον ἐξήγησαν, ἴσως καὶ τὸ φιλόζωον τοῦ Λυκάονος κρατοῦντος διὰ μιᾶς χειρὸς τὸ ῥιφθὲν κατ' αὐτοῦ καὶ ἐν γῇ ἐμπηχθὲν ἔγχος Ἀχιλλέως, διὰ δὲ τῆς ἑτέρας τῶν γονάτων αὐτοῦ. Οὐδέποτε ὅμως ζωγράφος ἢ γλύπτης ἐξήγησε το ἀμείλικτον τῶν Ἀχιλλέως λόγων καὶ τὴν ἐκ τούτων ἀλλοίωσιν τῆς ψυχῆς Λυκάονος, τὴν ἀδυσώπητον ὀργὴν τοῦ ἕλληνος ἥρωος κατὰ τῶν Τρώων, μάλιστα δὲ τὴν πρὸς τὸν βίον ὀλιγωρίαν μετὰ τὸν Πατρόκλου θάνατον.

Τοιούτων καὶ ἑτέρων ὁμοίων περιγραφῶν ἢ παρομοιώσεων, ἡ μὲν Ἰλιὰς πλήρης, ἐν δ' Ὀδυσσείᾳ σπανιώταται. Ἐκ δὲ τῶν αἰσθημάτων ἡ μὲν φιλοπατρία καὶ ἡ τῶν συγγενῶν πρὸς ἀλλήλους ἀγάπη ἰσοβαθμίως ἐν ἀμφοτέροις τοῖς ποιήμασιν ἐκφράζονται. Ἡ δ' Ἀχιλλέως φιλοτιμία καὶ εὐαισθησία διὰ τοῦ αὐτοῦ ἐξηγεῖται τρόπου, διὰ σιωπῆς ἐκφραστικωτάτης. Ἐν μὲν τῇ Ἰλιάδι, κατὰ τοὺς ἀγῶνας, τοῦ Ἀχιλλέως δόντος τῷ Νέστορι φιάλην ὡς ἐνθύμιον τῆς Πατρόκλου ταφῆς, ὁ Νέστωρ χαρεὶς λαμβάνει τὴν φιάλην καὶ ἐπαινεῖ τὸν Ἀχιλλέα· ὁ δ' Ἥρως ἀκούσας τοὺς ἐπαίνους πάντας τοῦ γηραιοῦ,

περιφέρεται ἐν τῷ πολλῷ ὁμίλῳ, εἶτα ἐπανελθὼν ἐξακολουθεῖ τὰ τοῦ ἀγῶνος τιθεὶς πυγμῆς ἆθλα·

« ὣς φάτο· Πηλείδης δὲ πολὺν καθ' ὅμιλον 'Αχαιῶν
» ᾤχετ' ἐπεὶ πάντ' αἶνον ἐπέκλυε Νηλείδαο·
» αὐτὰρ ὁ πυγμαχίης ἀλεγεινῆς θῆκεν ἄεθλα ».

'Εν 'Οδυσσείᾳ δὲ ἡ 'Αχιλλέως ψυχὴ ἀκούσασα παρ' 'Οδυσσέως τὰς ἐνδόξους Νεοπτολέμου πράξεις, διὰ μακρῶν βημάτων, ἐν σιγῇ, περιφέρεται κατὰ τὸν ἀσφοδελὸν λειμῶνα·

« Ὣς ἐφάμην· ψυχὴ δὲ ποδώκεος Αἰακίδαο
» φοίτα μακρὰ βιϐῶσα κατ' ἀσφοδελὸν λειμῶνα
» γηθοσύνῃ. ὅ οἱ υἱὸν ἔφην ἀριδείκετον εἶναι ».

ΠΕΡΙ ΤΡΩΙΚΩΝ ΧΡΟΝΩΝ

ΠΕΡΙ ΝΟΜΙΣΜΑΤΟΣ ΚΑΙ ΜΕΤΑΛΛΩΝ. ΑΙΤΙΑΣΕΙΣ ΑΔΙΚΟΙ. ΠΟΛΙΤΕΥΜΑ. ΘΡΗΣΚΕΙΑ. ΔΙΑΙΤΑ.

Οὐ μόνον δὲ τὴν φύσιν ὁ Ὅμηρος ἐν Ἰλιάδι ὡς οὐδεὶς ἄλλος ἐζωγράφησε διὰ χαρίτων φαντασίας ἐξόχου καὶ διὰ γλώσσης εὐτραπέλου καὶ ἡδείας, ἀλλὰ καὶ πάσας σχεδὸν τὰς ἀνθρωπίνους πράξεις τῶν χρόνων οὓς ἐξιστορεῖ, μετὰ τελειότητος καὶ σοφίας περιέγραψεν. Ἕνεκα τούτου οἱ πρόγονοι ἡμῶν εὑρίσκοντες καὶ τὸ ὠφέλιμον ἐν τῇ ἡδεῖ τῶν ἐπῶν, ἐμελέτων αὐτὰ μετ' ἐμβριθείας καὶ ἐθαύμαζον τὸν Ὅμηρον οὐ μόνον ὡς ποιητὴν ἀλλὰ καὶ ὡς ἱστορικὸν καὶ ὡς φιλόσοφον.

Ἄλλως τε δὲ ἡ Ἑλλὰς ἐπὶ τῶν Τρωϊκῶν ἀκμαία ἦν κατὰ πάντα καὶ ἰσχυρά, ὡς φαίνεται καὶ ἐκ τῶν ἠθῶν καὶ τῆς διαίτης, μάλιστα δ' ἐκ τοῦ πολέμου ὃν ἀπὸ κοινοῦ ἐπολέμησεν ὄντος τοῦ ἀξιολογωτέρου καὶ ἐνδοξοτέρου τῶν ἑλληνικῶν, οὐ μόνον τῶν προγενεστέρων, ὡς εἶπεν ὁ Θουκυδίδης (1), ἀλλὰ καὶ τῶν μεταγενεστέρων.

(1) Νομίζειν δὲ τὴν στρατιὰν ἐκείνην μεγίστην μὲν γενέσθαι τῶν πρὸ αὐτῆς, λειπομένην δὲ τῶν νῦν. Θουκύδ. Βιβλ. Α΄ § 10.

Ἀπὸ μὲν γὰρ τοῦ Τρωϊκοῦ πολέμου ὁ ἑλληνισμὸς ἐκτείνεται καὶ φέρει πανταχόσε τὴν τοῦ καλοῦ καὶ τῆς ἐλευθερίας λατρείαν, ἀπὸ δὲ τοῦ Πελοποννησιακοῦ (ὃν ὁ ἱστορικὸς Ἀθηναῖος εὑρίσκει μόνον ὑπερτεροῦντα τοῦ Τρωϊκοῦ), ἡ ἐξάντλησις καὶ ἡ παρακμὴ τῆς Ἑλλάδος ἄρχεται.

Ἐπεσκίασε δ' ἴσως οὐκ ὀλίγα τῶν χρόνων ἐκείνων ἡ τῆς Ἰλιάδος ποιητικὴ τελειότης ἡ καὶ πολλὰ λυσιτελῆ τοῦ ποιήματος ἐπισκιάσασα, τὸ μὲν ἕνεκα τῆς ῥαθυμίας τῶν ἀναγνωστῶν τῶν θηρώντων τὴν ἡδονὴν μᾶλλον ἢ τὴν ὠφέλειαν, τὸ δὲ διὰ τὴν ἄδικον κατὰ τῶν ποιητῶν πρόληψιν, ὡς κατὰ τὸ δοκοῦν πλαττόντων καὶ μεγαλυνόντων τὰ διηγούμενα. Δι' αὐτὸ δὴ τοῦτο τινες τῶν νεωτέρων μὴ προσέχοντες τὸν νοῦν τῇ ἐπὶ τῆς Ἑλληνικῆς φυλῆς ἐπηρείᾳ τῶν Τρωϊκῶν καὶ τῆς Ἰλιάδος, ἢ μὴ ἐννοήσαντες τὴν συγγραφὴν ἐν ᾗ κατοπτρίζεται ἡ ἀκμαιοτέρα τοῦ ἑλληνισμοῦ ἐποχή, εἶπον ἀρχαϊκοὺς καὶ βαρβάρους τοὺς χρόνους ἐκείνους. Ὁ πρίων ἦν ἄγνωστος τότε, εἶπεν ὁ Gillies, ἄρα βάρβαροι οἱ χρόνοι, ἐπιλαθόμενος μὲν τῶν ἐπιθέτων πριστός, νεόπριστος (2), διδομένων τῷ ἐλεφαντίνῳ ὀστῷ καὶ μαρτυρούντων τὴν τοῦ πρίωνος τότε χρῆσιν, μὴ ἐπιστήσας δὲ τὸν νοῦν τῇ περιβαλλομένῃ ταῖς τέχναις τιμῇ ἐν Ἰλιάδι, ἔνθα πολλὰ ἔργα λεπτομερῶς περιγράφονται καὶ ὀνόματα τεχνητῶν μνημονεύον-

(2) «Λευκοτέρην δ' ἄρα μιν θῆκε πριστοῦ ἐλέφαντος» Ὀδ. Σ. 196.
» .... κολεὸν δὲ νεοπρίστου ἐλέφαντος ἀμφιδεδίνηται». Ὀδ. Θ. 404.

ται ὡς ὑπ' αὐτῆς τῆς Ἀθηνᾶς διδαχθέντων. Ἐσχάτως δὲ ὁ ἀνθρωπολόγος Τάϋλωρ (E. B. Tylor. Anthropology. Σελὶς 266) μὴ ἐννοῶν διατὶ ὀπτοῖς μόνον κρέασιν οἱ Ἕλληνες ἐχρῶντο ἐν Τροίᾳ, μήτ' ἐνθυμηθεὶς τῶν ἐπῶν τῆς Ἰλιάδος (Φ. 362—363) ἐν οἷς περιγράφεται ἡ ἐν λέβητι ἕψησις χοιρείου κρέατος, ἀμφιβάλλει ἂν ἐγνώριζον τὴν τῶν ἑφθῶν ἐδεσμάτων χρῆσιν!

Οὐ μόνον δὲ ταῖς ἀναγκαίαις τέχναις ἐχρῶντο οἱ τότε ἀλλὰ καὶ ταῖς πρὸς ἀγαλλίασιν καὶ κόσμον, τῇ γλυπτικῇ, ζωγραφικῇ, τορευτικῇ, μουσικῇ. Τεκμήρια ἡ περιγραφὴ τῆς Ἀγαμέμνονος πανοπλίας (Ἰλ. Λ. 19—43), τοῦ ἅρματος Ἥρας, τῆς ἀσπίδος Ἀχιλλέως. Ἡ δὲ τοῦ πέπλου προσφορὰ ἐπὶ τῶν γονάτων Ἀθηνᾶς (Ἰλ. Ζ. 303), ἀγάλματος μαρτυρεῖ κατασκευήν. Καὶ ἡ ἐξομοίωσις δὲ τοῦ Ἀγαμέμνονος κατὰ μὲν τὰ ὄμματα καὶ τὴν κεφαλὴν τῷ Διΐ, κατὰ δὲ τὴν ζώνην τῷ Ἄρει, κατὰ δὲ τὸ στέρνον Ποσειδῶνι, ἀγάλματα γνωστὰ τῶν θεῶν τούτων ἐπιδεικνύει.

» . . . . μετὰ δὲ κρείων Ἀγαμέμνων
» ὄμματα καὶ κεφαλὴν ἴκελος Διῒ τερπικεραύνῳ
» Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι ».

Ἰλ. Β. 477.

Ὁ Ὅμηρος καὶ οἱ αὐτῷ σύγχρονοι ἑώρων ἐν τοῖς ναοῖς

τὰ τῶν θεῶν ἀγάλματα καὶ ῥαδίως ἀνεγνώριζον ἐκ τῶν χαρακτήρων τῶν ἀπονενεμημένων ἑκάστῳ ὑπὸ τῆς θρησκείας.

Ἐν τῷ Ἱπποδρόμῳ Βυζαντίου ἵσταται ὁ κομψὸς ἐκ χαλκοῦ τρικάρηνος ὄφις ἐφ' οὗ ἦν ποτε ὁ χρυσοῦς τρίπους ὁ ἀνατεθεὶς τῷ ἐν Δελφοῖς θεῷ ὑπὸ τῶν Ἑλλήνων μετὰ τὴν ἐν Πλαταιαῖς νίκην (1). Καὶ τὸ μὲν ὄνομα τοῦ χαλκεύσαντος τὸ Ἑλληνικῆς ἱστορίας καὶ τέχνης ἔνδοξον μνημεῖον ἀγνοοῦμεν, βλέποντες δὲ αὐτό, εὐθὺς ἀναμιμνησκόμεθα τῆς ἐν Ἰλιάδι περιγραφῆς τῆς δούσης τῷ δημιουργῷ τὴν ἰδέαν τοῦ ἔργου.

» Τῆς δ' ἐξ ἀργύρεος τελαμὼν ἦν· αὐτὰρ ἐπ' αὐτοῦ
» κυάνεος ἐλέλικτο δράκων, κεφαλαὶ δέ οἱ ἦσαν
» τρεῖς ἀμφιστρεφέες ἑνὸς αὐχένος ἐκπεφυεῖαι ».

Ἰλ. Λ. 38-40.

Ἡ δ' Ἀχιλλέως ἀσπὶς μόνον ἐκ μετάλλων καὶ διὰ πυρὸς ἐγένετο. Αἱ μέλαιναι ἄρα σταφυλαί, τὰ ἐντόσθια τῶν διεσπαραγμένων βοῶν, ἡ ἀροτριωμένη γῆ, ἥ, καίπερ χρυσῆ, ἐμελαίνετο ὄπισθεν τῶν ζευγῶν καὶ ὡμοίαζεν ἀρηρομένῃ, μαρτυροῦσι γνῶσιν τελείαν τῆς μεταλλουργίας.

(1) Ἡροδ. Καλλιόπη, § 81.

Περιγράφει δὲ Ὅμηρος τὴν εἰρημένην ἀσπίδα ὡς θεατής, ἔχων αὐτὴν πρὸ τῶν ὀφθαλμῶν οἱωνεὶ εἰκόνα. Τὰ ἐπ' αὐτῆς οὖν δύο τάλαντα χρυσοῦ τὰ προωρισμένα τῷ δικαστῇ ὃς δικαιότατα δικάσειεν, εἶχον σχῆμα ὡρισμένον καὶ τοῖς πᾶσι γνωστόν, ἴσως δὲ καὶ σημεῖον, ἐξ οὗ ἐγνωρίζοντο ὡς ἔχοντα βάρος καὶ τιμὴν ταλάντου.

» κεῖτο δ' ἄρ' ἐν μέσσοισι δύω χρυσοῖο τάλαντα
» τῷ δόμεν, ὃς μετα τοῖσι δίκην ἰθύντατα εἴποι ».
Ἰλ. Σ. 507.

Λεγομένων δὲ ταλάντων καὶ τῶν δίσκων τῆς πλάστιγγος (1), εἰκάζομεν τετράγωνον ἢ κυκλοτερὲς εἶναι τότε τὸ τάλαντον, τιμῆς δὲ πολὺ ἐλάσσονος τοῦ ταλάντου τῶν μετὰ ταῦτα χρόνων, ὡς ἐν τοῖς ἔπειτα δηλώσομεν.

Ἰδέαν δὲ νομίσματος παρέχουσιν ἡμῖν καὶ ὁ βοῦς καὶ τὰ ἐκ τοῦ βοὸς πολλαπλάσια, οἷον τεσσαράβοιος, ἐννεάβοιος, ἑκατόμβοιος, πρὸς ἃ συγκρίνεται ἐν Ἰλιάδι ἡ τιμὴ ἑτέρων πραγμάτων· ἀλλ' ἰδέαν νομίσματος ἐκ μετάλλου φέροντος σῆμα βοῦν, ἀξίας δ' ἐλλάσσονος τοῦ ζώου βοός. Ὥσπερ γὰρ ἡ ἑκατόμβη οὐκ ἦν θυσία βοῶν ἑκατόν, οὔτε ἰσότιμος τοσούτων βοῶν, ἀλλ' εὐτελεστέρας ἀξίας, οὕτω καὶ τὰ δυοδεκάβοιος, ἐννεάβοιος, ἑκατόμβοιος εἰς ὁμοίαν μονάδα ἀναφέρονται τὸν βοῦν, νόμισμα ἐκ μετάλλου

(1) Ἰλ. Μ. 433.

ὄντα, οὕτω δὲ καλούμενον διὰ τὸ φέρειν ἐπ' αὐτοῦ σῆμα βοός.

Αἱ μὲν οὖν ἑκατόμβαι ἦσαν θυσίαι οὐχὶ βοῶν ἑκατόν, ὡς εἶπόν τινες, οὔτε προβάτων ἑκατόν, ὡς ἕτεροι εἶπον, παράγοντες ἀτόπως τὴν λέξιν ἑκατόμβην ἀπὸ τοῦ βαίνω, βατός, βατόν, πρόβατον, οὐχὶ δ' ἐκ τῆς λέξεως βοῦς. Οὔτε γὰρ ἡ ἐν μιᾷ νηῒ σταλεῖσα τῷ Ἀπόλλωνι ἑκατόμβη μετὰ Χρυσηΐδος ἦν ἐξ ἑκατὸν βοῶν (Ἰλ., Α, 308)· οὔτε αἱ τελεσθεῖσαι τῷ αὐτῷ θεῷ ἐν τῷ ἑλληνικῷ στρατοπέδῳ ἑκατόμβαι ταύρων καὶ αἰγῶν (Ἰλ., Α, 315). Ἀλλ' οὔτε ἡ ὑπὸ Μηριόνου κατὰ τοὺς ἀγῶνας ὑποσχεθεῖσα τῷ Φοίβῳ ἦν ἐξ ἑκατὸν ἀρνῶν πρωτογόνων

« αὐτίκα δ' ἠπείλησεν ἑκηβόλῳ Ἀπόλλωνι
» ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην »·
Ἰλ., Ψ, 872.

ἀλλ' ἦσαν θυσίαι ἐξ ἀριθμοῦ βοῶν, ἀρνῶν ἢ αἰγῶν πολὺ ἐλάσσονος τῶν ἑκατόν. Καίτοι φιλότιμοι ὄντες οἱ τῆς Ἰλιάδος ἥρωες, φαίνονται ὅμως ἐν τῇ τῶν ἀγώνων ἐξιστορήσει φίλοι τῶν ἄθλων ὡς πραγμάτων χρησίμων καὶ πρὸς ἕτερα ἀνταλλασσομένων· ἔσοιτο οὖν δυσανάλογος ἡ Μηριόνου τῷ Φοίβῳ ὑπόσχεσις ἀρνῶν ἑκατόν, παραβαλλομένη πρὸς τοὺς δέκα σιδηροῦς πελέκεις οὓς ἐλάμβανεν ἆθλον εἰ ἔβαλε τὴν περιστεράν. Ἔτι δ' ἐναργέστερον τοῦτο

φαίνεται ἐκ τῆς ἑκατόμβης τῆς ὑποσχομένης τῇ Ἀθηνᾷ ἐν Ἰλίῳ κατὰ συμβουλὴν Ἑλένου ἀρίστου οἰωνοπόλου, οὔσης ἐκ δώδεκα βοῶν

« καὶ οἱ ὑποσχέσθαι δυοκαίδεκα βοῦς ἐνὶ νηῷ,
» ἤνις, ἠκέστας ἱερευσέμεν, αἴ κ' ἐλεήσῃ ».

'Ιλ., Ζ, 93·

Ἕκτωρ πεισθεὶς τῇ συμβουλῇ τοῦ ἀδελφοῦ Ἑλένου τοῦ ὁρίσαντος τὸν ἀριθμὸν τῶν πρὸς θυσίαν βοῶν, ἀποκαλεῖ ἑκατόμβην τὴν ἐκ δώδεκα βοῶν θυσίαν·

« δαίμοσιν ἀρήσασθαι, ὑποσχέσθαι δ' ἑκατόμβας ».

'Ιλ., Ζ, 111-115.

Ἄλλως τε δ' οὔσης γνωστῆς τῆς πλάστιγγος καὶ τῶν σταθμῶν ἐν χρήσει ὄντων.

« Ἀλλ' ἔχον ὥστε τάλαντα γυνὴ χερνῆτις ἀληθὴς
» ἥτε σταθμὸν ἔχουσα καὶ εἴριον ἀμφὶς ἀνέλκει
» ἰσάζουσ' ἵνα παισὶν ἀεικέα μισθὸν ἄρηται ».

'Ιλ . Μ, 433.

Πρὸς δὲ τούτοις γνωστῶν ὄντων τῶν μέτρων διά τε τὰ στεραιὰ καὶ τὰ ὑγρά, οἷον κέρατα ἑκκεδεκάδωρα, Ἰλ.,

Δ, 109, ἔγχος ἐνδεκάπηχυ, Ζ, 319, τέμενος πεντηκοντόγυον, Ι, 579, Ἄρης πεσὼν ἐπέσχεν ἑπτὰ πέλεθρα, Φ, 407, πυρὴ ἑκατόμπεδος, Ψ, 164, Οἴνου χίλια μέτρα, Η, 471, λέβης χωρῶν τέσσαρα μέτρα, Ψ, 268. Ὄντων, λέγω, γνωστῶν τῶν μέτρων καὶ σταθμῶν, καὶ τοῦ χρυσοῦ καὶ ἀργύρου πολυτρόπως ἐργαζομένων, ἡ ἐμὴ γνώμη περὶ ταλάντου καὶ βοὸς νομίσματος ἐνισχύεται ἔτι μᾶλλον.

Ἀμφισβητήσιμος οὖν ἡ τῆς μετοχῆς στήσας ἐξήγησις Εὐσταθίου λέγοντος «τεχνικὴν εἶναι τὴν λέξιν ἀντὶ τοῦ σταθμήσας» ἐν τῷ ἑξῆς στίχῳ Ἰλιάδος (Τ, 247).

« χρυσοῦ δὲ στήσας Ὀδυσσεὺς δέκα πάντα τάλαντα ».

Τὰ δέκα γὰρ ταῦτα τάλαντα τὰ Ἀχιλλεῖ προσφερόμενα, ὡς καὶ τὰ ἐπὶ τῆς ἀσπίδος δύο, ἦσαν οὐχὶ κόνις ἢ ψηφίδες χρυσοῦ, ἀλλὰ τεμάχια βάρος μὲν ὡρισμένον ἔχοντα, διὰ δὲ τῆς χώνης ἢ τῆς σφύρας εἰς σχῆμα στρογγύλον ἢ τετράπλευρον μεταβεβλημένα. Μᾶλλον οὖν ἡ μετοχὴ στήσας ἁπλῶς τοποθέτησιν σημαίνει τῶν ταλάντων ἐν σχήματι στήλης ὡς καὶ νῦν τὰ νομίσματα μετρούμενα τίθενται τὸ ἓν ἐπὶ τοῦ ἄλλου. Τὴν αὐτὴν ἔννοιαν ἔχει τὸ ἵστημι καὶ ἐν στίχῳ 745 Ῥαψ. Ψ, ἔνθα περιγράφεται ὁ ἀργυροῦς κρατὴρ ὁ ὑπὸ Πηλείδου ἆθλον ταχυτῆτος τεθείς.

« ἐπεὶ Σιδόνες πολυδαίδαλοι εὖ ἤσκησαν,
» Φοίνικες δ' ἄγον ἄνδρες ἐπ' ἠεροειδέα πόντον,
» στῆσαν δ' ἐν λιμένεσσι, Θόαντι δὲ δῶρον ἔδωκαν».

Δοθέντος τοῦ κρατῆρος ὡς δῶρον, ἡ στάθμησις ἦν ματαία καὶ ἄτοπος· ἡ φράσις ἄρα « στῆσαν δ' ἐν λιμένεσσι » σημαίνει θέσιν, ἔκθεσιν τοῦ κρατῆρος ἵνα οἱ λαοὶ ἴδωσι καὶ θαυμάσωσι τὸ δωρηθὲν ἔργον. Ὁμοίως καὶ ἐν τοῖς ἑξῆς τὴν αὐτὴν ἔχει ἔννοιαν τὸ ἵστημι.

« Οὐδ' εἴκεν δεκάκις τε καὶ εἰκοσινήριτ' ἄποινα
» στήσωσ' ἐνθάδ' ἄγοντες.

Ἰλ., X, 349.

Ὁ Ἀχιλλεὺς ἐν τοῖς ἐπὶ Πατρόκλῳ ἀγῶσι τίθησι τέταρτον μὲν ἆθλον ἁρματοδρομίας δύω τάλαντα χρυσοῦ·

« τῷ δὲ τετάρτῳ θῆκε δύω χρυσοῖο τάλαντα ».

Ἰλ., Ψ, 269.

τρίτον δ' ἆθλον ταχυτῆτος τίθησιν ἡμιτάλαντον χρυσοῦ (Ψ, 751) πρὸς ᾧ καὶ ἕτερον ἡμιτάλαντον προστίθησι χαριζόμενος Ἀντιλόχῳ.

« Ἀντίλοχ', οὐ μέν τοι μέλεος εἰρήσεται αἶνος,
» ἀλλά τοι ἡμιτάλαντον ἐγὼ χρυσοῦ ἐπιθήσω·
» ὡς εἰπὼν ἐν χερσὶ τίθει· ὁ δ' ἐδέξατο χαίρων ».

Ἰλ., Ψ, 795.

Καὶ τὸ ἡμιτάλαντον οὖν ὡς τὸ τάλαντον ἦν τεμάχιον χρυσοῦ σχήματος καὶ βάρους ὡρισμένων, ῥαδίως γνωριζόμενον, διδόμενον δὲ καὶ λαμβανόμενον ἄνευ σταθμήσεως· ἄλλως ἔδει τόν τε Ἀχιλλέα ἐν τοῖς ἀγῶσι καὶ πάντας τοὺς συναλλαττομένους ἐν ταῖς πόλεσι, φέρειν ἀεὶ μεθ' ἑαυτῶν πλάστιγγα καὶ σταθμὰ καὶ σφύραν καὶ ψαλίδα καὶ ἄκμονα ὅπως κόπτωσι καὶ σταθμίζωσι τὸν χρυσὸν καὶ τὸν ἄργυρον. Τὰ πολύτιμα ταῦτα μέταλλα, ὡς καὶ ὁ χαλκός, ὁ κασίττερος καὶ αὐτὸς ὁ σίδηρος λαμβανόμενα ἐκ τῶν μεταλλείων ἐχωνεύοντο, ἐκαθαρίζοντο καὶ ἐφυλάσσοντο εἰς τεμάχια ὡς καὶ νῦν, τὰ μὲν εἰς σχῆμα κανονικόν, ἐσταθμημένα, ἴσως δὲ καὶ σεσημασμένα οἷα τὸ τάλαντον, ἡμιτάλαντον καὶ βοῦς διὰ τὰς συναλλαγάς· τὰ δὲ εἰς ὀγκωδέστερα καὶ ἄσημα τεμάχια ἐξ ὧν ἀπέκοπτον κατὰ τὰς ἑκάστοτε ἀνάγκας τῶν ἐν τῷ βίῳ χρησίμων ὀργάνων ἢ κοσμημάτων, ὡς ὁ αὐτοχόωνος σιδηροῦς σόλος, ὃν προτίθησιν Ἀχιλλεὺς ἐν τοῖς ἀγῶσιν ὡς δίσκον ἅμα δὲ καὶ ἆθλον, ἱκανὸς ἐπὶ πέντε ἔτη παρέχειν τὸν ἀναγκαῖον σίδηρον πρὸς ἐπιδιόρθωσιν ποιμενικῶν καὶ γεωργικῶν ἐργαλείων τοῦ κτήματος τοῦ νικητοῦ.

« Εἴ οἱ καὶ μάλα πολλὸν ἀπόπροθι πίονες ἀγροί,
» ἕξει μιν καὶ πέντε περιπλομένους ἐνιαυτοὺς
» χρεώμενος· οὐ μὲν γάρ οἱ ἀτεμβόμενός γε σιδήρου
» ποιμήν, οὐδ' ἀροτὴρ, εἶσ' ἐς πόλιν ἀλλὰ παρέξει ».

Ἰλ., Ψ, 832.

Οἱ Ἀχιλλέως οὗτοι λόγοι εἰσὶ τεκμήριον καὶ τῆς ἐν τῇ ποιμενικῇ καὶ γεωργίᾳ χρήσεως τοῦ σιδήρου κατὰ τοὺς ἡρωϊκοὺς χρόνους, καὶ τῆς κοινωνικῆς προόδου χωρῶν ἐχουσῶν οὐ μόνον ἐν ταῖς πόλεσιν ἀλλὰ καὶ ἐν τοῖς ἀγροῖς τὴν σπουδαιοτέραν τῶν τεχνῶν, τὴν σιδηρουργίαν.

Νέστωρ δὲ θύων ἐν Πύλῳ τῇ Ἀθηνᾷ καλεῖ Λαέρκεα τὸν χρυσοχόον ὅπως περικαλύψῃ φύλλῳ σφυρηλατημένου χρυσοῦ τὰ κέρατα τοῦ θυσιασθησομένου βοός.

« Εἷς δ' αὖ χρυσοχόον Λαέρκεα δεῦρο κελέσθω
» ἐλθεῖν ὄφρα βοὸς χρυσὸν κέρασιν περιχεύῃ ».
Ὀδ., Γ, 425.

Ὁ χρυσοχόος ἔρχεται φέρων μεθ' ἑαυτοῦ ἐργαλεῖα·

« ἄκμονά τε σφύραν τ', εὐποίητόν τε πυράγραν ».

Ὁ Νέστωρ δίδει αὐτῷ χρυσὸν ὃν σφυρηλατήσας ἐφαρμόζει περὶ τὰ κέρατα τοῦ βοός, ἵνα ἡ θεὰ ἰδοῦσα τὸ θῦμα κεχρυσωμένον χαρῇ.

« . . . . γέρων δ' ἱππηλάτα Νέστωρ
» χρυσὸν ἔδωχ'· ὁ δ' ἔπειτα βοὸς κέρασιν περίχευεν
» ἀσκήσας, ἵν' ἄγαλμα θεὰ κεχάροιτο ἰδοῦσα ».

Τά τε οὖν ἐργαλεῖα καὶ ἡ ἐργασία μαρτυροῦσιν ὅτι ὁ

δοθεὶς ὑπὸ Νέστορος χρυσὸς ἦν οὐχὶ κόνις ἀλλὰ τεμάχιον κεχωνευμένου χρυσοῦ ὃν σφυρηλατήσας ἐπλάτυνεν καὶ περὶ τὰ κέρατα ἐφήρμοσεν. Οὕτως εἰσὶ περιτετυλιγμένα τὰ κέρατα τῆς κεφαλῆς τοῦ βοὸς τῆς ἐν τοῖς τάφοις Μυκηνῶν εὑρεθείσης καὶ ἐν τῷ Μουσείῳ Ἀθηνῶν ὁρωμένης. Τό γε τοίνυν τάλαντον καὶ ἡμιτάλαντον ἦσαν τεμάχια χρυσοῦ ἔχοντα βάρος καὶ σχῆμα ὡρισμένα καὶ γνωστά, ἔτι καὶ ἐν γραφῇ ἀναγνωριζόμενα ὡς τὰ ἐπὶ τῆς Ἀχιλλέως ἀσπίδος.

Αἱ μὲν πρῶται τῶν ἀνθρώπων συναλλαγαὶ μόλις εἰς ἥμερον βίον εἰσερχομένων γίνονται δι' ἀμέσου ἀνταλλαγῆς τῶν πραγμάτων ὧν ἔχουσιν ἀφθονίαν πρὸς ἃ σπανίζουσι. Προχωρούσης δὲ τῆς κοινωνίας, ἀλλ' ἀγνώστων ἔτι ὄντων τῶν μετάλλων καὶ τῆς κατεργασίας αὐτῶν, ἐξακολουθεῖ μὲν ἡ ἄμεσος ἀνταλλαγή, καταφαίνεται δὲ ἡ ἀνάγκη καὶ τῆς ἐμμέσου, γινομένης διὰ πράγματος διδομένου καὶ λαμβανομένου οὐ μόνον διὰ τὸ χρήσιμον αὐτοῦ, ἀλλὰ καὶ ὡς δυναμένου πρὸς ἄλλα πράγματα ἀνταλλαγῆναι, ὡς συμβόλου ἀλλαγῆς, ὡς νομίσματος οὕτως εἰπεῖν. Τὸ ἅλας, τὰ κατειργασμένα δέρματα, τὰ ὄστρεα ἢ κογχύλαι (χρήσιμα πρὸς κόσμον) εἰσὶ τὰ κοινότερα οἷς ἐχρήσαντο οἱ ἄνθρωποι ὡς συμβόλῳ ἀλλαγῆς καὶ νῦν ἔτι χρῶνται ἐν βαρβάρῳ κοινωνίᾳ. Εἶπον δέ τινες καὶ τοῖς βουσὶ χρήσασθαί ποτε τοὺς ἀνθρώπους ὡς συμβόλῳ ἀλλαγῆς ἀλλ' οὗτοι μόνον εἰς τὴν ἄμεσον ἀνταλ-

λαγὴν εἰσὶ πρόσφοροι, οὐδόλως δὲ ὡς σύμβολον ἀλλαγῆς, ὡς νόμισμα. Οὔτε γὰρ ὑποδιαιροῦνται, οὔτε ἄνευ φροντίδων καὶ ἐξόδων διατηροῦνται, ὑπόκεινται εἰς ἀσθενείας καὶ εἰς ἀέναον μεταβολήν. Ἅμα δὲ ἀνεκαλύφθησαν τὰ μέταλλα καὶ ἐγένοντο γνωσταὶ ἥ τε φύσις αὐτῶν καὶ κατεργασία, εὐθὺς καὶ ἀνεγνωρίσθησαν εἶναι πάντων τῶν ἄλλων πραγμάτων ἁρμοδιώτερα σύμβολα ἀλλαγῆς, διὸ καὶ τὸ ἐξ αὐτῶν νόμισμα παγκόσμιον ἐγένετο.

Ἐν τῇ ἡρωϊκῇ τοίνυν ἐποχῇ τὰ μὲν μέταλλα πάντα, μάλιστα δὲ τὰ πολυτιμώτερα, ἦσαν ἐν πολλῇ χρήσει, ἡ δὲ μεταλλουργία ἀκμαιοτάτη· τεκμήριον αἱ ἐν Ἰλιάδι περιγραφαὶ τοσούτων ἔργων ἐκ χρυσοῦ, ἀργύρου, χαλκοῦ· πανοπλιῶν, κόσμων γυναικείων, ποτηρίων, κρατήρων, πρὸ πάντων δὲ τῆς Ἀχιλλέως ἀσπίδος. Ἐνομίζετο δὲ ὁ χρυσὸς ὡς καὶ νῦν τὸ τιμιώτερον τῶν μετάλλων, ἐχρῶντο αὐτῷ, ὡς εἴδομεν, ἐν ταῖς τέχναις, ἐκόπτετο δὲ καὶ εἰς τεμάχια βάρους καὶ σχήματος ὡρισμένων ὀνομαζόμενα τάλαντα· μνημονεύεται δὲ καὶ ὑποδιαίρεσις ταλάντου τὸ ἡμιτάλαντον.

Οὐ μόνον δὲ ἡ μεταλλουργία ἀλλὰ καὶ πᾶσαι αἱ λοιπαὶ τέχναι ἠσκοῦντο ἐν τῇ ἡρωϊκῇ κοινωνίᾳ ὑπὸ τὴν αἰγίδα ἀρχῶν, βασιλέων, βουλῶν, δικαστῶν. Οἱ δὲ τότε Ἕλληνες ᾤκουν ὡς καὶ οἱ νῦν πολλὰς νήσους καὶ ἀπέραντα παράλια· εἶχον πολυάριθμα πλοῖα πρὸς πόλεμον καὶ πρὸς ἐμπόριον, συνεκοινώνουν δὲ καὶ δι' ἁμαξιτῶν

ἐδῶν καθ' ὅλην τὴν Ἑλλάδα· ὁ Μενέλαος ἀπὸ Λακεδαίμονος πέμπει ἐφ' ἁρμάτων εἰς Φθίαν τὴν ὑποσχεθεῖσαν εἰς γάμον θυγατέρα τῷ Ἀχιλλέως υἱῷ.

« τὴν ἄρ' ὅγ' ἔνθ' ἵπποισι καὶ ἅρμασι πέμπε νέεσθαι
» Μυρμιδόνων προτὶ ἄστυ περικλυτὸν οἷσιν ἄνασσεν ».
'Οδ., Δ, 8.

Ἦν ποτὲ δυνατὸν τοιαύτη κοινωνία ἔχειν ἔτι τὰ πρόβατα καὶ μάλιστα τὸν βοῦν ὡς νόμισμα; Ἠδύναντο οἱ δημιουργοί, οἱ χειρώνακτες ἐργάζεσθαι ἐπὶ πολλὰς ἡμέρας ἄνευ μισθοῦ ὅπως λάβωσι βοῦν ὅλον; Εἶτα δὲ πῶς ἠδύνατο ὁ λαβὼν βοῦν, ἀποδοῦναι τὰ ὀφειλόμενα τῷ ἀρτοπώλῃ, τῷ τέκτονι, τῷ ἰατρῷ, τῷ ὑποδηματοποιῷ; Τίς ἡ ὠφέλεια βοὸς ζῶντος τῇ τὰ ἔρια ἐργαζομένῃ γυναικὶ καὶ δι' εὐτελοῦς μισθοῦ τρεφούσῃ τὰ τέκνα;

« ἥτε σταθμὸν ἔχουσα καὶ εἴριον ἀμφὶς ἀνέλκει
» ἰσάζουσ', ἵνα παισὶν ἀεικέα μισθὸν ἄρηται ».
'Ιλ., Μ, 434.

Εἶτα πρὸς τί τὸ χρυσοῦν τάλαντον ἀξίας ἐλάσσονος τοῦ βοὸς κατὰ πολύ; πρὸς τί τὸ ἡμιτάλαντον, εἰ μὴ ἐχρῶντο αὐτοῖς πρὸς ἀμοιβὴν ὑπουργημάτων καὶ ἐργασίας, ἢ πρὸς ἀγορὰν τῶν ἀναγκαίων τῷ βίῳ; Τῷ τὴν

δίκην εὐθέως κρινοῦντι δικαστῇ δύω ἐκ χρυσοῦ τάλαντα ἦσαν προωρισμένα ὡς ἀμοιβή, οὐχὶ βοῦς ἢ βόες ζῶντες.

Οἱ εἰπόντες τὸν βοῦν εἶναι νόμισμα ἐν τοῖς ἡρωϊκοῖς χρόνοις ὀλίγον ἐσπούδασαν τὴν τότε κοινωνίαν, ὡς ποίημα μόνον ἀναγνόντες τὴν Ἰλιάδα. Οὕτως, δοκεῖ μοι, ἀνέγνω αὐτὴν καὶ Ἀδὰμ Σμὴθ καὶ περιέπεσεν εἰς ἀντίφασιν ἐν τῇ ἐξόχῳ συγγραφῇ αὐτοῦ «ἔρευναι περὶ φύσεως καὶ αἰτίων τοῦ τῶν ἐθνῶν πλούτου».

Καίτοι γὰρ μόνον ἐν χρόνοις βαρβάροις τὴν τῶν ζώων χρῆσιν ὡς σύμβολον ἀλλαγῆς παραδεχόμενος καὶ τὸ δύσχρηστον αὐτῶν ὁμολογῶν· «Καὶ ὅμως, λέγει, ἐν » τοῖς παλαιοῖς χρόνοις πολλάκις εὑρίσκομεν τὰ πράγ- » ματα τιμώμενα ἀντὶ ἀριθμοῦ ζώων διδομένων εἰς ἀν- » ταλλαγήν· τὰ μὲν Διομήδους ὅπλα, καθ' Ὅμηρον » ἐτιμῶντο ἀντὶ ἐννέα μόνον βοῶν, τὰ δὲ Γλαύκου ἀντὶ » ἑκατόν». (Κεφ. IV). Ἐκλαμβάνων τοὺς τότε Ἕλληνας βαρβαρωτέρους καὶ εὐηθεστέρους τῶν ἐχόντων τὸ ἅλας ὡς νόμισμα ἢ ἄλλων βαρβάρων ἐχόντων τῶν μὲν κογχύλας, τῶν δὲ φύλλα νικοτιανῆς (καπνοῦ), πολὺ εὐχρηστότερα τοῦ βοός. Ἐν τοῖς εἰρημένοις ὁ Ἀδὰμ Σμὴθ αἰνίττεται τὴν ἀνταλλαγὴν τῶν ὅπλων Γλαύκου πρὸς τὰ Διομήδους·

« ὃς πρὸς Τυδεΐδην Διομήδεα τεύχε' ἄμειβεν,
» χρύσεα χαλκείων, ἑκατόμβοι' ἐννεαβοίων.

Ἰλ., Z, 235.

Ἀλλ' ἀρκούντως ἐξηγήσαμεν τὴν ἔννοιαν τῶν ἐκ τῆς λέξεως βοῦς παραγομένων, ἰδίᾳ δὲ τῆς ἑκατόμβης, ὥστε ἐξεταστέα νῦν καὶ τὰ ἐν τοῖς ἀγῶσι λεγόμενα·

Ἐν μὲν οὖν τῷ τῆς πάλης ἀγῶνι Ἀχιλλεὺς τίθησιν ἆθλα τῷ μὲν νικητῇ τρίποδα ὃν οἱ Ἀχαιοὶ ἐν ταῖς πρὸς αὑτοὺς συναλλαγαῖς ἐτίμων ἀντὶ δώδεκα βοῶν, τῷ δὲ νικηθέντι γυναῖκα ἣν ἐτίμων ἀντὶ τεσσάρων·

« τῷ μὲν νικήσαντι μέγαν τρίποδ' ἐμπυριβήτην,
» τὸν δὲ δυωδεκάβοιον ἐνὶ σφίσι τῖον Ἀχαιοί·
» ἀνδρὶ δὲ νικηθέντι γυναῖκ' ἐς μέσσον ἔθηκεν,
» πολλὰ δ' ἐπίστατο ἔργα, τῖον δὲ ἑ τεσσαράβοιον ».

Ἰλ., Ψ. 702.

Ὁ βοῦς ὅθεν ἦν τιμῆς μονὰς πρὸς ἣν ἐλογίζετο ἡ τῶν ἄλλων πραγμάτων ἀξία, ἀλλ' οὐκ ἦν βοῦς ζῶν, ὡς καὶ ἀνωτέρω εἶπον, ἀλλὰ τεμάχιον μετάλλου φέρον βοῦν ἐντετυπωμένον. Καὶ ἐκ τῆς συγκρίσεως δὲ τῶν ἄθλων πρὸς ἄλληλα ἀποδείκνυται ἡ μονὰς αὕτη εἶναι τιμῆς ἐλάσσονος τοῦ ἀληθοῦς καὶ ζῶντος βοός. Ἐξεταζομένων γοῦν κατὰ τάξιν πάντων τῶν προβαλλομένων ἄθλων ἐναργὴς φαίνεται ἡ βαθμηδὸν ἐλάττωσις αὐτῶν κατὰ τοὺς ὀκτὼ ἀγῶνας· οἷον τὸ πρῶτον ἆθλον τῆς ἁρματοδρομίας (γυνὴ καὶ τρίπους δυωκαιεικοσίμετρος) ἦν μεῖζον τοῦ πρώτου ἄθλου (ἡμίονος ἑξέτις) τῆς πυγμῆς, ἤτοι τοῦ δευτέρου τὴν τάξιν ἀγῶνος· τοῦτο δὲ πάλιν μεῖζον

τοῦ πρώτου τῆς πάλης ἄθλου (τρίπους ἐμπυριβήτης), καὶ οὕτω καθεξῆς μέχρι τοῦ ὀγδόου ἀγῶνος οὗ τὸ πρῶτον ἆθλον ἦν ἔγχος. Ἐκ τῶν ὀκτὼ οὖν πρώτων ἄθλων μεῖζον ἦν τὸ τοῦ πρώτου ἀγῶνος, τῆς ἁρματοδρομίας, γυνὴ καὶ τρίπους χωρῶν δύο καὶ εἴκοσι μέτρα, ἐλάχιστον δὲ τὸ ἔγχος, ἆθλον τοῦ ὀγδόου καὶ τελευταίου ἀγῶνος.

Ὁμοίως δὲ ἐν ἑκάστῳ ἀγῶνι τὸ πρῶτον ἆθλον ἦν μεῖζον τοῦ δευτέρου, περίπου τρίς, ἂν κρίνωμεν ἐκ τῶν ἄθλων τῆς πάλης ὧν τὸ πρῶτον (ὁ τρίπους) ἐτιμᾶτο δυωδεκάβοιον, τὸ δὲ δεύτερον (ἡ γυνὴ) τεσσαράβοιον.

Ἔχοντες οὖν ἐν τῷ νῷ τὰ προλεχθέντα εὑρήσομεν τὸ δεύτερον ἆθλον τοῦ δρόμου, ἀγῶνος τετάρτου τὴν τάξιν, μεῖζον εἶναι κατὰ πολὺ τοῦ δευτέρου ἄθλου τοῦ ὀγδόου καὶ τελευταίου ἀγῶνος. Ποῖον δὲ ἦν τὸ δεύτερον ἆθλον τοῦ δρόμου; βοῦς ἀληθής, μέγας καὶ παχύς.

« δευτέρῳ αὖ βοῦν θῆκε μέγαν καὶ πίονα δημῷ ».

Ἰλ., Ψ, 750.

Ποῖον δὲ τὸ δεύτερον ἆθλον τοῦ τελευταίου ἀγῶνος; λέβης ἄ ξ ι ο ς β ο ό ς.

« καδ' δὲ λέβητ' ἄπυρον β ο ὸ ς ἄ ξ ι ο ν ἀνθεμόεντα ».

Ἰλ., Ψ, 885.

Ποῖα δὲ ἦσαν τὰ πρῶτα ἆθλα τῶν δύω τούτων ἀγώνων; τοῦ μὲν δρόμου ἦν καλὸς ἀργυροῦς κρατὴρ ἓξ μέτρα χωρῶν ὑπὸ Σιδονίων δὲ ἐργασθείς.

« ἀργύρεον κρητῆρα, τετυγμένον· ἓξ δ' ἄρα μέτρα
» χάνδανεν, αὐτὰρ κάλλει ἐνίκα πᾶσαν ἐπ' αἶαν
» πολλόν· ἐπεὶ Σιδόνες πολυδαίδαλοι εὖ ἤσκησαν.

Ἰλ., Ψ, 741.

Τοῦ δὲ ἀκοντίου, ἁπλοῦν ἔγχος·

« Αὐτὰρ Πηλείδης κατὰ μὲν δολιχόσκιον ἔγχος ».

Ἰλ., Ψ, 884.

Οὐδείς, οἶμαι, ἀμφισβητήσει τὴν μὲν τοῦ κρατῆρος ἀξίαν μείζονα εἶναι τῆς τοῦ ἔγχους τὴν δὲ τοῦ ἀληθοῦς βοὸς μείζονα τῆς τοῦ λέβητος ὃν οἱ Ἕλληνες ἐτίμων ἀντὶ βοός· ἆρα ὁ βοῦς οὗτος ὁ τελευταῖος οὐκ ἦν ὅμοιος καὶ ἰσότιμος τῷ βοῒ ζώῳ, ἀλλ' ἦν τεμάχιον μετάλλου φέρον τύπον βοός, ἀξίας δ' ἐλάσσονος κατὰ πολὺ τοῦ ζώου βοός. Πρὸς μείζονα δ' εὐκρίνειαν παρατίθενται ἐνταῦθα κατὰ τάξιν οἵ τε ἀγῶνες καὶ τὰ ἑκάστου ἆθλα.

Ἐκ τῆς αὐτῆς δὲ κατατάξεως καὶ συγκρίσεως τῶν ἄθλων πρὸς ἄλληλα φαίνεται καὶ ἡ τοῦ τότε ταλάντου ἀξία πολὺ ἐλάσσων εἶναι τῆς τοῦ ταλάντου τῶν μετέπειτα χρόνων.

Πρῶτος ἀγών. Ἁρματοδρομία. . .	Ἆθλα	α'. γυνὴ καὶ τρίπους. β'. ἵππος ἑξέτις. γ'. λέβης. δ'. δύο τάλαντα χρυσοῦ. ε'. φιάλη ἀμφίθετος.
Δεύτερος. Πυγμαχία	»	α'. ἡμίονος ἐτῶν ἕξ. β'. δέπας ἀμφικύπελλον.
Τρίτος. Πάλη	»	α'. τρίπους δυοδεκάβοιος. β'. γυνὴ τεσσαράβοιος.
Τέταρτος. Δρόμος.	»	α'. κρατὴρ ἀργυροῦς. β'. βοῦς μέγας καὶ παχύς γ'. ἡμιτάλαντον χρυσοῦν.
Πέμπτος. Μονομαχία μέχρις αἵματος.	»	α'. φάσγανον καὶ ἥμισυ πανοπλίας. β'. τὸ ἕτερον ἥμισυ πανοπλίας.
Ἕκτος. Δίσκου.	»	σόλος σιδηροῦς.
Ἕβδομος. Τόξου	»	α'. δέκα πελέκεις. β'. δέκα ἡμιπέλεκα.
Ὄγδοος. Ἀκοντίου	»	α'. δόρυ ἢ ἔγχος. β'. λέβης βοὸς ἄξιος.

Ἐξετάσωμεν δὲ νῦν καὶ τὰ ἐπιχειρήματα τῶν λεγόντων μὴ ἔχειν τοὺς Ἕλληνας κατὰ τὰ Τρωϊκὰ νόμισμα ἐκ μετάλλου ἀλλ' ἀντὶ τούτου τοῖς βουσὶ χρῆσθαι ἐν ταῖς συναλλαγαῖς.

Πρῶτον ἐπιχείρημα. « Οἱ Ἕλληνές, φασιν, ἐν τῷ παρὰ τὸν Ἑλλήσποντον στρατοπέδῳ ἠγόραζον τὸν οἶνον τὸν ἐκ Λήμνου ἐρχόμενον διδόντες ἀντ' αὐτοῦ οἱ μὲν χαλκόν, οἱ δὲ σίδηρον, ἄλλοι δέρματα βοῶν, ἄλλοι αὐτοὺς τοὺς βόας, ἄλλοι ἀνδράποδα, (Ἰλ., Η, 472)· ἄρα οὐκ εἶχον νόμισμα ἐκ μετάλλου». Ἀλλ' ἐνταῦθα ἡ ἀνταλλαγὴ γίνεται ἐν γένει διὰ πραγμάτων πρὸς πράγματα ἐν οἷς καὶ βόες. Ἡ τοιαύτη δ' ἀνταλλαγὴ ἐπεβάλλετο ὡς ἀναγκαία καὶ συμφέρουσα τοῖς τε ὠνουμένοις καὶ τοῖς πωλοῦσι· συμφέρουσα μὲν τοῖς Ἕλλησι τοῖς ἔχουσιν ἀφθονίαν πραγμάτων καὶ αἰχμαλώτων διανεμομένων αὐτοῖς ὡς λεία μετὰ τὰς λεηλασίας καὶ ἐκπορθήσεις τῶν ἐν Τροίᾳ χωρῶν καὶ πόλεων πλουσίων καὶ ἐφόρων· συμφέρουσα δὲ καὶ τοῖς Λημνίοις ἐμπόροις διαπραττομένοις διὰ μιᾶς δύο ἐμπορικὰς πράξεις καὶ μεγάλα κέρδη κτωμένοις διὰ τῆς ἐν Λήμνῳ ἢ ἀλλαχοῦ πωλήσεως τῶν λαμβανομένων πραγμάτων ἐκ τοῦ ἑλληνικοῦ στρατοπέδου. Οἱ γὰρ στρατιῶται ἐν πολέμῳ, ἀγνοοῦντες εἰ ζήσειεν τὴν αὔριον, καὶ διὰ τὸ δυσβάστακτον τῶν ἐκ τῆς λεηλασίας, ραδίως καὶ ἄνευ ἀκριβοῦς ἐκτιμήσεως δίδουσι τὰ τῆς λείας μερίδια ἀντὶ ἄλλων ἐν τῷ παραχρῆμα αὐτοῖς χρησίμων, μάλιστα δὲ ἀντὶ οἴνου.

Κατὰ τὸν Κριμαϊκὸν πόλεμον πολλοὶ κέρδη ἐκτήσαντο μεγάλα, φέροντες εἰς Κριμαίαν οἶνον, πνευματώδη ποτά, καπνὸν καὶ ἄλλα τοῖς στρατιώταις ἀρεστά, λαμβάνοντες δὲ ἀντ' αὐτῶν πράγματα, ἐνίοτε πολύτιμα, ἐν ταῖς ἑαλωκείαις πόλεσιν εὑρεθέντα.

Μὴ ἐρχομένων δὲ καθ' ἑκάστην ἡμέραν εἰς τὸ Ἑλληνικὸν στρατόπεδον πλοίων φερόντων οἶνον, ἐξηγεῖται καὶ τῶν βοῶν καὶ τῶν ἀνδραπόδων ἡ δόσις, ἀνθ' ὧν πολλὰ μέτρα οἴνου ἐλάμβανον. Ἀναγκαία δὲ ἦν ἡ ἄμεσος ἀνταλλαγὴ καὶ ἐν χρόνοις μεταγενεστέροις καὶ ἐν εἰρήνῃ, διὰ τὸ μὴ ἔχειν πάσας τὰς πόλεις νόμισμα ὁμοίως γνωστὸν καὶ χρήσιμον, ὡς ἐν ἀρχῇ τοῦ «πόροι ἢ πρόσοδοι» λέγει Ξενοφῶν. «Ἀλλὰ μὴν καὶ τοῖς ἐμπόροις ἐν μὲν » ταῖς πλείσταις τῶν πόλεων ἀντιφορτίζεσθαί τι ἀνάγκη· » νομίσμασι γὰρ οὐ χρησίμοις ἔξω χρῶνται».

Δεύτερον ἐπιχείρημα. «Μὴ ἐχόντων τῶν Ἑλλήνων νόμισμα πρὸ τοῦ Φείδωνος, τοῦ πρώτου κόψαντος αὐτὸ ἐν Ἑλλάδι, ἕπεται μὴ ἔχειν αὐτοὺς νόμισμα οὐδ' ἐπὶ τῶν Τρωϊκῶν».

Ἀλλ' Ἡρόδοτος πρῶτος λαλῶν περὶ Φείδωνος τυράννου Ἀργείων, λέγει μόνον μέτρα ποιῆσαι αὐτόν. «Φείδωνος δὲ τοῦ τὰ μέτρα ποιήσαντος Πελοποννησίοισι». Ἐρατώ. § 127. Τὴν καθαρὰν δὲ μαρτυρίαν Ἡροδότου, ἀγνοῶ πῶς παρεξήγησάν τινες καὶ εἶπον «μὴ ἔχειν νόμισμα τοὺς Ἕλληνας πρὸ τοῦ Φείδωνος τοῦ πρώτου κό·

ψαντος αὐτὸ ἐν Ἑλλάδι». Ἄλλως τε δὲ ὁ Ἡρόδοτος, ὁ κατὰ πάντα τὴν Ἰλιάδα μιμηθεὶς ἐν τῇ αὐτοῦ συγγραφῇ, καλῶς ἐγίνωσκεν ὅτι μέτροις καὶ σταθμοῖς ἐχρῶντο οἱ Ἕλληνες ἐπὶ τῶν Τρωϊκῶν· λέγων οὖν «Φείδωνος τοῦ τὰ μέτρα ποιήσαντος Πελοποννησίοισι» ἐννοεῖ τὰ μέτρα τὰ ἐν χρήσει τότε, κατὰ τοὺς χρόνους αὐτοῦ τοῦ Ἡροδότου, ἐν Πελοποννήσῳ. Οὕτω, λέγοντες τὴν Ἐθνικὴν Συνέλευσιν (Convention Nationale) ποιῆσαι τὰ μέτρα καὶ σταθμὰ ἐν Γαλλίᾳ, οὐκ ἐννοοῦμεν μὴ ἐσχηκέναι τοὺς Γάλλους μέτρα καὶ σταθμὰ πρὸ τοῦ 1793 ἔτους.

Εἶτα ὁ Φείδων οὗτος ἦν σύγχρονος τῷ Κροίσῳ καὶ τῷ Σόλωνι· ὁ γὰρ υἱὸς αὐτοῦ Λεωκήδης ὁ εἰς Σικυῶνα ἐλθὼν ὡς μνηστὴρ Ἀγαρίστης τῆς Κλεισθένους θυγατρός, ἦν ὁμῆλιξ τῷ ἐξ Ἀθηνῶν ὁμοίως εἰς Σικυῶνα ἐλθόντι Μεγακλεῖ υἱῷ Ἀλκμαίωνος τοῦ ὑπὸ Κροίσου εἰς Σάρδεις μεταπεμφθέντος καὶ λαβόντος δῶρον τόσον χρυσὸν ὅσον ἠδύνατο «τῷ ἑαυτοῦ σώματι ἐξενείκασθαι ἐσάπαξ». Ἡροδ. Ἐρατώ. § 125-127.

Λέγει δέ που Δημοσθένης τὸν Σόλωνα πρὸς τοὺς δικαστὰς εἰπεῖν «ὅτι νόμος ἦν ἁπάσαις, ὡς ἔπος εἰπεῖν ταῖς » πόλεσιν, ἐάν τις τὸ νόμισμα διαφθείρῃ θάνατον τὴν » ζημίαν εἶναι ». Δημοσθ. κατὰ Τιμοκράτους.

Φαίνεται οὖν ἐκ τούτων πολὺ πρὸ τοῦ Σόλωνος ἔχειν τοὺς Ἕλληνας νόμισμα ὡς καὶ ἐκ τῶν λεγομένων ὑπὸ Ξενοφῶντος ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ (Κεφ. Ι. 5).

« Πρῶτον μὲν γὰρ νόμισμα τοιοῦτον κατεστήσατο (Λυ-
» κοῦργος) ὃ δέκα μνῶν μόνον ἂν εἰς οἰκίαν εἰσελθὸν
» οὔποτε δεσπότας οὔτε οἰκέτας λάθοι· καὶ γὰρ χώρας
» μεγάλης καὶ ἁμάξης ἀγωγῆς δέοιτ' ἄν ». Οὐκ ἀναχρονίζει ἄρα Πλούταρχος τ' αὐτὰ περίπου εἰπὼν ἐν βίῳ Λυκούργου. Οὔτ' ἐν Θησέως βίῳ ἀναχρονίζει λέγων τὸν Θησέα κόψαι νόμισμα καὶ ἐγχαράξαι αὐτῷ βοῦν. Εὑρέθησαν δέ, κατὰ τὸν ἡμέτερον Ρουσόπουλον, πρό τινων ἐτῶν ἐν Ἀττικῇ νομίσματα φέροντα κεφαλὴν βοὸς ἅπερ εἰκότως νομίζει παλαιότερα τῆς ἡλικίας Σόλωνος (1). Προφανῶς τοίνυν ἡ τῆς Πάρου ἐπιγραφὴ παραχρονίζει περὶ Φείδωνα, συγχέουσα τοῦτον ἑτέρῳ ἴσως ὁμωνύμῳ ἀλλὰ κατὰ κατὰ πολὺ πρεσβυτέρῳ.

Ὁ μὲν οὖν χρυσὸς ἦν τὸ πολυτιμώτερον τῶν μετάλλων, τιμήεις λεγόμενος ὑπὸ τοῦ Ποιητοῦ (Ἰλ. Σ, 475) καὶ ἐρίτιμος (Ι, 126)· ἐχρῶντο δ' αὐτῷ ἐν τῷ ἐσωτερικῷ τῶν μεγάρων κόσμῳ ὡς ἐκ τῆς περιγραφῆς τῶν Μενελάου ἐν Ὀδυσσείᾳ γίνεται δῆλον, ἐν ταῖς πανοπλίαις, ἐν πολλοῖς σκεύεσι καὶ γυναικῶν κοσμήμασι καὶ ὡς συμβόλῳ ἀλλαγῆς.

Ὁ δ' ἄργυρος ἦν δεύτερος τὴν τιμήν, ἐχρῶντο δ' αὐτῷ σχεδὸν πάντη ὁμοίως τῷ χρυσῷ, ἐνίοτε δὲ καὶ ἀμφοτέροις ὁμοῦ ἐπὶ τοῦ αὐτοῦ ἔργου. Μνημονεύεται δὲ καὶ μεταλλεῖον ἀργύρου ἐν Ἰλιάδι Β, 857.

(1) Ἐγχειρίδιον Ἑλλην. Ἀρχαιολογίας σελ. 261.

Ὁ δὲ Χαλκὸς ἦν μὲν ἴσως ἐν χρήσει πρὸ τοῦ σιδήρου ἐν Ἑλλάδι, τῆς λέξεως «χαλκεὺς» προηγηθείσης καὶ σημαινούσης καὶ τὸν σιδηρουργόν, κατὰ δὲ τοὺς ἡρωϊκοὺς χρόνους ἀμφότερα ἦσαν κοινὰ καὶ χρήσιμα· ἀμφότερα ἐσκληρύνοντο διὰ βαφῆς ἀλλ' ἀνεγνωρίζετο ἡ τοῦ σιδήρου ὑπεροχή, διὸ ὁ Ποιητὴς τὰ σκληρὰ σώματα καὶ τοὺς σκληροὺς τὴν καρδίαν σιδήρῳ παραβάλλει. Κατεσκευάζοντο δ' ἐκ χαλκοῦ ὅπλα, χύτραι, κρατῆρες καὶ πολλῶν τεχνῶν ὄργανα (1).

Ὁ δὲ σίδηρος αἴθων καὶ πολιὸς διὰ τὸ χρῶμα καλούμενος, πολύκμητος δὲ διὰ τὴν σκληρότητα, ἰόεις δὲ διὰ τὸ φθείρεσθαι μᾶλλον τῶν ἄλλων μετάλλων ὑπὸ τοῦ ἰοῦ, ἦν κοινὸς καὶ χρήσιμος ὁμοίως τῷ χαλκῷ ἐν τῇ ἡρωϊκῇ ἐποχῇ. Κατεσκεύαζον δ' ἐξ αὐτοῦ οὐ μόνον πελέκεις, ὡς τινὲς τῶν καθ' ἡμᾶς εἶπον, ἀλλὰ καὶ τὰ ποιμενικὰ καὶ γεωργικὰ ὄργανα (Ἰλ., Ψ, 832)· καὶ τὰς αἰχμὰς τῶν βελῶν.

« ἕλκε δ' ὁμοῦ γλυφίδας τε λαβὼν καὶ νεῦρα βόεια·
» νευρὴν μὲν μαζῷ πέλασεν, τόξῳ δὲ σίδηρον ».

Ἰλ., Δ, 123.

Καὶ οἱ πελέκεις ὁμοίως ἐκ σιδήρου ἐγίνοντο καὶ τὰ ὄργανα δι' ὧν τὰ δένδρα ἐκόπτοντο, οἷον ἡ αἴγειρος·

(1) Ἄξιον δὲ σημειώσεως ὅτι ἔτι καὶ νῦν ἐν πολλαῖς τῆς Ἑλλάδος χώραις χαλκεὺς ἢ χαλκίας λέγεται ὁ σιδηρουργός.

« τὴν μὲν θ' ἁρματοπηγὸς ἀνὴρ αἴθωνι σιδήρῳ
» ἐξέταμ' . . . . . . ».

'Ιλ., Δ, 485.

καὶ

« Αὐτὰρ ὁ τοξευτῆσι τίθει ἰόεντα σίδηρον
» κὰδ δ' ἐτίθει δέκα μὲν πελέκεας δέκα δ' ἡμιπέλεκκα ».

'Ιλ., Ψ, 850.

Καὶ τὰ ρόπαλα, ὡς ὅπλα.

« Ἀλλὰ σιδηρέῃ κορύνῃ ῥήγνυσκε φάλαγγας ».

Ιλ., Η, 141.

Καὶ αἱ μάχαιραι οἷον·

» δείδιε γὰρ μὴ λαιμὸν ἀποτμήξειε σιδήρῳ ».

'Ιλ., Σ, 34.

καὶ

« Πολλοὶ μὲν βόες ἀργοὶ ὀρέχθεον ἀμφὶ σιδήρῳ,
» σφαζόμενοι . . . . . . ».

'Ιλ., Ψ, 30.

Καὶ οἱ τῶν ἁμαξῶν ἄξονες.

« Ἥβη δ' ἀμφ' ὀχέεσσι θοῶς βάλε καμπύλα κύκλα
» χάλκεα, ὀκτάκνημα, σιδηρέῳ ἄξονι ἀμφίς ».

'Ιλ., Ε, 722·

Καὶ τὰ σκέπαρνα ὡς ἐν τοῖς ἑξῆς τῆς Ὀδυσσείας στίχοις ἐν οἷς περιγράφεται καὶ ἡ τοῦ σιδήρου βαφή.

« Ὡς δ' ὅτ' ἀνὴρ χαλκεὺς πέλεκυν μέγαν ἠὲ σκέπαρνον
» εἰν ὕδατι ψυχρῷ βάπτῃ μεγάλα ἰάχοντα,
» φαρμάσσων· τὸ γὰρ αὖ τε σιδήρου γε κράτος ἐστίν ».
Ὀδ., I, 391-.

Τόσῳ δ' ἦν κοινὴ τότε ἡ τοῦ σιδήρου χρῆσις εἰς κατασκευὴν ὅπλων, ὥστε ἐν Ὀδυσσείᾳ ἡ λέξις σίδηρός ἐστι συνώνυμος τῇ λέξει ὅπλῳ.

« αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος ».
Ὀδ., Τ, 13.

Οὕτως εἶπε καὶ Θουκυδίδης «ἐν τοῖς πρώτοις δὲ Ἀθηναῖοι τόν τε σίδηρον κατέθεντο» ἀντὶ τοῦ εἰπεῖν τὰ ὅπλα.

Μνημονεύεται δ' ἐν Ὀδυσσείᾳ καὶ ἐξαγωγὴ σιδήρου ἀπὸ τῆς Ἑλλάδος εἰς τὴν ἀλλοδαπὴν ἐκεῖθεν δὲ εἰσαγωγὴ χαλκοῦ εἰς Ἑλλάδα.

« Μέντης Ἀγχιάλοιο δαΐφρονος εὔχομαι εἶναι
» υἱός, ἀτὰρ Ταφίοισι φιληρέτμοισιν ἀνάσσω,
» νῦν δ' ὧδε ξὺν νηῒ κατήλυθον ἠδ' ἑτάροισιν,
» πλέων ἐπὶ οἴνοπα πόντον ἐπ' ἀλλοθρόοις ἀνθρώποις,
» ἐς Τεμέσην μετὰ χαλκόν, ἄγω δ' αἴθωνα σίδηρον ».
Ὀδ., Α, 180.

Μνημονεύει δὲ ἐν τοῖς μετάλλοις Ὅμηρος καὶ τοῦ κυάνου ὃν καλεῖ μέλανα.

« τοῦ δ' ἤτοι δέκα οἶμοι ἔσαν μέλανος κυάνοιο,
» δώδεκα δὲ χρυσοῖο καὶ εἴκοσι κασσιτέροιο ».

Ἰλ., Λ, 24.

Ἐν δ' Ὀδυσσείᾳ (Η, 86-) περιγραφομένου τοῦ δώματος Ἀλκινόου.

« χάλκεοι μὲν γὰρ τοῖχοι ἐρηρέδατ' ἔνθα καὶ ἔνθα,
» ἐς μυχὸν ἐξ οὐδοῦ· περὶ δὲ θριγκὸς κυάνοιο ».

Ἦν δ' ὁ κύανος, ὡς φαίνεται, οὐχὶ ἁπλοῦν μέταλλον ἀλλὰ κρᾶμα ἐκ δύω ἢ πλειόνων μετάλλων, χρώματος σκοτεινοῦ, μεταξὺ κυανοῦ καὶ μέλανος· τοῦτο δὲ εἰκάζομεν καὶ ἐκ τοῦ ἐπιθέτου κυάνεος, οἷον κυανῶπις Ἀμφιτρίτη (Ὀδ., Μ, 60) κυανόπρωρος ναῦς (Ἰλ., Ο, 693) κυανοχαίτης Ποσειδῶν (Ἰλ., Ν, 563). κυανόπεζα τράπεζα (Ἰλ., Λ, 628), μάλιστα δὲ ἐκ τῶν ἑξῆς·

« Ὣς ἄρα φωνήσασα κάλυμμ' ἕλε δῖα θεάων
» κυάνεον, τοῦ δ' ὄυτι μελάντερον ἔπλετο ἔσθος ».

Ἰλ., Ω, 93.

Πρὸς δὲ τούτοις ἦσαν ἐν χρήσει ὁ κασσίτερος (Ἰλ., Λ, 25) καὶ ὁ μόλυβδος (Λ, 237, Ω, 80).

Μνημονεύεται δέ, ἀλλὰ μόνον ἐν Ὀδυσσείᾳ τρίς, τὸ

ἤλεκτρον, οὐχὶ τὸ ἐκ χρυσοῦ καὶ ἀργύρου κρᾶμα, ὅπερ πάντῃ ἄγνωστον τῷ Ὁμήρῳ, ἀλλ' ἡ γνωστὴ φυτικὴ ῥητινώδης οὐσία ἡ ἀπὸ τῶν δένδρων ὡς τὸ κόμμι προερχομένη, σκληρυνομένη δὲ ὑπὸ τὴν γῆν καὶ τὰ ὕδατα, στιλπνὴ καὶ διαφανὴς ἐπὶ πολὺν χρόνον διατηρουμένη. Διακρίνονται δὲ ἐν αὐτῇ καὶ ἄνευ ἐνίοτε μικροσκοπίου, ἔντομα πτερωτά, ψυχαί, μείνασαι κεκολλημέναι ἐπ' αὐτῆς, ρευστῆς καὶ ἰξώδους ἔτι οὔσης, ἀπολιθωθεῖσαι δὲ σὺν αὐτῇ. Μαρτυρεῖ δὲ τὴν ἀπὸ παλαιοῦ χρῆσιν τοῦ ἠλέκτρου τούτου ἐν ταῖς τέχναις, ἡ ἀνακάλυψις πολλῶν κοσμημάτων ἠλεκτρίνων ἐν τάφοις ἀρχαιοτάτοις. Καὶ κατὰ τὰς τρεῖς δὲ περικοπὰς τῆς Ὀδυσσείας τὸ ἤλεκτρον παρατίθεται ἢ συνδέεται τῷ χρυσῷ. Ὁ Τηλέμαχος εἰσελθὼν εἰς τὰ Μενελάου ἀνάκτορα θαυμάζει.

« χαλκοῦ τε στεροπὴν κὰδ δώματα ἠχήεντα
» χρυσοῦ τ' ἠλέκτρου τε καὶ ἀργύρου ἠδ' ἐλέφαντος » (1).

Ἐπειδὴ δὲ τὸ ἤλεκτρον μέταλλον, ἐστὶν ὅμοιον τῷ χρυσῷ κατὰ τὸ χρῶμα καὶ οὐδεὶς δύναται διὰ τῆς ὁράσεως μόνον διακρίναι τὸ ἓν τοῦ ἄλλου, ἕπεται τὸ ἐν τοῖς ἀνακτόροις Μενελάου ἤλεκτρον μὴ εἶναι μέταλλον ἀλλὰ τὴν γνωστὴν φυτικὴν καὶ ῥιτηνώδη οὐσίαν.

(1) Δ, 71. Μᾶλλον δ' ἐν μεσογείοις τὸ ἤλεκτρον εὑρίσκεται, διὰ δὲ τῶν πλημμυρούντων ποταμῶν φέρεται εἰς τὰ παράλια.

Αἱ δύω ἕτεραι περικοπαὶ περιγράφουσι ὁμοίως ὅρμους χρυσοῦς μετὰ ἠλέκτρων ἁρμονιζομένους, ὥσπερ ἔτι καὶ νῦν παρ' ἡμῖν καὶ τοῖς Ἀσιανοῖς ἁρμονίζονται οἱ ὅρμοι οἱ ἐξ ἠλέκτρων, οἱ κοσμοῦντες τοὺς λαιμοὺς ἢ καρποὺς τῶν γυναικῶν.

» χρύσεον ὅρμον ἔχων, μετὰ δ' ἠλέκτροισιν ἔερτο.
'Οδ., Ο. 460.

καὶ

» Ὅρμον δ' Εὐρυμάχῳ πολυδαίδαλον αὐτίκ' ἔνεικεν,
» χρύσεον, ἠλέκτροισιν ἐερμένον ἠέλιον ὥς. »
'Οδ., Σ. 295.

Ὁ Wood καὶ Gladstone ἀμφότεροι θαυμασταὶ τῆς Ἰλιάδος, ἀντιφάσκοντες πρὸς ἑαυτοὺς καὶ ἀσυνεπεῖς γινόμενοι ἐτόλμησαν εἰπεῖν τὸν Ὅμηρον ἀδαῆ τῆς ἀριθμητικῆς καὶ μὴ διακρίνοντα τὰ χρώματα, ὡς ἂν οἱ λογάριθμοι καὶ ἡ διὰ τοῦ πρίσματος ἀνάλυσις τῶν ἡλίου ἀκτίνων ἦσαν τῶν ὧν οὐκ ἄνευ ἐν πάσῃ συγγραφῇ. Καίτοι ὁ Ὅμηρος ἐν Ἰλιάδι, πλέον τῶν ἄλλων ἐποποιῶν εἰσάγων ἀριθμοὺς ἀφαιρεῖ τεχνηέντως τὸ ἄχαρι αὐτῶν καὶ ξηρόν. Καὶ τὰ χρώματα δὲ διακρίνει καὶ πρὸς ἁρμονίαν ἐκλέγει ἐν ταῖς περιγραφαῖς τοῦ δίφρου Ἥρας, τοῦ Ἀγαμεμνονίου θώρακος, τῆς Ἀχιλλείου ἀσπίδος. Ἰδίᾳ δὲ ὁ ἱστὸς ἐν ᾧ ἡ Ἑλένη ἐνέπασσε Τρώων καὶ Ἀχαιῶν

ἄθλους, μαρτυρεῖ ἰχνογραφίας καὶ ζωγραφικῆς γνώσεις Ἰλ. Γ. 125.

Βάρβαροι, λέγουσιν ἕτεροι, ἦσαν οἱ χρόνοι ἐκεῖνοι ἐπειδὴ Ἀγαμέμνων καὶ Ἀχιλλεὺς ἐρίζοντες προφέρουσιν ὑβριστικὰ ἐπίθετα πρὸς ἀλλήλους, ὡς ἂν οἱ νῦν ἐν ταῖς ἔρισιν ἀντήλλασσον ἡδεῖς καὶ φιλόφρονας λόγους. Ὁ τῆς Γαλλίας ἱστορικὸς Thiers περιγράφων τὰς περιπετείας Ναπολέοντος τοῦ Πρώτου περιγράφει καὶ τὰς κατὰ καιροὺς παραφορὰς αὐτοῦ ἔντε τῷ στρατοπέδῳ καὶ ἐν ταῖς βουλαῖς, διηγεῖται ἀεικεῖς κινήσεις καὶ ἐκφράσεις τοῦ Κυρνίου ἥρωος, τινὰς δὲ καὶ σιωπᾷ αἰδούμενος τὸν ἀναγνώστην. Ἐν δ' Ἐτρουρίᾳ, κέντρῳ τῆς Ἰταλικῆς σοφίας καὶ εὐγενείας, πολλάκις ἠκούσαμεν λέξεις καὶ ἐκφράσεις τολμηροτέρας τῶν Ἀχιλλέως, προφερομένας ὑπὸ ἀρίστων ἀνδρῶν τε καὶ γυναικῶν. Οἱ κατακρίνοντες τοὺς ἡρωϊκοὺς χρόνους ἢ αἰτιώμενοι Ὁμήρου, ἀδίκως τοῦτο ποιοῦσιν, ἀγνοοῦντες τὴν ἀνθρωπίνην φύσιν. Ὁ Ἀγαμέμνων, καίτοι ὠργισμένος κατ' Ἀχιλλέως, οὐδὲν ἐπίθετον ὑβριστικὸν ἀποτείνει αὐτῷ τῷ προκαλέσαντι τὴν συνέλευσιν καὶ τὴν ἀνεύρεσιν τῆς αἰτίας τοῦ λοιμοῦ. Ἡ ἡλικία, αἱ τοῦ βίου περιπέτειαι, ἡ αἰτία καὶ παράτασις τοῦ ἐνεστῶτος πολέμου ἐδάμασαν καὶ ἐψύχραναν τὸ ὑπερήφανον καὶ θερμὸν Ἀγαμέμνονος· κύριος δ' ὢν ἑαυτοῦ ἐν τῇ ὀργῇ, χρῆται τῇ εἰρωνείᾳ, ἀποκαλεῖ τὸν Ἀχιλλέα ἀγαθὸν καὶ θεοείκελον· ἀποφασίσας δ' ἐν ἑαυτῷ τὴν ἀφαίρεσιν Βρη-

στήθος, τολμᾷ τῳόντι ἀναιδῶς εἰπεῖν τῷ Ἀχιλλεῖ.

» ἢ τεὸν ἢ Αἴαντος ἰὼν γέρας ἢ Ὀδυσσῆος
» ἄξω ἑλών . . . »

Ἐκφράσεις τοιαῦται ἦσαν τῷ Ἀχιλλεῖ δηκτικώτεραι οἵας δήποτε ὕβρεως ἀπ' εὐθείας ὑπαγορευομένης, ὑπὸ τῆς ψυχικῆς ταραχῆς τοῦ Ἀγαμέμνονος. Ἡ ἔξαψις οὖν ἡ αἰφνήδιος ἣν αἱ εἰρωνεῖαι διήγειρον ἐν μεγάλῃ καὶ φιλοτίμῳ ψυχῇ ἐνοικούσῃ ἐν σώματι ἀκμαίῳ καὶ σφριγῶντι, ἦν φυσική. Ἔχων τὰς ἀρετὰς ἀνδρὸς μεγαλοψύχου, ἔχει συνάμα εὐαισθησίαν ὑπέρμετρον, ἐξίσταται ἑαυτοῦ, τὸ ξίφος εἵλκετο ἐκ τοῦ κολεοῦ ὑπὸ χειρὸς ὑπεικούσης τοῖς παλμοῖς κεχολωμένης καρδίας· αἴφνης ὅμως ἡ φρόνησις κρατεῖ τὴν χεῖρα ἀκίνητον ἐπὶ τῆς κώπης, τὸ ξίφος ὠθεῖται ὀπίσω εἰς τὴν θήκην. Ἀλλ' ἐρεθισμὸς τοιοῦτος οὐ κατευνάζετο διὰ μιᾶς ἄνευ βλάβης σωματικῆς ἢ τοῦ νοός. Γνωρίζων δὴ τοῦτο Ὅμηρος ἐπιτρέπει τῷ Ἥρωϊ, συναινέσει αὐτῆς τῆς Ἀθηνᾶς, διὰ λόγων μικρὸν κατὰ μικρὸν ἐξατμίσαι, οὕτως εἰπεῖν, τὸν αὐτοῦ θυμόν.

» ἀλλ' ἤτοι ἔπεσιν μὲν ὀνείδισον, ὡς ἔσεταί περ »
Ἰλ., Α. 211.

Ποῖαι δ' εἰσὶν αἱ πρὸς Ἀγαμέμνονα ὕβρεις;

» ὤ μοι ἀναιδείην ἐπιειμένε, κερδαλεόφρων! »

ἐν δὲ τῇ ἀκμῇ τῆς ὀργῆς

» οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο »

καὶ προϊόντος τοῦ λόγου.

» δημοβόρος βασιλεύς. . . . . »

Ἡ δὲ πρὸς τὸν νεκρὸν Ἕκτορα ὕβρις καὶ τὸ ὁλοκαύτωμα δώδεκα Τρώων ἐν τῇ Πατρόκλου πυρᾷ εἰσὶ πράξεις κακαὶ καὶ ἀεικεῖς, ὡς καὶ Ὅμηρος λέγει καταδικάζων αὐτάς.

» Ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα·
» ἀμφοτέρων μετόπισθε ποδῶν τέτρηνε τένοντε,

Ἰλ., X. 395.

καὶ

» δώδεκα δὲ Τρώων μεγαθύμων υἱέας ἐσθλούς,
» χαλκῷ δηϊόων· κακὰ δὲ φρεσὶ μήδετο ἔργα. »

Ιλ., Ψ. 175.

Τάς γε μὴν σκληρὰς ταύτας πράξεις οὐκ ἀποδοτέον τοῖς χρόνοις ἀλλὰ τῇ φύσει τοῦ ἀνθρώπου, ὄντος τοῦ ἀγριωτέρου τῶν ζώων. Τεκμήριον τὰ κατὰ τὸν παρόντα αἰῶνα συμβάντα βάρβαρα τρόπαια ἐν Πολωνίᾳ ὑπὸ Ῥώσσων, ἐν Οὐγγαρίᾳ καὶ Ἰταλίᾳ ὑπ' Αὐστριακῶν, ἐν Ἀλ-

γερίᾳ ὑπὸ Γάλλων· τὰ κατὰ τοὺς πολέμους τοὺς ἐπὶ Ναπολέοντος τοῦ Α΄. καὶ τὰ κατ' αὐτὸν ἔτι τὸν Γαλλο-Πρωσσικόν. Ἔστωσαν οὖν ἐπιεικέστεροι τῷ Ἀχιλλεῖ οἱ κατήγοροι ἀναμιμνησκόμενοι τοῦ λοιποῦ αὐτοῦ βίου, τοῦ τρόπου τοῦ εὐγενοῦς καὶ ἠπίου δι' οὗ δέχεται τοὺς κήρυκας τοὺς ἀπάξοντας τὴν Βρισηΐδα, καὶ τῶν δακρύων ἃ χύνει μετὰ τοῦ γηραιοῦ Πριάμου αἰτήσαντος καὶ λαβόντος τὸ Ἕκτορος πτῶμα.

Μετὰ τὴν μονομαχίαν Μενελάου καὶ Ἀλεξάνδρου, καταπατηθέντων τῶν ὅρκων ὑπὸ τῶν Τρώων καὶ ἀρξαμένης τῆς μάχης, ὁ Μενέλαος λαμβάνει ζῶντα τὸν Ἄδραστον. Ἐν ᾧ δὲ χρόνῳ ἔμελλε παραδοῦναι αὐτὸν τῷ θεράποντι ὅπως φέρῃ εἰς τὰ πλοῖα, ὁ Ἀγαμέμνων ἔρχεται θέων καὶ λέγει τῷ Μενελάῳ·

« Ὦ πέπον, ὦ Μενέλαε, τίη δὲ σὺ κήδεαι αὔτως
» ἀνδρῶν; ἦτοι ἄριστα πεποίηται κατὰ οἶκον
» πρὸς Τρώων· τῶν μή τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον,
» χεῖρας θ' ἡμετέρας· μηδ' ὅντινα γαστέρι μήτηρ
» κοῦρον ἐόντα φέροι· μηδ' ὃς φύγοι· ἀλλ' ἅμα πάντες
» Ἰλίου ἐξαπολοίατ' ἀκήδεστοι καὶ ἄφαντοι ».

μετὰ δὲ ταῦτα εὐθὺς Ὅμηρος προστίθησιν·

« ὡς εἰπὼν ἔτρεψεν ἀδελφειοῦ φρένας ἥρως,
» αἴσιμα παρειπών, ὁ δ' ἀπὸ ἔθεν ὤσατο χειρὶ
» ἥρω' Ἄδρηστον· τὸν δὲ κρείων Ἀγαμέμνων
» οὖτα κατὰ λαπάρην . . . . . . ».

Ἰλ., Ζ, 55-64·

Ἐνταῦθα οὖν κατηγοροῦσι τινες οὐ μόνον τοῦ Ἀγαμέμνονος ἀλλὰ καὶ τοῦ Ὁμήρου ὡς συναινοῦντος τοῖς λόγοις καὶ τῇ πράξει τοῦ στρατάρχου. Κατηγορεῖται δ' Ἀγαμέμνων καὶ ὡς ἐμποδίσας τὴν αἰχμαλωσίαν Ἀδράστου φονεύσας αὐτὸν καὶ ὡς διατάσσων τὸν φόνον τῶν νηπίων, ἔτι καὶ ἐν τῇ γαστέρι τῶν μητέρων. Καὶ τὸ μὲν πρῶτον μέρος τῆς κατηγορίας ἔχει τι τὸ σπουδαῖον παρά γε τοῖς κρίνουσι τ' ἀνθρώπινα διὰ τῆς καρδίας μᾶλλον ἢ διὰ τοῦ λογικοῦ, τὸ δὲ δεύτερον ἔστιν ὅλως ἄτοπον καὶ θαυμάζω πῶς ὁ Γρότιος ἐξέλαβεν ὡς διαταγὴν τὴν ματαίαν εὐχὴν Ἀγαμέμνονος (1). Ἔτι δὲ θαυμάζω πῶς ὁ Γρότιος εὑρὼν ἐν τῇ ἱστορίᾳ ἄλλων ἐθνῶν φόνους παίδων καὶ γυναικῶν ἐγκύων κατὰ τὰς ἐκπορθήσεις τῶν πόλεων,

(1) « L'empereur Sevère ordonnant à ses soldats de passer tout » au fil de l'epée dans la Grande Bretagne, se servit de quelques » autres vers d'Homère où Agamemnon dit *qu'il ne faut épargner* » *personne des Troiens, pas même les enfants qui sont* encore dans » le sein de leurs mères ». Grot. Liv. III. Chap. IV, ἐν Σχολίοις·

φέρει αὐτὰς ὡς μαρτυρίαν γενικοῦ ἐθίμου τῶν ἀρχαίων λαῶν, καὶ αὐτῶν τῶν Ἑλλήνων κατὰ τὰ Τρωϊκά (1).

Κατά γε μὴν τὴν Ἰλιάδα καὶ αὐτοὶ οἱ ἄνδρες ζωγρούμενοι ἠχμαλωτίζοντο συνήθως, ἐκτάκτως δὲ ἐφονεύοντο. Ὁ Ἀχιλλεὺς πρὸς Λυκάονα γονυπετῆ λέγει· « πρότερον μὲν ἀσπαστότερον εἶναι αὐτῷ τὸ φείδεσθαι τῶν Τρώων, καὶ πολλοὺς ἐζώγρησε καὶ ἐπώλησεν· μετὰ δὲ τὸν Πατρόκλου θάνατον οὐδενὸς ἔτι ἐφείδετο, ἥκιστα δὲ τῶν υἱῶν Πριάμου » (Φ, 99-). Αἱ δὲ γυναῖκες οὐδέποτε ἐφονεύοντο, ἀλλ' ἠχμαλωτίζοντο. Κατ' ἀγαθὴν δὲ τύχην ὁ Ὅμηρος καὶ ῥητῶς μνημονεύει ἁ π ά ν τ ω ν τ ῶ ν κα-

(1) « Καὶ ἐκρατήσαμεν πασῶν τῶν πόλεων αὐτοῦ ἐν τῷ καιρῷ ἐκείνῳ καὶ » ἐξωλοθρεύσαμεν πᾶσαν πόλιν ἑξῆς καὶ τὰς γυναῖκας αὐτῶν καὶ τὰ τέκνα » αὐτῶν· οὐ κατελίπομεν ζωγρίαν ». Δευτερονόμ. : II. 34.

» Οὐ ζωγρήσετε πᾶν ἐμπνέον ». Δευτερονόμ. : XX. 16.

» Καὶ εἶπεν Ἀζαήλ. Τί ὅτι ὁ Κύριός μου κλαίει; καὶ εἶπεν ὅτι οἶδα ὅσα » ποιήσεις τοῖς υἱοῖς Ἰσραὴλ κακά· τὰ ὀχυρώματα αὐτῶν ἐξαποστελεῖς ἐν » πυρὶ καὶ τοὺς ἐκλεκτοὺς αὐτῶν ἐν ῥομφαίᾳ ἀποκτενεῖς καὶ τὰ νήπια αὐτῶν » ἐνσείσεις καὶ τὰς ἐν γαστρὶ ἐχούσας αὐτῶν ἀναρρήξεις ». Βασιλ. Τετάρτη. 8 § 12.

» Μακάριος ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν »

Ψαλμὸς 137ος.

Τὸ τέλος τοῦ Ψαλμοῦ τούτου μεταφράσας ὁ Γρότιος ὡς ἑξῆς.

» Heureux seront ceux qui ecraseront contre une pierre les enfans » des Babyloniens «προστίθησιν» Homère (Iliade XXII. 62-) fait » mention de cet acte d'hostilité, en décrivant lesmalheurs de la » guerre»· Grotius. Droit de la Guerre et de la Paix. Livre III. Ch : IV. § IX.

κῶν ὅσα (κατάγε τὸν Ἑλλήνων νόμον) ἔπασχον οἱ ἄνθρωποι ὧν ἡ πόλις ἁλίσκοιτο. Ἡ καλὴ Κλεοπάτρα ἀπαριθμεῖ αὐτὰ τῷ ἀνδρὶ Μελεάγρῳ βλέπουσα τοὺς Αἰτωλοὺς εἰς τὸν ἔσχατον κίνδυνον περιελθόντας.

» Καὶ τότε δὴ Μελέαγρον ἐΰζωνος παράκοιτις
» λίσσετ' ὀδυρομένη, καὶ οἱ κατέλεξεν ἅπαντα
» κήδε', ὅσα ἀνθρώποισι πέλει, τῶν ἄστυ ἁλώῃ.
» ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,
» τέκνα δὲ τ' ἄλλοι ἄγουσι, βαθυζώνους τε γυναῖκας »

Ἰλ. I, 590.

Μόνον οὖν οἱ ἄνδρες ἐφονεύοντο κατὰ τοὺς πολέμους καὶ τὰς ἁλώσεις τῶν πόλεων, αἱ δὲ γυναῖκες καὶ τὰ τέκνα ἠχμαλωτίζοντο. Οὐδ' αὐτὸς ὁ Ἕκτωρ ὁ ἥκιστα εὔνους τοῖς Ἕλλησιν, ἠδίκησεν αὐτοὺς ὡς ὁ Γρότιος. Ἐν τῇ ἀξιομνημονεύτῳ ἐκείνῃ ὁμιλίᾳ, Ἕκτορος καὶ Ἀνδρομάχης, ἐν ᾗ ἀπαραμίλως ἐκφράζεται ἡ ἀκραιφνὴς συζυγικὴ ἀγάπη, ἡ μὲν Ἀνδρομάχη λέγει ὅτι ὁ Ἀχιλλεὺς τὸν μὲν πατέρα αὐτῆς ἐφόνευσε, τὴν δὲ μητέρα αἰχμαλωτίσας ἀπέλυσεν ἀντὶ πολλῶν λύτρων.

» μητέρα δ' ἣ βασίλευεν ὑπὸ Πλάκῳ ὑληέσσῃ,
» τὴν ἐπεὶ ἂρ δεῦρ' ἤγαγ' ἅμ' ἄλλοισι κτεάτεσσιν,
» ἂψ ὅγε τὴν ἀπέλυσε, λαβὼν ἀπερείσι' ἄποινα ».

Ἰλ., Ζ. 414 - 427.

Ὁ δ' Ἕκτωρ μόνον διὰ τὴν αἰχμαλωσίαν Ἀνδρομάχης λυπεῖται οὐχὶ διὰ φόνον ὃν οὐδ' αἰνίττεται.

» Ἀλλ' οὔ μοι Τρώων τόσσον μέλει ἄλγος ὀπίσω,
» οὔτ' αὐτῆς Ἑκάβης, οὔτε Πριάμοιο ἄνακτος,
» οὔτε κασιγνήτων, οἵ κεν πολέες τε καὶ ἐσθλοὶ
» ἐν κονίησι πέσοιεν ὑπ' ἀνδράσι δυσμενέεσσιν,
» ὅσσον σεῦ' ὅτε κέν τις Ἀχαιῶν χαλκοχιτώνων
» δακρυόεσσαν ἄγηται, ἐλεύθερον ἦμαρ ἀπούρας ».

Ἰλ., Ζ 450-.

Ἀπορίας οὖν ἄξιον πῶς ὁ Γρότιος ὁ μετὰ τοσαύτης ὑπομονῆς καὶ ἐμβριθείας ἀναγνοὺς τοὺς Ἕλληνας ποιητὰς καὶ λογογράφους, παρέδραμε τοὺς λόγους Κλεοπάτρας πρὸς Μελέαγρον καὶ τὴν Ἕκτορος καὶ Ἀνδρομάχης ὁμιλίαν. Ἔτι δὲ μᾶλλον πῶς οὐκ ἐπέστησε τὴν προσοχὴν αὐτοῖς τοῖς Πριάμου λόγοις τοῖς ἀποτεινομένοις πρὸς Ἕκτορα, ὧν ἰδίως μνείαν ποιεῖται ἐν τῷ κλεινῷ περὶ πολέμου καὶ εἰρήνης συγγράμματι. Ὁ Πρίαμος ἰδὼν τὸν Ἀχιλλέα ἐρχόμενον πρὸς τὸ ἄστυ, παρακαλεῖ μετὰ δακρύων τὸν Ἕκτορα εἰσελθεῖν καὶ σῶσαι ἑαυτὸν καὶ τοὺς Τρῶας· συγχρόνως δ' ἀπαριθμεῖ ὅσα κακὰ ἐπέπρωτο αὐτῷ ἰδεῖν ἀποθνήσκοντι ἐν Ἰλίῳ ἁλωθέντι ὑπὸ τῶν Ἑλλήνων·

« υἷάς τ' ὀλλυμένους, ἑλκηθείσας τε θύγατρας,
» καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα
» βαλλόμενα προτὶ γαίῃ, ἐν αἰνῇ δηϊοτῆτι,
» ἑλκομένας τε νυοὺς ὀλοῆς ὑπὸ χερσὶν Ἀχαιῶν ».

Ἰλ., Χ, 62-.

Καὶ ἐνταῦθα οὐδεὶς λόγος περὶ φόνου γυναικῶν, ἀλλὰ μόνον περὶ αἰχμαλωσίας· καὶ αὐτὰ δὲ τὰ νήπια τέκνα τὰ βαλλόμενα προτὶ γαίῃ ἐννοητέον μᾶλλον ὡς ῥιπτόμενα καὶ καταπατούμενα τυχαίως ἐν τῇ τρομερᾷ συμπλοκῇ καὶ ὠθήσει τῆς ἐκπορθήσεως, ἢ ὡς ἐπίτηδες ἐπὶ τοῦ ἐδάφους συντριβόμενα (1). Ὁ Πρίαμος ἐγίνωσκε πόσον ὁ Ἕκτωρ ἠγάπα τὴν Ἀνδρομάχην καὶ τὸν Ἀστυάνακτα· περιγράφει οὖν ἐπὶ τὸ οἰκτρότερον τὰ περὶ νηπίων καὶ τὴν βιαίαν ἀπαγωγὴν τῶν γυναικῶν τῶν αὐτοῦ υἱῶν (τῶν νυῶν, ἐν αἷς καὶ Ἀνδρομάχη), ἐλπίζων πεῖσαι τὸν Ἕκτορα εἰσελθεῖν εἰς Ἴλιον.

Καὶ ὅμως ὁ Γρότιος ταῦτα καὶ μόνα τῆς Ἰλιάδος ἔπη παρατιθεὶς τῇ Παλαιᾷ Διαθήκῃ, ἔνθα ῥητῶς συγκαταριθμεῖται καὶ ὁ τῶν γυναικῶν φόνος, συμπεραίνει γενικῶς περὶ τῶν ἀρχαίων λαῶν ὡς χρησαμένων τῇ ἀπανθρώπῳ ταύτῃ πράξει περιλαμβάνων ἐν αὐτοῖς ἀβασανίστως τοὺς Ἕλληνας.

(1) Οὕτως ἐξηγεῖ καὶ ὁ Giguet τὰ ἔπη ταῦτα· « leurs tendres enfants précipités à terre au milieu d'un affreux tumulte ». Γρότιος δέ, ὡς καὶ ἀνωτέρω εἴπομεν ἐξηγεῖ τὸ βαλλόμενα προτὶ γαίῃ ὁμοίως τῷ τοῦ Ψαλμοῦ, ἀποδίδων ἀμφοτέροις ἔννοιαν βιαίου φόνου τῶν νηπίων. Καὶ ἡ Dacier ἐκ τῶν ἐν τῇ Παλαιᾷ Διαθήκῃ κρίνουσα ἐξηγεῖ τὸ « νήπια τέκνα βαλλόμενα προτὶ γαίῃ » « mes enfants à la mammelle écrasés contre la pierre ». Ὁ δὲ Pope ἑπόμενος τῇ Dacier ὡς ἑξῆς· « My bleeding infants dash't against the flor »· Σφάλλουσι δὲ ἡ Dacier καὶ ὁ Pope νομίσαντες ἔχειν νήπια τέκνα τὸν Πρίαμον! ἐνταῦθα ὁ λόγος περὶ νηπίων ἐν γένει

Τὸν μὲν οὖν Ἀγαμέμνονα φονεύοντα τὸν Ἄδραστον δικαιοῦσι πρῶτον μὲν οἱ τοῦ πολέμου νόμοι ἐπιτρέποντες τὸν φόνον τῶν κατὰ τὰς μάχας λαμβανομένων πολεμίων, ὡς συντελοῦντα ἴσως πρὸς ταχυτέραν τῶν πολέμων παῦσιν (1), δεύτερον δὲ αἱ πρὸς τὸν οἶκον τῶν Ἀτρειδῶν ὕβρεις τῶν Τρώων, τρίτον δὲ ἡ πρὸ μικροῦ καταπάτησις τῶν ὅρκων καὶ ἡ προδοτικὴ τοῦ Πανδάρου πρᾶξις, ἐν ὥρᾳ ἀνακωχῆς, ὅτε κατὰ τοὺς γενομένους ὅρκους οἱ Ἕλληνες περιέμενον τὴν ἀπόδοσιν Ἑλένης καὶ τὴν τοῦ πολέμου παῦσιν.

Τὸ μὲν δὴ τῶν Τρώων ἔγκλημα δικαίως ἔχρηζεν αὐστηρᾶς τιμωρίας· ὁ δ' Ἀγαμέμνων καὶ ὡς στρατάρχης καὶ ὡς ἀδελφὸς ἐμπαιχθεὶς ἐνώπιον θεῶν καὶ ἀνθρώπων καὶ ἰδὼν αἱματόφυρτον τὸν Μενέλαον, εἰκότως ἠγανάκτει κατὰ τῶν Τρώων καὶ ἀπῄτει ἔντονον τιμωρίαν, παράδειγμα διὰ τὸ μέλλον, πρὸς ἀσφάλειαν τοῦ Ἑλληνικοῦ στρατοῦ. Ἡ δ' ἐν λύπῃ καὶ ὀργῇ δικαίᾳ ματαία ἐκείνη εὐχὴ περὶ τῶν ἐν γαστέρι ἀρρένων (κούρων) κακῶς ἐξηγήθη, καίτοι ὁ ποιητὴς ἐναργῶς ἀφαιρεῖ τὸ ἐπαχθὲς καὶ στυγερὸν διὰ τῆς φράσεως κοῦρον ἐόντα ὑποδεικνυούσης ματαίαν εἶναι τὴν Ἀγαμέμνονος εὐχὴν καὶ μὴ ἐκτελεστήν, ἐπειδὴ καὶ τότε καὶ νῦν τῶν ἐν τῇ γαστέρι ἔτι

(1) Διὰ τὴν αὐτὴν ἴσως αἰτίαν οἱ Γερμανοὶ κατὰ τὸν τελευταῖον πρὸς τοὺς Γάλλους πόλεμον ἐφόνευον τοὺς λαμβανομένους Γάλλους γεωργοὺς τοὺς ὑπὲρ τῆς ἑαυτῶν πατρίδος πολεμοῦντας.

όντων ἀδύνατόν ἐστι διαγνῶναι τὸ γένος, ὁ δ' Ἀγαμέμνων μόνον τῶν ἀρρένων εὔχεται τὸν ὄλεθρον.

Καὶ οἱ μὲν ἀρχαῖοι κριτικοὶ καὶ σχολιασταὶ νομίζουσι τὸν Ὅμηρον βούλεσθαι λέγειν ἐνταῦθα οὐχὶ τὰ ἐν γαστέρι, ἀλλὰ τὰ τεχθέντα καὶ ἐπὶ κόλπῳ ὑπὸ τῶν μητέρων φερόμενα, λέγοντες τὸ γαστέρι ἴσον εἶναι τῷ κόλπῳ, ὡς ἐν τῷ ἑξῆς·

« παῖδ' ἐπὶ κόλπῳ ἔχουσ' ἀταλάφρονα νήπιον αὔτως ».

Ἰλ., Ζ, 400·

Ἐν ἄλλαις λέξεσι κατὰ τοὺς ἀρχαίους κριτικοὺς καὶ σχολιαστὰς ὁ Ἀγαμέμνων εὔχεται τὸν ὄλεθρον καὶ αὐτῶν τῶν νηπίων τέκνων, ἐν ταῖς ἀγκάλαις τῶν μητέρων. Τῆς τοιαύτης δ' εὐχῆς ἱκανὴν πρόφασιν εὑρίσκουσι τὴν ἐπιορκίαν τῶν Τρώων (1). Ὄντως δὲ τοῦτο εὔχονται

(1) Ἐν μὲν Ἐνετικοῖς Σχολίοις (ἔκδοσις Villoison) τάδε ἀναγινώσκομεν ἐν στίχῳ 58 Ῥαψωδίας Ζ.

« Μηδ' ὅν τινα γαστέρι μήτηρ) μισητὰ καὶ οὐχ ἁρμόζοντα βασιλικῷ ἤθει
» τὰ ῥήματα· τρόπου γὰρ ἐνδείκνυσι θηριότητα· ὁ δὲ ἀκροατὴς ἄνθρωπος ὢν
» μισεῖ τὸ ἄγαν πικρὸν καὶ ἀπάνθρωπον· ὅθεν κἂν ταῖς τραγῳδίαις κρύπτουσι
» τοὺς δρῶντας τὰ τοιαῦτα ἐν ταῖς σκηναῖς καὶ ἢ φωναῖς τισιν ἐξακουομέναις
» ἢ δι' ἀγγέλων ὕστερον σημαίνουσι τὰ πραχθέντα, οὐδὲν ἄλλο ἢ φοβούμενοι
» μὴ αὐτοὶ συμμισηθῶσι τοῖς δρωμένοις· δεκτέον δὲ λέγειν ὅτι εἰ μὲν ἔλεγε
» ταῦτα πρὸ τῆς ἐπιορκίας ἦν ἔγκλημα· ἐπειδὴ δὲ μετὰ τοὺς ὅρκους καὶ τὴν
» παράβασιν οὐκ ἐπαχθῆ· σχεδὸν γὰρ καὶ ὁ ἀκροατὴς τοῦτο βούλεται τὸ
» μηδὲ γένος ἐπιλιμπάνεσθαι τῶν ἐπιόρκων· τάχα γοῦν καὶ ὑπὲρ τῶν θεῶν

Ἀχαιοί τε καὶ Τρῶες κατὰ τῶν ἐπιόρκων.

« ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν
» ὧδέ σφ' ἐγκέφαλος χαμάδις ῥέοι, ὡς ὅδε οἶνος
» αὐτῶν καὶ τεκέων ἄλοχοι δ' ἄλλοισι δαμεῖεν ».

Ἰλ., Γ, 299–.

Γρότιος δέ (1), Giguet (2), Alexis Pierron (3) καὶ ἕτεροι, τὴν ἀπανθρωποτέραν διδόντες τοῖς ἔπεσιν ἔννοιαν νομίζουσι τὸν Ἀγαμέμνονα διατάσσειν τὸν ὄλεθρον τῶν ἐν γαστρὶ ἔτι ὄντων (4). Ἀλλὰ σφάλλουσι πρῶτον μὲν

» ὀργίζεται· ἄλλως τε πρᾷος μὲν ἐστὶ τοῖς ἀρχομένοις, βαρὺς δὲ τοῖς ἀντι-» πάλοις· τοῦτο γὰρ βασιλέως ἀγαθοῦ καὶ ἰσχυροῦ. Β ».

Ἐν δὲ παρεκβολαῖς Εὐσταθίου τάδε· στίχος 58. « Τὸ δὲ γαστέρι ἐνταῦθα » νοητέον ἀντὶ τοῦ κόλπῳ· τὸ γὰρ ἔνδον ὑπὸ τῇ γαστρὶ νοῆσαι οὐ μόνον θη-» ριῶδες διὰ τὸ ἀπάνθρωπον τοῦ τοιούτου φόνου, ἀλλὰ καὶ γελοῖον σὺν τῷ » ὑπερβολικῷ· τί γὰρ ἔδει τῆς μητρὸς ἀναιρεθείσης ἐπιβουλεύειν ἰδίᾳ ἐμβρύῳ » τῷ κατὰ γαστρός· δῆλον δὲ τοῦτο ἐκ τοῦ ποιητοῦ· οὐ γὰρ εἶπεν ὅν τινα ἡ » μήτηρ ἔμβρυον φέρει, ἀλλὰ κοῦρον, ὁ δὲ κοῦρος οὐκ ἔμβρυον ».

Ἀλλὰ ταῦτα λέγων Εὐστάθιος ἐπελάθετο τῶν ἐν Ὀδυσσείᾳ ἐπῶν

« ἑζόμενος δ' ἤμελγεν ὄϊς καὶ μηκάδας αἶγας,
» πάντα κατὰ μοῖραν καὶ ὑπ' ἔμβρυον ἧκεν ἑκάστῃ ».

Ὀδ., Ι, 341.

ἔνθα τὸ ἔμβρυον ἴσον τῷ νεογνῷ, τῷ ἐκτὸς ὄντι γαστέρος.

(1) Grotius. Liv· III. Ch. IV, ἐν τοῖς Σχολίοις.

(2) Giguet « pas mème l'enfant dans le sein de sa mère ».

(3) Alexis Pierron Ὁμήρου Ἰλιάς· Ζ, στίχος 59. « Κοῦρον signifie ici fœtus puisque l'enfant n'a pas vu le jour ».

(4) Καισαρότης παραδεχόμενος τὴν Γροτίου γνώμην ὧδε μεταφράζει· « Neppur quel bambino che la madre porta nel ventre, neppur

ἐκλαμβάνοντες ὡς διαταγὴν τὴν Ἀγαμέμνονος εὐχήν, δεύτερον δὲ ὑποτιθέμενοι θεμιτὸν τὸν φόνον τῶν γυναικῶν παρὰ τοῖς Ἕλλησι κατὰ τὸν Τρωϊκὸν πόλεμον· ἀδύνατος γὰρ ὁ τῶν ἐν γαστρὶ ὄλεθρος ἄνευ τοῦ φόνου τῶν μητέρων.

Κἀγὼ δὲ νομίζω τὸ μὲν γαστέρι ἴσον εἶναι τῷ ἐν γαστέρι καὶ σημαίνειν τὸν ἐν γαστρὶ ἔτι ὄντα παῖδα ἢ κοῦρον, οὐχὶ τὸν ἐπὶ γαστέρι ἢ ἐπὶ κόλπῳ, ὡς εἶπεν Εὐστάθιος. Ἀλλὰ τὰ ἔπη ἐκφράζουσιν εὐχὴν οὐχὶ πρόσταγμα,

« Ὁ οἶκος ἡμῶν, λέγει Ἀγαμέμνων, τὰ κάκιστα ἔπα-
» θεν ὑπὸ Τρώων, ἐξ ὧν εἴθε οὐδεὶς ὑπεκφύγοι τὸν ὄλε-
» θρον, οὐδ᾽ αὐτὸς (εἰ δυνατὸν) ὁ ἐν γαστρὶ μητρός, ἄρρην ὤν »· (εἰ ἄρρην ἐστι, Pourvu qu'il soit mâle. A condizione che sia bambino. Provided it is a boy.

Καὶ εἰ μὲν ἦσαν πρόσταγμα οἱ Ἀγαμέμνονος λόγοι, καλῶς ἴσως εἶχεν ἡ Εὐσταθίου ἐξήγησις, ὡς διατάσσοντος τοῦ Ἀγαμέμνονος τὸν φόνον τῶν *παίδων τῶν ἀρρένων ἔτι καὶ ἐπὶ τοῖς κόλποις τῶν μητέρων*· πρᾶξις σκληρὰ μέν, ῥᾳδίως δὲ ἐκτελουμένη. Ἀλλ᾽

questo scampi ». Ἀλλ᾽ ἡ Dacier συμφωνεῖ Εὐσταθίῳ, λέγουσα τοὺς Ἕλληνας μὴ φονεύειν ἀλλ᾽ αἰχμαλωτίζειν τὰς γυναῖκας καὶ μεταφράζει οὕτω· « non pas même l'enfant qui est dans le sein de sa mère » τοῦτο δὲ ἐν σχολίοις ἐξηγεῖ ὡς ἑξῆς « l'enfant qui est encore à la mammelle ».

Ὁ δὲ Pope ἑπόμενος τῇ Dacier μεταφράζει οὕτως·

« Her babes, her infants at the breast shall fall ».

ἐνταῦθα προφανῶς ὁ Ἀγαμέμνων οὐ διατάσσει ἀλλ' εὔχεται, ἡ δὲ εὐχὴ ὑποτίθησι τὸ δυσκατόρθωτον ἢ δυσέφικτον τοῦ ἐπιθυμητοῦ ἔργου ἢ πράγματος. Δύσκολος οὖν καὶ δυσέφικτος ἦν ὁ τῶν ἀρρένων μόνον φόνος ἐν τῇ γαστρὶ τῶν μητέρων, διὸ καὶ εὔχεται αὐτὸν Ἀγαμέμνων. Ὁ δὲ φόνος αὐτῶν ἐν ταῖς ἀγκάλαις τῶν μητέρων ὢν ῥᾴδιος οὐκ ἐδεῖτο εὐχῆς.

Οὕτω, σκληρὰ μὲν ἔτι καὶ ἡ εὐχή, ἀλλ' ἐν λόγοις μόνον καὶ ματαία διὰ τὸ ἀδύνατον τῆς ἐκτελέσεως· πῶς γὰρ ἔσοιτο ἐφικτὸς ὁ τῶν ἐν γαστέρι ἀρρένων ὄλεθρος, ὃν καὶ μόνον εὔχεται Ἀγαμέμνων, ἄνευ τοῦ τῶν μητέρων καὶ θηλέων ἐμβρύων ὀλέθρου ὃν οὐ βούλεται οὐδ' εὔχεται;

Συνελόντι οὖν εἰπεῖν ὁ Ἀγαμέμνων εὔχεται τοῦτο οὐχὶ διὰ τοῦτο, οὐχὶ ἐπιθυμῶν τοῦτο, ἀδύνατον ὂν καὶ οὐχ Ἑλληνικόν, ἀλλ' ὅπως ἀνακουφίσῃ δι' ὑπερβολῆς καὶ διὰ φοβερῶν λόγων τὴν ἀγανάκτησιν ἣν διήγειρον ἐν αὐτῷ ἡ καταπάτησις τῶν ὅρκων καὶ ἡ Πανδάρου προδοσία· ὁ τοῦ Ἀδράστου φόνος οὐκ ἦν ἐπαρκὲς κατεύνασμα τοσαύτης ὀργῆς καὶ ἀγανακτήσεως.

Πάντως δὲ ἡ τοῦ Γροτίου ἐξήγησις ἐσφαλμένη ἐστι, τῶν Ἑλλήνων κατὰ τὰ Τρωϊκὰ μὴ φονευόντων ποτε τὰς τῶν πολεμίων γυναῖκας, οὐδ' αὐτῶν τῶν προδοτῶν καὶ ἐπιόρκων, ὡς ἡ ἀνωτέρω μνημονευθεῖσα ἀρὰ μαρτυρεῖ (Ἰλ., Γ, 299).

Παρέτεινα δὲ τὸν περὶ ταῦτα λόγον φιλανθρωπίᾳ μᾶλλον ἢ φιλαυτίᾳ ὠθούμενος. Καλὸν μὲν καὶ δίκαιον ἡ ἐξέλεγξις τῶν ὑπὸ Γροτίου λεχθέντων ὡς ἀμαυρούντων τὴν Ἑλλάδα καὶ τὸν Ὅμηρον. Ἀπαραιτήτως δ' ἀναγκαῖον ἐδόκει μοι ἡ ἀπόδειξις τῶν ἐσφαλμένων αὐτοῦ ἐξηγήσεων ὅπως μὴ ἕτερος ἐφάμιλλος τοῖς Αὐτοκράτορος Σεβήρου οἰκτροῖς ἄθλοις, ἔχων πρόφασιν καὶ τὴν γνώμην ἀνδρὸς οἷος ὁ Γρότιος, πράξῃ ἐν τῷ μέλλοντι ὅ,τι οὗτος ἔπραξεν ἐν Μεγάλῃ Βρετανίᾳ διατάξας τὴν σφαγὴν πάντων προφέρων τοὺς στίχους

« . . . . . μηδ' ὅντινα γαστέρι μήτηρ
» κοῦρον ἐόντα φέροι, μηδ' ὃς φύγοι »

ὧν διέστρεφε τὴν ἔννοιαν.

Φαίνονται δέ πως οἱ νῦν αὐστηροὶ τῶν τότε χρόνων κριταί, ἐπιλήσμονες εἶναι τῆς συγχρόνου ἱστορίας, τῶν ἐκπορθήσεων καὶ τοῦ φόνου πολλῶν αἰχμαλώτων, καίτοι ἡ χρῆσις τῶν τηλεβόλων ὅπλων καὶ μονίμων στρατῶν καθίστησι νῦν ἀδικαιολόγητα τὰ τοιαῦτα. Ἂς κατακρίνωμεν τὰς ἐπὶ τῶν Τρωϊκῶν σκληρὰς πράξεις ἀλλ' ἀναμιμνησκόμενοι καὶ τῶν καθ' ἡμᾶς· τῆς ἐκπορθήσεως καὶ λεηλασίας Ἰόπης καὶ τοῦ ἐκεῖ διαπραχθέντος φόνου χιλιάδων ἀράβων αἰχμαλώτων, οὐχὶ ἐν ὥρᾳ μάχης ἀλλ' ἐν ἠρεμίᾳ ψυχῆς διὰ μαχαίρας ἐκτελεσθέντος ὑπὸ τῶν Γάλλων διαταγῇ Ναπολέοντος τοῦ Α'.

Ὑπὸ τὴν ἐπήρειαν παραπλησίων ἰδεῶν περὶ τῶν Τρωϊκῶν χρόνων, ὁ Βάττελ ἀντιφάσκων πρὸς ἑαυτόν παραδέχεται τὴν Γροτίου γνώμην καὶ καταχρίνει τὸν Ὀδυσσέα καὶ τοὺς συντρόφους ὡς προσβαλόντας τοὺς Κίκονας ἄνευ νέας κηρύξεως, καίτοι δικαιῶν τὸν Μάνλιον (ὃν ὁ Γρότιος καταχρίνει) προσβαλόντα τοὺς Γαλάτας μετὰ τὴν παῦσιν τοῦ πρὸς Ἀντίοχον πολέμου ἄνευ νέας κηρύξεως πολέμου· οἱ δὲ Γαλάται ἐβεβοηθήκεισαν τῷ Ἀντιόχῳ ὡς οἱ Κίκονες τῷ Πριάμῳ (1).

Ἄλλως τε δὲ οἱ Ἕλληνες ἐπὶ τῶν Τρωϊκῶν αὐστηρῶς ἐτήρουν τὸν νόμον τοῦ πέμπειν κήρυκας πρὸ τῆς ἀρχῆς τῶν πολέμων. Ἡ Ἰλιὰς δὶς μνημονεύει τῆς εἰς Ἴλιον ἐλθούσης πρεσβείας πρὸ τῆς ἐκστρατείας.

» ἤδη γὰρ καὶ δεῦρο ποτ' ἤλυθε δῖος Ὀδυσσεὺς
» σεῦ ἕνεκ' ἀγγελίης σὺν Ἀρηϊφίλῳ Μενελάῳ ».
Ἰλ., Γ. 205.

καὶ

» Εἰ μὲν δὴ Ἀντιμάχοιο δαΐφρονος υἱέες ἐστόν,
» ὅς ποτε ἐνὶ Τρώων ἀγορῇ Μενέλαον ἄνωγεν,
» ἀγγελίην ἐλθόντα σὺν ἀντιθέῳ Ὀδυσῆϊ
» αὖθι κατακτεῖναι, μηδ' ἐξέμεν ἂψ ἐς Ἀχαιούς,
» νῦν μὲν δὴ τοῦ πατρὸς ἀεικέα τίσετε λώβην ».
Ἰλ., Λ. 138-.

(1) « Grotius allegue plus à propos l'exemple d'Ulysse et de ses » compagnons, les blâmant d'avoir attaqué sans déclaration de » guerre les Ciconiens qui pendant le siège de Troie avaient en» voyé du secours à Priam ». Wattel Droit des gens. Livre III § 102. Ὅρα δὲ καὶ τὰς προηγουμένας παραγράφους τοῦ αὐτοῦ βιβλίου.

Φαίνεται δ' ἐκ τῶν λόγων Ἀγαμέμνονος πρὸς τοὺς υἱοὺς Ἀντιμάχου πρῶτον μὲν ὅτι συνήθως ἐζωγροῦντο ὑπὸ τῶν Ἑλλήνων οἱ πολέμιοι· δεύτερον δὲ πόσον ἱεροὶ ἐνομίζοντο οἱ κήρυκες ἢ ἄγγελοι· νόμος παραβιασθεὶς ἐν τῷ τελευταίῳ Γαλλο-Πρωσικῷ πολέμῳ (1).

Καὶ κατὰ τὴν Ὀδύσσειαν ὁ Ὀδυσσεὺς πέμπει ἀγγέλους μεθ' ἑνὸς κήρυκος πρὸς τοὺς Λωτοφάγους.

« δὴ τότ' ἐγὼν ἑτάρους προΐειν πεύσεσθαι ἰόντας,
» ἄνδρε δύω κρίνας τρίτατον κήρυχ' ἅμ' ὀπάσας ».
'Οδ., Ι, 88.

Καὶ πρὸς Λαιστρυγόνας τὸν αὐτὸν τηρεῖ νόμον.

« δὴ τότ' ἐγὼν ἑτάρους προΐειν πεύσεσθαι ἰόντας,
» οἵτινες ἄνδρες εἶεν ἐπὶ χθονὶ σῖτον ἔδοντες,
» ἄνδρε δύω κρίνας τρίτατον κήρυχ' ἅμ' ὀπάσας ».
'Οδ., Κ, 100.

(1) « Je reconnais volontiers que le Manuel (des lois de la guerre) » en des articles clairs et précis tient plus compte des nécessités de » la guerre que ne l'ont fait des essais antérieurs. Cependant la » reconnaissance, même par les Gouvernements, des regles qui s'y » trouvent formulées ne suffira pas pour en assurer l'exécution. » C'est un usage de la guerre dés long temps, universellement re- » connu, que l'on ne doit par tirer sur un parlementaire· pourtant » nous avous vu cette regle violée à differentes reprises » daus la dernière campagne». Lettre du Marechal de Moltke à Mr. Bluntschli. Berlin. 11, Dec: 1880.

Οὐκ ἐτήρησε δ' αὐτὸν πρὸς Κίκονας ὡς ἐλθόντας σὺν τῷ αὐτῶν βασιλεῖ ἀπ' ἀρχῆς τοῦ πολέμου καὶ βοηθήσαντας τοῖς Τρωσὶ κατὰ τῶν Ἑλλήνων. Τοῦτο δὲ μαρτυρεῖ ἡ Ἰλιάς.

« Εὔφημος δ' ἀρχὸς Κικόνων ἦν αἰχμητάων,
» υἱὸς Τροιζήνοιο Διοτρεφέος Κεάδαο ».

Ἰλ., Β, 846-.

Τὰ γὰρ ἐν τῷ Καταλόγῳ μνημονευόμενα ἔθνη Ἑλληνικά τε καὶ Τρωϊκὰ ἦσαν ἀπ' ἀρχῆς τοῦ πολέμου ἐν Τροίᾳ.

Οἱ μὲν οὖν Τρῶες μὴ ἀποδόντες τὴν Ἑλένην καὶ τὰ σὺν αὐτῇ ἁρπασθέντα ὑπὸ Πάριδος (Ἰλ., Ν. 626), προὐκάλεσαν τὴν δικαίαν τῶν Ἑλλήνων ἐκστρατείαν. Οἱ δὲ Κίκονες συμμαχήσαντες τοῖς Τρωσὶ καὶ ταῦτα ἀδίκως εἰς πόλεμον ἐγκαθισταμένοις, ἐκήρυξαν ἔργῳ πρὸς τοὺς Ἕλληνας τὸν πόλεμον. Ὀρθῶς ἄρα ὁ Ποιητὴς Ὀδυσσείας καὶ συμφώνως τοῖς ὑπ' αὐτοῦ τοῦ Βαττὲλ ὁριζομένοις (1), ποιεῖ τὸν Ὀδυσσέα, ὀλίγας μετὰ τὴν ἅλωσιν

(1) Wattel Droit des Gens, Βιβλ. III. § 98-102. Ὁ δὲ Γρότιος (Βιβλ. Γ'. Κεφ· Γ, § 9) ἀναγνωρίζει μὲν κεκηρυγμένον εἶναι τὸν πόλεμον πρὸς τὸν βοηθοῦντα τῷ ἐμῷ ἐχθρῷ, νομίζει δὲ, μετὰ τὴν παῦσιν τοῦ πολέμου καὶ τὴν ὑπογραφὴν τῆς εἰρήνης, ἀναγκαῖον εἶναι ψήφισμα νέον τῆς Γερουσίας καὶ νέαν προκήρυξιν παρὰ τοῦ στρατηγοῦ τοῦ βουλομένου πολεμῆσαι τοὺς συμμαχήσαντας τῷ αὐτοῦ ἐχθρῷ. Ἀλλ' οἱ μὲν Ῥωμαῖοι στρατηγοὶ οὓς φέρει παράδειγμα ὤφειλον ἀναμένειν ψηφίσματα νέα ἐκ Ῥώμης, Ὀδυσσεὺς δὲ ὢν βασιλεὺς ἔκρινεν ἀφ' ἑαυτοῦ ὁριστάμενον ἔτι τὸν κατὰ τῶν συμμάχων Πριάμου πόλεμον, εἰδὼς πότε καὶ πῶς ἐγένετο ἡ πρὸς Τρῶας εἰρήνη, εἰ συμπεριελήφθησαν ἐν αὐτῇ οἱ σύμμαχοι ἢ οὔ.

Ἰλίου ἡμέρας, προσβάλλειν τοὺς Κίκονας ἄνευ κηρύξεως.

« Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσεν,
» Ἰσμάρῳ· ἔνθα δ' ἐγὼ πόλιν ἔπραθον ὤλεσα δ' αὐτούς·
» ἐκ πόλιος δ' ἀλόχους καὶ κτήματα πολλὰ λαβόντες ».

'Οδ., Ι, 39-.

Οἱ κατάσκοποι ὥσπερ νῦν οὕτω καὶ ἐπὶ τῶν Τρωϊκῶν ἐφονεύοντο λαμβανόμενοι. Νομίμως ὅθεν ὁ Δόλων φονεύεται ὑπὸ Διομήδους. Τινές δε μὴ ἐννοήσαντες καλῶς τὰ Ἰλιάδος, καταδικάζουσι τὸν Δόλωνος φόνον ὡς δῆθεν τοῦ Ὀδυσσέως ὑποσχεθέντος αὐτῷ τὴν ζωήν. Ἀλλ' οὐδόλως ὑπεσχέθη τοῦτο Ὀδυσσεύς, ἰδὼν δὲ τὰ δάκρυα καὶ τὸν τρόμον τοῦ δειλοῦ καὶ φιλοζώου Δόλωνος « θάρσει, λέγει αὐτῷ, μὴ φοβοῦ τὸν θάνατον »·

« θάρσει, μηδέ τι τοι θάνατος καταθύμιος ἔστω ».

Ὁ Ὀδυσσεὺς οὐχ ὑπέσχετο χάριν ζωῆς ἀλλὰ παρώτρυνεν αὐτὸν ὑποστῆναι μετὰ θάρρους τὸν ἄφευκτον θάνατον. Καὶ ὁ Δόλων αὐτὸς οὕτως ἐνόησε τοὺς Ὀδυσσέως λόγους, εἰπὼν μετὰ τὴν περιγραφὴν τοῦ Τρωϊκοῦ στρατοπέδου

« ἀλλ' ἐμὲ μὲν νῦν νηυσὶ πελάσσετον ὠκυπόροισιν
» ἤ ἐμὲ δήσαντες λίπετ' αὐτόθι νηλέι δεσμῷ,
» ὄφρα κεν ἔλθητον, καὶ πειρηθῆτον ἐμεῖο,
» ἤ ῥα κατ' αἶσαν ἔειπον ἐν ὑμῖν, ἦε καὶ οὐκί.

Ἰλ., Κ. 442-.

ὡς ἂν ἔλεγε « μὴ φονεύσατέ με πρὶν ἢ βεβαιωθῆτε ὅτι εἶπον ὑμῖν τὴν ἀλήθειαν ».

Ἀπατῶνται πρὸς τούτοις κατ' ἐμὲ οἱ λέγοντες ἀπολύτους μοναρχίας τὰ ἐπὶ τῶν Τρωϊκῶν ἐν Ἑλλάδι πολιτεύματα ἅπερ ἐγίνοντο κατὰ νόμον, ἑκόντων τῶν λαῶν, ἐκ τῶν τριῶν τῆς κοινωνίας στοιχείων, Βασιλέως, Γερόντων καὶ λαοῦ ἢ δήμου. Ἐκ γὰρ τῶν συμβαινόντων ἐν Ἰθάκῃ καὶ ἀλλαχοῦ τῆς Ἑλλάδος, ἔτι δὲ καὶ ἐν Τροίᾳ ὅπου οἱ Ἕλληνες ἔζων μᾶλλον ὑπὸ στρατιωτικοὺς νόμους, φαίνεται καὶ τὰ τρία στοιχεῖα μετέχειν τῆς ἐξουσίας.

Ἐπειδὴ δὲ ἀπὸ τῆς συστάσεως τῶν βασιλειῶν ἐν Ἑλλάδι μέχρις Ὁμήρου ἀδύνατον ἦν παραμένειν ἀναλλοίωτον τὴν σύμπνοιαν τῶν τριῶν στοιχείων (ἐν τοσαύταις γὰρ τὸ πλῆθος καὶ ὑβρισταὶ βασιλεῖς καὶ ἰδιοτελεῖς καὶ ἀφόρητοι τοῖς λαοῖς ἐγένοντο), ἕπεται γνωστὴν εἶναι τῷ Ὁμήρῳ τὴν Δημοκρατίαν καὶ τὰ ἐλαττώματα αὐτῆς ἴσως αἰνίττεται ἐν τοῖς γνωστοῖς στίχοις

« Οὐ μέν πως πάντες βασιλεύσομεν ἐνθάδ' Ἀχαιοί,
» οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω ».

λέγω δὲ ἴσως, ἐπειδὴ Ὀδυσσεὺς ἀποτείνει τὸν λόγον πρὸς στρατιώτας ἐν στρατοπέδῳ, καίτοι Ἀριστοτέλης θετικῶς λέγει τὸν Ὅμηρον αἰνίττεσθαι ἐνταῦθα τὸ δημοκρατικὸν πολίτευμα (1). Ἐγνώριζε δ' ὁ ποιητὴς καὶ τὸ ἕτερον ἄκρον, τὴν Τυραννίαν, ἥτις οὐκ εἶχεν ἔτι ἴδιον ὄνομα. Ἐν Ὀδυσσείᾳ δύο τύπους Τυράννου εὑρίσκομεν, πρῶτον μὲν τὴν Αἰγίσθου διὰ βίας ἑπταετῆ βασιλείαν, δεύτερον δὲ τὸν Ἔχετον βασιλέα Ἠπείρου τέμνοντα τὰς ρίνας καὶ τὰ ὦτα τῶν ἀνθρώπων.

Ἦσαν δὲ διαδοχικαὶ αἱ βασιλεῖαι πρὸς ἀποφυγὴν συχνῶν κοινωνικῶν κλονισμῶν, οἱ δὲ βασιλεῖς μεγάλως ἐτιμῶντο καὶ ἠγαπῶντο ὑπὸ τῶν λαῶν, ποριζόμενοι τὰς δαπάνας ἐκ τῶν ἰδίων κτημάτων, ἐκ τῶν γαιῶν ἃς ἔδιδεν αὐτοῖς ὁ λαὸς κατὰ τὴν εἰς τὸν θρόνον ἀνάβασιν, ἢ ἐν καιροῖς ἐκτάκτοις, ὡς οἱ Αἰτωλοὶ ὑπέσχοντο τῷ Μελεάγρῳ.

« ὁππόθι ποιότατον πεδίον Καλυδῶνος ἐραννῆς,
» ἔνθα μιν ἤνωγον τέμενος περικαλλὲς ἑλέσθαι
» πεντηκοντόγυον· τὸ μὲν ἥμισυ οἰνοπέδοιο,
» ἥμισυ δέ, ψιλὴν ἄροσιν πεδίοιο ταμέσθαι ».

Ἰλ., I, 578-.

(1) Πολιτ. Βιβλ. Δ. Κεφ. δ'.

Εἶχον δὲ καὶ ἑτέρας προσόδους καὶ δῶρα ὡς γίνεται δῆλον ἐκ τῶν ὑποσχομένων τῷ Ἀχιλλεῖ ὑπὸ Ἀγαμέμνονος, ἐλάμβανον δὲ καὶ προσφορὰς κατὰ τὰς δημοτελεῖς θυσίας.

Κατ' Ἀριστοτέλην ὁ τῶν ἡρωϊκῶν χρόνων βασιλεὺς ἦν στρατηγὸς καὶ δικαστὴς καὶ τῶν πρὸς τοὺς θεοὺς κύριος (1). Καὶ τὴν μὲν στρατηγικὴν ἡγεμονίαν τῶν βασιλέων εὑρίσκομεν ὄντως ἀκήρατον ἐν Τροίᾳ· φαίνεται δέ μοι ἀμφίβολον ἂν οἱ βασιλεῖς ἠδύναντο τὸ καθεαυτοὺς κηρύξαι πόλεμον ἢ ποιῆσαι εἰρήνην. Ὁ γὰρ Ἀγαμέμνων ἀεὶ ἐν ἀγορᾷ προτείνει τὴν παῦσιν τοῦ πολέμου (2).

Καὶ ἡ ἔλλειψις δὲ μονίμου στρατοῦ, τῶν πολιτῶν πάντων ὄντων καὶ στρατιωτῶν, ἐποίει ἀναγκαίαν τὴν συναίνεσιν τοῦ λαοῦ, ἀπαλλαττομένης οὕτω τῆς πολιτείας ἀπὸ πολέμων οὓς πολλάκις οἱ βασιλεῖς προκαλοῦσιν ἕνεκα ἰδίων συμφερόντων ἢ ἐκδικήσεων.

Τὸ δὲ απονέμειν τὴν δικαιοσύνην ἦν ἔξοχον τῆς βασιλείας προνόμιον ἐξασκούμενον ἢ ὑπ' αὐτῶν τῶν βασιλέων ἀπ' εὐθείας, ἢ δι' ἀνδρῶν προβεβηκότων τὴν ἡλικίαν, ὡς βλέπομεν ἐν μιᾷ τῶν δύω πόλεων τῶν ὑπὸ Ἡφαίστου ἐπὶ τῆς ἀσπίδος γενομένων. Οἱ δὲ μὴ εὐθέως κρίνοντες ἐτιμωροῦντο ὑπὸ Διὸς τοῦ ὑψίστου τῆς δικαιοσύνης ταμίου (3).

(1) Πολιτ. Βιβλ. Γ. Κεφ. Ι. § 1.

(2) Ἰλ., Β, 110-140 καὶ Ι, 707-.

(3) Ἰλ., Π, 384-392.

Τὰ δὲ περὶ τοὺς θεοὺς ἐὰν μὴ πρόσοδόν τινα, οὐδεμίαν πολιτικὴν ἰσχὺν παρεῖχον τῇ βασιλείᾳ, τῶν ὀλίγων ἱερέων καὶ μάντεων, ὄντων ἴσων τοῖς δημιουργοῖς ἢ τεχνίταις, σεβομένων τὴν βασιλείαν καὶ ὑπεικόντων τοῖς νόμοις.

Ἐν γένει δὲ τὰ τῶν βασιλέων προνόμια, λεγόμενα γέρα ἢ γέρατα ἐπήγαζον ἀπὸ τοῦ λαοῦ. Οἱ βασιλεῖς, ὡς ἀμφότερα τὰ ποιήματα μαρτυροῦσι, καίτοι περιβεβλημένοι δόξῃ καὶ σεβασμῷ ἰσοθέῳ, ἀνεγνώριζον τὴν αὐτῶν ἰσχὺν ἀπὸ τοῦ λαοῦ προέρχεσθαι. Ὀδυσσεὺς εἰσελθὼν εἰς τ' Ἀλκινόου ἀνάκτορα καὶ λαβὼν τῶν γονάτων τῆς βασιλίσσης, εὔχεται πρῶτον μὲν ὄλβιον βίον τῷ Ἀλκινόῳ καὶ τοῖς ἄλλοις παρευρισκομένοις· εἶτα δ' εὔχεται τοῖς υἱοῖς αὐτῶν κληρονομῆσαι τὰ πατρικὰ κτήματα καὶ τὰ ὑπὸ τοῦ δήμου δοθέντα προνόμια.

« . . . . . τοῖσιν θεοὶ ὄλβια δοῖεν
» ζώμεναι καὶ παισὶν ἐπιτρέψειεν ἕκαστος
» κτήματ' ἐνὶ μεγάροισι, γέρας θ' ὅ,τι δῆμος ἔδωκε ».

Τ' αὐτὰ λέγει Ὀδυσσεῖ ἡ ἀξιέραστος Ναυσικᾶ μαθοῦσα ἐν τῷ πατρικῷ οἴκῳ τὸ πρὸς τοὺς πολίτας ὀφειλόμενον σέβας.

« Εἰμὶ δ' ἐγὼ θυγάτηρ μεγαλήτορος Ἀλκινόοιο
» τοῦ δ' ἐκ Φαιήκων ἔχεται κάρτος τε βίη τε ».

Δεύτερον στοιχεῖον τῆς βασιλείας ἦν ἡ τῶν γερόντων Βουλή. Δῆλον δὲ καὶ ἐκ τοῦ ὀνόματος ὅτι κατ' ἀρχάς, ὅταν οἱ πολῖται ἦσαν ἴσοι ἢ σμικρὸν διέφερον κατὰ τὴν περιουσίαν καὶ τὰς γνώσεις, οἱ πρεσβύτεροι, ὡς πλείονα πεῖραν ἔχοντες, ἐποίουν τὴν Βουλήν, εἰς δὲ τὸ μετέπειτα οἱ πλουσιώτεροι καὶ ἱκανώτεροι. Ὁ μὲν βασιλεὺς προσεκάλει τοὺς γέροντας ἐν χώρῳ ἀπροσίτῳ τοῖς λαοῖς καὶ συνεσκέπτετο μετ' αὐτῶν· ἕκαστος δὲ τῶν γερόντων μετὰ παρρησίας ἔφερε γνώμην εἰς τὴν Βουλὴν ἐν ᾗ διέπρεπεν ἡ φρόνησις καὶ ἡ εὐγλωττία.

Τρίτον δὲ καὶ κύριον στοιχεῖον τῆς τότε Βασιλείας ἦν ὁ λαὸς ἀφ' οὗ ἐπήγαζον αἵ τε τιμαὶ καὶ τὰ προνόμια. Συνερχόμενος εἰς ἀγορὰν παρεδέχετο ἢ ἀπέρριπτε διὰ πλειοψηφίας τὰ προταθέντα, μετὰ ἐλευθέραν βάσανον καὶ συζήτησιν. Προσεκαλεῖτο δὲ εἰς συνέλευσιν ὁ λαὸς συνήθως μὲν ὑπὸ τοῦ βασιλέως διὰ κηρύκων, συνεκάλουν δ' αὐτὸν καὶ οἱ γέροντες, οἱ τῆς Βουλῆς ὡς ἐν ἀρχῇ Ἰλιάδος πράττει Ἀχιλλεὺς ἵνα σκεφθῶσι περὶ τοῦ λοιμοῦ· ἐν καιρῷ δ' ἐκτάκτου συμβεβηκότος, ἢ στάσεως ὁ λαὸς αὐτόκλητος ἤρχετο εἰς ἀγοράν (1). Αἱ τοῦ δήμου συνελεύσεις ἐγίνοντο ἐν χώρῳ πρὸς τοῦτο παρεσκευασμένῳ καὶ καλουμένῳ Ἀγορά. Οἱ ῥήτορες ἀνίσταντο καὶ ὡμίλουν, ἅμα πάντες ἐκαθέζοντο καὶ ἐσιώπων διὰ προτροπῆς τῶν κηρύκων, ἡ δὲ συνέλευσις ἀπεφάσιζε διὰ

(1) Ὀδ., 413-420.

πλειοψηφίας ἐκφραζομένης διὰ φωνῆς οἷον

« Ὡς ἔφαθ' οἱ δ' ἄρα παντες ἐπίαχον υἷες Ἀχαιῶν ».
Ἰλ., Ι, 50.

ἢ δι' ἀναστάσεως καὶ φωνῆς οἷον·

« Ὡς ἔφαθ' οἱ δ' ἄρ' ἀνήϊξαν μεγάλῳ ἀλαλητῷ
» ἡμίσεων πλείους· τοὶ δ' ἀθρόοι αὐτόθι μίμνον ».
Ὀδ., Ω, 463-464.

Ὁ λόγος ἦν ἐλεύθερος ἐν τῇ ἀγορᾷ καὶ ἕκαστος ἠδύνατο φέρειν γνώμην ἐπὶ τῶν προταθέντων· καὶ αὐταὶ δὲ αἱ τοῦ βασιλέως προτάσεις κατεκρίνοντο μετ' εὐκοσμίας καὶ ἀπερρίπτοντο· οὕτως ὁ Διομήδης ἐν τῇ ἑσπερινῇ ἀγορᾷ ἀποδοκιμάζων τὴν περὶ ἀναχωρήσεως πρότασιν Ἀγαμέμνονος, ὑπομιμνήσκει πρῶτον τοῦ ἐν ταῖς ἐκκλησίαις δικαιώματος τῆς τοῦ λέγειν ἐλευθερίας.

« Ἀτρείδη, σοὶ πρῶτα μαχήσομαι ἀφραδέοντι,
» ἣ θέμις ἐστίν, ἄναξ, ἀγορῇ· σὺ δὲ μήτι χολωθῇς »·
Ἰλ., Ι, 32-.

Πόσον δ' ἐτιμῶντο, καὶ κατὰ συνέπειαν ἀνεπτήσσοντο ἡ εὐγλωττία καὶ ἡ ῥητορική, τεκμηριοῦσι τά τε ἐπίθετα

τὰ διδόμενα τῇ ἀγορᾷ λεγομένῃ κυδιανείρᾳ, πολυφήμῳ, ἵνα τ' ἄνδρες ἀριπρεπέες τελέθουσι καὶ αἱ δημηγορίαι Νέστορος, Ὀδυσσέως, Φοίνικος, Ἀχιλλέως· μάλιστα δὲ οἱ ρητορικοὶ ἀγῶνες ὧν ὁ Ποιητὴς ποιεῖται μνείαν λαλῶν περὶ Θόαντος.

« ἀγορῇ δέ ἑ παῦροι Ἀχαιῶν
» νίκων, ὁππότε κοῦροι ἐρίσσειεν περὶ μύθων ».

Ἰλ., Ο, 283-

Ἡ ῥητορικὴ καὶ τὰ πολεμικὰ ἦσαν κύρια χαρακτηριστικὰ τῆς τῶν σπουδαίων ἀγωγῆς. Ὁ Φοῖνιξ ὅπως ταῦτα διδάξῃ τῷ Ἀχιλλεῖ προσεκλήθη ὑπὸ Πηλέως.

« τούνεκά μοι προέηκε, διδασκέμεναι τάδε πάντα
» μύθων τε ρητῆρ' ἔμεναι, πρηκτῆρα τε ἔργων ».

Ἰλ., Ι, 442-.

Τὴν ἐλευθερίαν τοῦ λέγειν καὶ τὴν ἐν τῇ πολιτείᾳ ἰσχὺν τοῦ λαοῦ ἀποδεικνύει καὶ τὸ Ἀχιλλέως ἐν τῇ πρώτῃ ἀγορᾷ πικρὸν πρὸς τοὺς Ἀχαιοὺς παράπονον.

« ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις
» ἦ γὰρ ἄν, Ἀτρείδη, νῦν ὕστατα λωβήσαιο! »

Ἰλ., Α. 231-.

Ἀμφότεροι οἱ στίχοι προδίδουσι τὴν Ἀχιλλέως ἐπιθυ-

μίαν τοῦ ἰδεῖν τὸν Ἑλληνικὸν στρατὸν στασιάζοντα κατ' Ἀγαμέμνονος. Ἀλλὰ τὸ κοινὸν συμφέρον, ἡ κοινὴ σωτηρία ἀπήτουν τότε τὴν ἐνίσχυσιν μᾶλλον ἢ τὸν χαλασμὸν τῆς ἡγεμονικῆς ἐξουσίας. Καὶ Ἀγαμέμνων δέ, ἀκούσας τὴν αἰτίαν τοῦ λοιμοῦ, μετὰ πολλῆς σπουδῆς ἀποδίδει τὴν Χρυσηΐδα περιγράφων τὰς ἀρετὰς αὐτῆς ἵνα δείξῃ τιμιωτέραν τὴν ἀπόδοσιν.

« ἀλλὰ καὶ ὥς ἐθέλω δόμεναι πάλιν εἰ τόγ' ἄμεινον·
» βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι, ἢ ἀπολέσθαι. »

Ἀποδοθείσης οὖν τῆς Χρυσηΐδος καὶ παύσαντος τοῦ λοιμοῦ, ἡ Ἀγαμέμνονος πρὸς Ἀχιλλέα ἔρις ἔμενεν ἰδιωτική, διὸ φρονίμως ποιῶν ὁ λαός, καίτοι μὴ ἐγκρίνων τὴν τοῦ Στρατάρχου διαγωγήν, ἔμεινεν οὐδέτερος καὶ ἐπέτρεψε τὴν ἀπ' Ἀχιλλέως ἀφαίρεσιν τῆς Βρισηΐδος. Μετὰ δὲ τὴν ἔριδα, κατὰ τὴν Ἀχιλλέως μῆνιν, ὁ Ἀγαμέμνων καὶ διὰ λόγων καὶ διὰ πράξεων δεικνύει σεβασμὸν καὶ φόβον πρὸς τὴν δημοσίαν φήμην (1). Ἕνεκα τούτου χρῆται τῷ Ὀνείρῳ ἵνα προσελκύσῃ ἑαυτῷ τοὺς ἀρχηγοὺς διὰ δὲ τῶν ἀρχηγῶν προτραπῇ ὁ στρατὸς εἰς τὴν ἐξακολούθησιν τοῦ πολέμου. Τὴν κοινὴν φήμην ὁμοίως εὐλαβούμενος ὁμολογεῖ ἐν πλήρει ἀγορᾷ, αὐτὸς εἶναι πρωταίτιος τῆς ἔριδος

(1) « Δήμου φάτιν » Ἰλ., I, 460. Νῦν δὲ κοινὴν γνώμην συνήθως λέγομεν.

« καὶ γὰρ ἐγὼν Ἀχιλλεύς τε μαχησάμεθ' ἕνεκα κούρης
» ἀντιβίοις ἐπέεσσιν, ἐγὼ δ' ἦρχον χαλεπαίνων. »

Ἰλ., Β, 377.

ὑπὸ τῶν αὐτῶν αἰσθημάτων κατεχόμενος καὶ τὸν πρὸ τοῦ Ἑλληνικοῦ στρατοπέδου κίνδυνον καθορῶν μετὰ τὴν δευτέραν μάχην, προσκαλεῖ τὸ ἑσπέρας τὸν λαὸν εἰς ἀγορὰν καὶ προτείνει πάλιν τὴν εἰς Ἑλλάδα ἀναχώρησιν ἣν κατακρίνει Διομήδης καὶ ἀποκρούει ὁ στρατός· ἐν δὲ τῇ γενομένῃ μετὰ τὴν ἀγοράν βουλῇ, Νέστωρ ἀποδοκιμάζων τὰ τῆς ἔριδος προτείνει τὴν πρὸς Ἀχιλλέα πρεσβείαν ἣν Ἀγαμέμνων εὐθὺς παραδέχεται ἐπιβεβαιῶν τοὺς λόγους τοῦ ἡδηεποῦς γέροντος·

« ὦ γέρον, οὔτι ψεῦδος ἐμὰς ἄτας κατέλεξας·
» ἀασάμην, οὐδ' αὐτὸς ἀναίνομαι !
» ἀλλ' ἐπεὶ ἀασάμην, φρεσὶ λευγαλέῃσι πιθήσας,
» ἀψ' ἐθέλω ἀρέσαι. »

Ἰλ., Ι, 115 - 120.

Καὶ ἡ ἐν τῇ τελευταίᾳ ἀγορᾷ προσφώνησις Ἀγαμέμνονος, ἀναφέροντος τὸ ἑαυτοῦ σφάλμα εἰς τοὺς θεούς, τὸ πρὸς τὸν λαὸν σέβας μαρτυρεῖ·

« πολλάκις δή μοι τοῦτον Ἀχαιοὶ μῦθον ἔειπον
» καί τέ με νεικείεσκον, ἐγὼ δ' οὐκ αἴτιος εἰμί,
» ἀλλὰ Ζεὺς καὶ Μοῖρα καὶ ἠεροφοῖτις Ἐρινύς· »

Ἰλ., Τ, 85.

Καὶ τὰ περὶ Θερσίτου δὲ λεγόμενα τὴν ἐλευθερίαν τοῦ λόγου ἐν ταῖς ἐκκλησίαις βεβαιοῦσιν. Ὁ λιγὺς οὗτος ἀλλ' ἀκριτόμυθος καὶ ἀτάσθαλος ἀγορητὴς ἐφιλονείκει συχνὰ τῷ Ἀχιλλεῖ καὶ τῷ Ὀδυσσεῖ καὶ ἐμισεῖτο ὑπὸ πάντων (Ιλ., Β. 212-221)· οὐδεμία δέ ποτε ποινὴ ἐπεβλήθη αὐτῷ. Ὅταν δὲ ἐν μέσῃ ἀγορᾷ, ὄρθιος, ἀδολεσχῶν καὶ εἰς στάσιν προτρέπων, ἠνόχλει τοὺς βουλομένους ἀγορεῦσαι, τότε βεβαίως ἦν ἔνοχος καὶ ὀρθῶς ποιῶν Ὀδυσσεὺς ἀπειλεῖ καὶ πλήττει αὐτὸν τῷ σκήπτρῳ. Ἡ ἀγορὰ μετὰ τὴν δημηγορίαν Ἀγαμέμνονος ἦν λελυμένη, ὁ δὲ στρατὸς τὰ πλοῖα εἰς τὴν θάλασσαν παρεσκευάζετο ἑλκῦσαι· ἀλλ' Ὀδυσσεὺς γινώσκων τὰ ἐν βουλῇ προεσκεμμένα λαμβάνει τὸ τοῦ στρατάρχου σκῆπτρον καὶ ἀνακαλεῖ τὸν λαὸν εἰς ἀγοράν, προσφωνῶν πάντας, βασιλεῖς τε καὶ ἀρχηγοὺς καὶ τοὺς ἐκ τοῦ δήμου, διὰ τοῦ αὐτοῦ ἐπιθέτου «δαιμόνιε». Πλήττει δὲ μόνον τοὺς ταραξίας οὐχί, ὥς τινες εἶπον, πάντας τοὺς ἐκ τοῦ λαοῦ, πλήττει δὲ τῷ σκήπτρῳ, σημείῳ ἀρχῆς καὶ εὐταξίας·

« ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι, βοόωντα τ' ἐφεύροι. »

καὶ τούτους μόνους καλεῖ ἀναξίους πολέμου καὶ βουλῆς.

Πάντες οὖν ὑπήκουσαν τῷ Ὀδυσσεῖ, ἐπανέρχονται εἰς ἀγορὰν καὶ καθέζονται· μόνος ὁ Θερσίτης μένων ὄρθιος ἐφλυάρει, ὕβριζε τὸν Ἀγαμέμνονα καὶ ἐγίνετο αἴτιος θο-

ρύδου ματαιοῦντος τὴν σύσκεψιν· πράξεις ἀξιόποινοι ἐν παντὶ χρόνῳ καὶ χώρᾳ (1). Καὶ πάλιν δὲ Ὀδυσσεὺς οὐκ ἀποπέμπει τὸν Θερσίτην τῆς ἀ γ ο ρ ᾶ ς, ἀλλ' ἀναγκάζει καθεσθῆναι.

« ὁ δ' ἄρ' ἕζετο τάρβησέν τε. »

Ὁμοίως οἱ ἐν τῇ ἀγορᾷ Ἰθακησίων λόγοι Μέντορος καθαπτόμενοι τοῦ δήμου ὡς ἀδιαφοροῦντος καὶ μὴ καταδικάζοντος τοὺς μνηστῆρας, ἀποδεικνύουσι τὸν λαὸν οὐκ εἶναι πάντη ἄφωνον ἐν ταῖς ἐκκλησίαις. Ὁ Μέντωρ μείνας πιστὸς τῷ Ὀδυσσεῖ ἔλεγε δίκαια, ἀλλ' ἡ μακρὰ ἀπουσία τοῦ Ἰθακησίου ἄνακτος ἐξασθενήσασα τοὺς προϋπάρχοντας μεταξὺ λαοῦ καὶ βασιλέως δεσμούς, ἐνίσχυσε τοὺς μνηστῆρας, ὡς οὐχὶ πλέον διὰ σιωπῆς ἀλλ' ἔργῳ δεικνύει ὁ λαὸς πεισθεὶς τῷ Εὐπείθει καὶ ὁπλισθεὶς κατὰ Ὀδυσσέως.

« οὐ γάρ σφιν ἅδε μῦθος ἐνὶ φρεσὶν ἀλλ' Εὐπείθει
» πείθοντ' αἶψα δ' ἔπειτ' ἐπὶ τεύχεα ἐσσεύοντο. »
Ὀδ., Ω, 465-.

Ἐν ἑνὶ λόγῳ ὁ ἀναγινώσκων μετὰ προσοχῆς τὰς Ἀγα-

(1) Κατὰ τὸν Ἀπρίλιον τοῦ 1882 ἀπεβλήθη τῆς συνεδριάσεως τῆς Ἀγγλικῆς βουλῆς προτάσει τοῦ μαρκησίου Ἄρτιγκτων ὁ βουλευτὴς Ρέδμωνδ διὰ φράσεις ὑβριστικάς, πολὺ ἐλαφροτέρας τῶν τοῦ Θερσίτου, ἀποτεινομένας πρὸς τὸν Φόρστερ, ὑπουργόν.

μέμνονος ἀγορεύσεις διακρίνει κάλλιστα τὰς δημοτικὰς ἕξεις τῶν βασιλέων καὶ τὴν βαρύτητα ἣν τότε εἶχεν ὁ λαός. « Ὦ φίλοι, ἥρωες Δαναοί, θεράποντες Ἄρηος » λέγει ὁ στρατάρχης πρὸς τοὺς Ἕλληνας ἐν γενικῇ συνελεύσει. Αἱ ἐκφράσεις αὗται ἀνατρέπουσι συγχρόνως καὶ τὰς περὶ τῶν ἐν Ἑλλάδι τότε πολιτευμάτων ἐσφαλμένας κρίσεις καὶ τὰς περὶ ἡρώων ἰδέας τῶν πολλῶν, τῆς λέξεως ἥρως σημαινούσης εὐγένειαν, τιμὴν ὡς νῦν τὸ κύριος, καὶ διδομένης τοῖς τε ἀρχηγοῖς καὶ τοῖς στρατιώταις (1). Ὁ οὕτω προσφωνῶν τοὺς Ἕλληνας οὐκ εἶχε βεβαίως ἐν καρὸς μοίρᾳ τὸν λαὸν ὃν ἀποκαλεῖ « τοιόνδε τοσόνδε τε λαὸν Ἀχαιῶν » πρὸς ἀνύψωσιν.

Ἀλλὰ διὰ τί, λέγουσί τινες, μόνων τῶν ἀρχηγῶν τὰ ὀνόματα ἀναφέρονται ἐν ταῖς μάχαις καὶ ταῖς ἐκκλησίαις; Ὡς ἂν μὴ συνέβαινεν ἀεὶ τὸ αὐτὸ πανταχοῦ. Πόσα ὀνόματα στρατιωτῶν διέσωσεν ἡμῖν Ἡρόδοτος διηγούμενος τοὺς Μηδικοὺς πολέμους; ἢ Θουκυδίδης συγγράφων τὸν Πελοποννησιακὸν πόλεμον; ἢ Thiers ἐν τῇ ἱστορίᾳ τῆς Γαλλικῆς Δημοκρατίας, τῆς Ὑπατείας καὶ τῆς Αὐτοκρατορίας; Τούτου ἕνεκα καὶ Βύρων βαρυθυμῶν, ὥς μοι δοκεῖ, λέγει ἐν τῇ Περιπλανήσει τοῦ Childe Harold, λαλῶν περὶ τῶν ἐν Ἰσπανίᾳ πολέμων ἐπὶ Ναπο-

(1) Τὸ τῶν Γερμανῶν Herr, πιθανῶς ἐκ τοῦ ἥρως, διετήρησε τὴν ἐπὶ τῶν Τρωϊκῶν σημασίαν. Καὶ ἐν Ὀδυσσείᾳ ὁ Τηλέμαχος, ἥρως καλεῖται ἤτοι κύριος, seigneur, οὐδὲν γὰρ ἔτι ἔργον ἥρωος διεπέπρακτο.

λέοντος, χιλιάδας ἀποθνήσκειν πρὸς κόσμον ἑνὸς ὀνόματος!

« Though thousands fall to deck some single name. »

Πλάτων δὲ καίτοι θαυμαστὴς καὶ μιμητὴς Ὁμήρου ὤν, χαριεντίζεται ἐν τῇ Πολιτείᾳ καὶ καθάπτεται αὐτοῦ ὡς διηγουμένου πράξεις θεῶν πολὺ ἐχούσας τὸ ἐμπαθὲς καὶ μανιῶδες. Ἀλλ' οἱ ἄνθρωποι, ὡς ὀρθῶς λέγει καὶ Ἀριστοτέλης, οὐ μόνον τὰ εἴδη τῶν θεῶν ἀλλὰ καὶ τοὺς βίους ἑαυτοῖς ἀφομιοῦσιν· οὐδὲν οὖν θαυμαστὸν εἰ Ὅμηρος περιέγραψε τοὺς θεοὺς ἔχοντας τὰ τότε τῶν ἀνθρώπων πάθη. Παρασιωπῶν δὲ τὰς Κρόνου τομάς, τὴν Ἰφιγενείας σφαγήν, τὰ περὶ Μηνοταύρου, καὶ ἐξελέγχων ἢ σκώπτων πολλὰς τῶν θεῶν πράξεις, παρίστησιν ἡμῖν τοὺς χρόνους ἐκείνους ἧττον δεισιδαίμονας τῶν μετὰ ταῦτα. Μελλόντων ποτε τῶν Τρώων διαβῆναι τὴν πρὸ τοῦ Ἑλληνικοῦ στρατοπέδου τάφρον, ἀετὸς ἔπτη ἐπ' ἀριστερὰ αὐτῶν. Ὁ δὲ Πολυδάμας κρίνων ἀπαίσιον τὸν οἰωνὸν συμβουλεύει τοῖς Τρωσὶ μὴ περᾷν. Ἀλλ' ὁ Ἕκτωρ ὀργίζεται κατὰ Πολυδάμαντος, καταφρονεῖ τοῦ οἰωνοῦ, προφέρει τὸν πολυθρύλλητον στίχον.

« Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης »

καὶ διαβαίνει τὴν τάφρον ἣν ἅπαντες οἱ Τρῶες διαβαί-

νουσι μετ' αὐτόν. Εἰσὶ δ' ἀξιοσημείωτοι οἱ πρὸς τὸν οἰωνοσκόπον λόγοι Ἕκτορος κυρύττοντος ἐνώπιον τοῦ Τρωϊκοῦ στρατοῦ σέβεσθαι μὲν τὸν Δία, καταφρονεῖν δὲ τῶν οἰωνῶν (Ιλ., Μ, 231-243). Ἀπὸ Ὁμήρου μέχρι τῶν ἡμετέρων χρόνων σπανίως ἐπετράπησαν ἀτιμωρητὶ σκέψεις καὶ ἐκφράσεις τοιαῦται ἐπὶ τῶν θρησκευτικῶν νομίμων. Ὁποία διαφορὰ μεταξὺ τοῦ Ὁμηρικοῦ στρατηγοῦ καὶ τοῦ ἐν Σικελίᾳ ἀτυχοῦς Νικίου, ἀνδρὸς δεισιδαίμονος, ἐμποδίσαντος τὸν ἔκπλουν τῶν Ἀθηναίων ἐκ τοῦ λιμένος Συρακουσῶν ἕνεκα τῆς ἐπελθούσης ἐκλείψεως τῆς σελήνης καὶ γενομένου αἰτίου τῆς καταστροφῆς ἐκείνης μεθ' ἣν οὔτε αἱ Ἀθῆναι οὔτε ἡ Ἑλλὰς ἀνέκυψαν πλέον (1).

Ἡ βάσις τῆς Ἑλληνικῆς θεολογίας ἦν ἐπείσακτος εἰς τὴν Ἑλλάδα· τεκμήριον τὰ ὀνόματα τῶν μεγάλων θεῶν καὶ τὰ περὶ αὐτῶν λεγόμενα ἀκατάλυπτα ἡμῖν καὶ φαινόμενα γελοῖα ἀποκυήματα ἀμαθοῦς καὶ ἀπειροκάλου φαντασίας, καίτοι βεβαίως ὑπ' αὐτὰ καλύπτονται ἰδέαι φυσικαὶ καὶ μεταφυσικαί. Ἀγνοοῦντες τὴν ἔννοιαν τῶν ὀνομάτων Κρόνου, Διός, Ἥρας, Ἅδου καὶ τὴν ἐξήγησιν πολλῶν ἀλληγοριῶν εἰς αὐτοὺς ἀναφερομένων, μένομεν ἄνευ μίτου ἐντὸς λαβυρίνθου. Οἱ δημιουργοὶ τοῦ φιλοσοφικοῦ τούτου ἔργου τοῦ αἰνιττομένου τὴν θεότητα, τὰς δυνάμεις τῆς φύσεως καὶ τὰς τοῦ ἀνθρώπου ἦσαν ἄνδρες σοφοὶ καὶ φιλάνθρωποι, νομίζοντες αὐτὸ κατάλληλον

(1) Θουκυδ. Ξυγγραφῆς τὸ ἕβδομον. Κεφ. 50.

θρήσκευμα καὶ διὰ τοὺς εὐφυεῖς καὶ πεπαιδευμένους καὶ διὰ τοὺς πολλοὺς τοὺς μὴ ἐννοοῦντας ἰδέας ἀφῃρημένας, ἐνασμενιζομένους δὲ ταῖς ὑλικαῖς τῆς Θεότητος παραστάσεσιν. Ἂν δὲ προϊόντος τοῦ χρόνου τὸ περὶ τοὺς Θεοὺς ἐξαίσιον καὶ μυθῶδες ἐπιστεύετο κατὰ γράμμα καὶ ὑπ' ἀνδρῶν οὐχὶ τῶν τυχόντων, τοῦτο ἦν συνέπεια πλημμελοῦς ἀγωγῆς ἀμελησάσης τὴν περὶ ταῦτα ἐξήγησιν τοῖς εὐφυεστέροις τῶν νέων. Οὕτω πιστεύονται καὶ νῦν οἱ ἀνοητότεροι τῶν μύθων καὶ τερατολογίαι οὐκ ὀλίγαι ἕνεκα τῆς ἀμελείας τῶν γονέων τῶν ἐπιτρεπόντων τὰ τέκνα ταῖς τροφοῖς καὶ τοῖς ὑπηρέταις τοῖς ἀμαθεστάτοις, ψεύδη ἐμποιοῦντα ἠρέμα καὶ λεληθότως ἐν νεαραῖς ψυχαῖς ἐντυπώσεις μὴ ἐξαλειφομένας οὔτε ὑπὸ τοῦ λόγου οὔτε ὑπὸ τῆς ἐπιστήμης, ἐνισχυομένας μάλιστα ἐνίοτε διὰ τὸ γίνεσθαι παραδεκτὰς καὶ ὑπὸ λογίων μὲν ἀλλ' ἀσθενῶν τὴν διάνοιαν ἀνδρῶν.

Ἐνίοτε ἡ προσωποποίησις ἢ θεοποίησις τῶν φυσικῶν φαινομένων ἐστὶ πασίδηλος, οἷον Δημήτηρ σημαίνει τὸν σῖτον ἢ τὴν κριθὴν ἐν τῷ στίχῳ·

« Ὡς θνητός τ' εἴη καὶ ἔδοι Δημήτερος ἀκτήν ».

'Ιλ., Ν, 322.

Ἥφαιστος σημαίνει πῦρ ἐν τοῖς ἑξῆς·

« πολλοὶ δ' ἀργιόδοντες ὕες θαλέθοντες ἀλοιφῇ,
» εὑόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο ».

'Ιλ., Ψ, 32.

Ἄρης ἐν τοῖς δε

« αἰδοίων τε μεσσηγὺ καὶ ὀμφαλοῦ ἔνθα μάλιστα
» γίνετ' Ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσι ».

Ἰλ., Ν. 568-.

σημαίνει πόλεμον, τραῦμα, αἰχμήν. Ὅταν ἐν Ὀδυσσείᾳ (Δ, 500) ὁ Ποσειδῶν σχίζῃ τὴν Γυρὴν πέτραν, ἐννοοῦμεν τ' ἀποτελέσματα σεισμοῦ, ἀλλ' αἱ πλεῖσται περὶ τοὺς πρώτους θεοὺς ἀλληγορίαι εἰσὶ δυσεξήγητοι. Ὅπου δὲ ἑλληνικὴ εὐφυΐα καὶ γλῶσσα περιέβαλον τὴν θρησκείαν ἐγχωρίῳ φαεινῇ χάριτι, ἐκεῖ ἡ ἀλληγορία ῥαδίως ἐξηγεῖται· οἷον ἡ Ἔρις, ἀδελφὴ τοῦ Ἄρεως, σμικρὰ κατ' ἀρχὰς οὖσα, αὔξεται ὀλίγον κατ' ὀλίγον καὶ στηρίζει τὴν κεφαλὴν τῷ Οὐρανῷ βαδίζουσα ἐπὶ τῆς γῆς·

« Δεῖμος τ' ἠδὲ Φόβος καὶ Ἔρις, ἄμοτον μεμαυῖα,
» Ἄρεος ἀνδροφόνοιο κασιγνήτη ἑτάρη τε·
» ἥτ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
» οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει ».

Ἰλ., Δ, 440-.

Ἡ Μνημοσύνη (καθ' Ἡσίοδον) μιγεῖσα Διῒ ἔτεκε δι' ἑνὸς τοκετοῦ ἐννέα ὁμόφρονας θυγατέρας ἐν Ὀλύμπῳ παρὰ τοῖς οἰκήμασι τῶν Χαρίτων, τὴν Κλειώ, Εὐτέρπην, Θάλειαν, Μελπομένην, Τερψιχόρην, Ἐρατώ, Πολύμνιαν, Οὐρανίαν καὶ Καλλιόπην, λησμοσύνην κακῶν, ἀνάπαυσιν φροντίδων. Ἀλλὰ τῷ ἀγνοοῦντι τὴν ἑλληνι-

κὴν γλῶσσαν αἱ χαρίεσσαι αὗται ἀλληγορίαι, θεοποιήσεις παθῶν ἢ δυνάμεων ἀνθρωπίνων, εἰσὶ μῦθοι ὅμοιοι τοῖς Χιμαίρας ἢ Γοργόνος μύθοις.

Καίτοι δὲ κατὰ τὸ φαινόμενον πολυθεΐα, ἡ Ἰλιάδος θρησκεία εἰς ἕνα θεὸν περιστρέφεται τὸν Δία, μεγάλον, ὕπατον, ἄριστον, πατέρα ἀνδρῶν τε θεῶν τε, μέγιστον, ἐν αἰθέρι ναίοντα. Ἡ Ἥρα, ὁ Ποσειδῶν καὶ Ἀϊδωνεὺς ἢ Ἅδης, ἀδελφοὶ νεώτεροι, ἀναγνωρίζουσι τὴν ὑπερτάτην δύναμιν καὶ σοφίαν τοῦ Διὸς καὶ ὑπείκουσιν αὐτῷ. Ὁ Ποσειδῶν παραπονεῖται ἐν Ἰλιάδι κατὰ Διὸς ὡς καταχρηστικῶς δεσπόζοντος ἐπὶ τῆς γῆς μεινάσης κοινῆς ἐν τῇ διανομῇ, ὅτε Ζεὺς μὲν ἔλαχε τοῦ αἰθέρος, Ποσειδῶν δὲ τῆς θαλάσσης, Ἅδης δὲ τῶν ὑπὸ γῆν· ἀλλὰ σέβεται καὶ ὑπακούει αὐτῷ ὡς πρεσβυτέρῳ καὶ σοφωτέρῳ.

« ἀλλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα ᾔδη ».

Ἰλ., Ν, 355.

Εἰσερχομένου τοῦ Διὸς εἰς τὸ Ὀλύμπου δῶμα, πάντες ὁμοῦ οἱ θεοὶ ἀνίστανται ἐκ τῶν ἑδρῶν καὶ οὐδεὶς τολμᾷ μεῖναι καθήμενος·

« Ζεὺς δ' ἑὸν πρὸς δῶμα· θεοὶ δ' ἅμα πάντες ἀνέσταν
» ἐξ ἑδέων, σφοῦ πατρὸς ἐναντίον· οὐδέ τις ἔτλη
» μεῖναι ἐπερχόμενον, ἀλλ' ἀντίοι ἔσταν ἅπαντες ».

Ἰλ., Α, 533-.

Ἐν γένει δὲ ὁ Ζεύς ἐστι τὸ στέλεχος τοῦ θείου γεν-

ναιαλογικοῦ δένδρου, ὧν πατὴρ πάντων καὶ πασῶν τῶν θεῶν τῶν ἐν Ὀλύμπῳ, τῶν ἐν θαλάσσῃ, λίμναις καὶ ποταμοῖς, τῶν ἐν Ἐρέβι καὶ τῶν Μοιρῶν αὐτῶν ὧν αἱ ἀποφάσεις οὐδ' ὑπὸ τῶν θεῶν ἠλλοιοῦντο. Οἱαδήποτε ἄρα πρᾶξις τῶν θεῶν εἴτε κατ' ἐντολὴν Διὸς ἐνεργούντων εἴτε καὶ μή, ὑποτίθεται ἀπόρροια ἀπ' αὐτοῦ ὡς πατρός. Αὐτὸς διέπει τὰ τοῦ Οὐρανοῦ καὶ ἐφορᾷ τὰ τῶν ἀνθρώπων, τιμωρῶν τοὺς ἁμαρτῶντας, τοὺς σκολιὰ κρίνοντας, τοὺς ἀσεβεῖς καὶ ἐπιόρκους.

Ἕκαστος πολίτης, πατὴρ ἢ μέλος οἰκογενείας ηὔχετο καὶ ἔθυεν ἐν τῇ οἰκείᾳ ἑστίᾳ, ὡς μέλος δὲ κοινότητος ἐν τοῖς ἱεροῖς καὶ βωμοῖς τοῖς δημοσίοις. Οἱ δ' ὀλίγοι τότε ἀναγκαῖοι ἱερεῖς ἢ ἱέρειαι ἐξελέγοντο ὑπὸ τοῦ λαοῦ.

Κατηγορήθη δὲ Ὅμηρος καὶ ὡς ἐπιτρέπων τοῖς Ἕλλησιν ἀνοίκεια λέγειν περὶ τοὺς θεοὺς ὅταν αἱ εὐχαὶ αὐτῶν οὐκ εἰσηκούοντο. Ἀλλὰ τί ἔπταιεν Ὅμηρος ἂν οἱ ἄνθρωποι ἠγνόουν τὸν νοῦν τῶν θεῶν οὐ ῥαδίως μετατρέπεσθαι διὰ θυσιῶν καὶ εὐχῶν. Οἱ νῦν Ἱσπανίας καὶ Σικελίας ἀμαθεῖς χριστιανοὶ προβαίνουσιν ἔτι πορρωτέρω· προσεύχονται μὲν καὶ προσφέρουσι δῶρα τοῖς ἁγίοις πρὸς ἀπαλλαγὴν κακοῦ ἢ πρὸς ἐπίτευξιν ἀγαθοῦ, μὴ εἰσακουσθέντες δὲ πράττουσιν ἀεικῆ λόγῳ καὶ ἔργῳ πρὸς τὸ θεῖον, ὑβρίζοντες καὶ αἰκίζοντες τ' ἀγάλματα αὐτῶν καὶ τὰς εἰκόνας.

Κατεκρίθησαν δὲ καὶ τὰ ἐν Ἅδῃ λεχθέντα ὑπ' Ἀχιλ-

λέως πρὸς Ὀδυσσέα παρηγοροῦντα καὶ μακαρίζοντα τὸν Πηλείδη ὡς τιμηθέντα μὲν ἰσοθέως ἐπὶ γῆς βασιλεύοντα δὲ ἐπὶ τῶν νεκρῶν ἐν Ἅδῃ.

« μὴ δή μοι θάνατόν γε παραύδα, φαίδιμ' Ὀδυσσεῦ·
» βουλοίμην κ' ἐπάρουρος ἐὼν θητευέμεν ἄλλῳ
» ἀνδρὶ παρ' ἀκλήρῳ ᾧ μὴ βίοτος πολὺς εἴη,
» ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν ».

'Οδ., Λ, 488-.

Ἀλλὰ ταῦτα εἰσὶν οὐ μόνον Ἀχιλλέως ἀλλὰ τῆς ἀνθρωπότητος ἁπάσης πόθοι μάταιοι καὶ μελαγχολικοί, οὔτε ὑπὸ τῆς ἀπελπιστικῆς τῶν αἰώνων πείρας κατα-στελλόμενοι, οὔτε ὑπὸ τῆς παραμυθητικῆς τῶν θρησκειῶν ἐπαγγελίας.

Ὁ Ὅμηρος μὴ ὢν θεολόγος ἢ νομοθέτης λαλεῖ περὶ τῶν θείων ὡς ἱστορικὸς, εὑρὼν τὴν θρησκείαν πολὺ πρὸ αὐτοῦ ἐν Ἑλλάδι ἐγκαθιδρυμένην. Περιλαμβανούσης δὲ τῆς θρησκείας ταύτης τόν τε φυσικὸν καὶ ἠθικὸν κόσμον, ὁ κύκλος εὐρύνετο προϊόντος τοῦ χρόνου καὶ αὐξομένων τῶν γνώσεων, αἱ δ' ἀλληγορίαι, ὁρισμοὶ τῶν φυσικῶν καὶ ἠθικῶν φαινομένων, ὁσημέραι καθωραΐζοντο ἑλληνι-κὸν χαρακτῆρα λαμβάνουσαι. Ἡ Ἔρις ὅθεν, ὡς καὶ πρὸ μικροῦ εἴπομεν, ἥτις μικρὰ πρῶτον οὖσα, ἐπὶ τέλους «Οὐ-ρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει». Ἡ Ἄτη (ἀπερισκεψία) περιγραφομένη μετὰ χάριτος καὶ ἐπιστή-μης ὡς ἔχουσα ἁπαλοὺς τοὺς πόδας διὰ τὸ μὴ

βαδίζειν ἐπὶ τοῦ ἐδάφους ἀλλ' ἐπὶ τῶν ἀνθρωπίνων κεφαλῶν.

« οὐλομένη· τῆς μέν θ' ἁπαλοὶ πόδες· οὐ γὰρ ἐπ' οὔδει
» πίλναται, ἀλλ' ἄρα ἥγε κατ' ἀνδρῶν κράατα βαίνει· »
'Ιλ., Τ, 92-.

Ἔτι δὲ τὰ λεγόμενα περὶ Λιτῶν, Φόβου, Ὕπνου, εἰσὶ πιθανῶς ἐφευρέσεις Ὁμήρου ὡς καὶ πολλὰ τῶν ἐπιθέτων τῶν διδομένων τοῖς θεοῖς καὶ ἐξηγούντων τὰς περὶ αὐτῶν τότε ἰδέας.

Ἂν δὲ πρὸς τοῖς εἰρημένοις ἐξετάσωμεν καὶ τὰς περὶ ψυχῆς κρίσεις Ὁμήρου καὶ τῶν ἡρώων μικρὰν πίστιν διδόντων τοῖς περὶ ἀθανασίας ψυχῆς δόγμασιν, εὑρήσομεν τοὺς χρόνους ἐκείνους ἀνεκτικοὺς καὶ λογικὴν βάσανον καὶ παρρησίαν ἐπιτρέποντας περὶ τὰ μεταφυσικά, καίτοι ἐπισφαλοῦς καὶ ἀναρμοδίου μέτρου οὔσης ἀείποτε τῆς θρησκείας πρὸς ἀνακάλυψιν καὶ δικαίαν καταμέτρησιν τοῦ πολιτισμοῦ καὶ τῆς προόδου τῶν ἐθνῶν, διὰ τὸ τὴν μὲν θρησκείαν λάτριν εἶναι τῶν καθεστώτων, τὴν δ' ἐπιστήμην καινοτόμον καὶ νεωτεριστήν· τεκμήρια ὁ τοῦ Σωκράτους θάνατος κατὰ τὸν Περικλέους αἰῶνα, κηλὶς μία μὲν ἀλλ' ἐπιφανεστάτη τῷ Ἑλληνικῷ γένει ἔχοντι ἔμφυτον τὴν περὶ τὰ θρησκευτικὰ ἀνεκτικότητα· καὶ αἱ νῦν ἐπιπολάζουσαι ἐν Εὐρώπῃ προλήψεις καὶ δεισιδαιμο-

νίαι, ἀποθαρρύνουσαι μὲν τὴν διάνοιαν, ἐξευτελίζουσαι δὲ καὶ θεότητα καὶ ἄνθρωπον.

Μόνους δὲ τοὺς θεοὺς ἐνόμιζον οἱ τότε ἀλανθάστους καὶ αὐτοῖς ἐπέτρεπον τὸ ἀνευρίσκειν καὶ τιμωρεῖν τὴν ἀσέβειαν, οἱ νῦν δ' ἐπίγειοι ἀλάνθαστοι κριταί, εἰ καὶ μὴ καίοντες καὶ ἐξαφανίζοντες ὡς ἄλλοτε τοὺς ἀντιφρονοῦντας, ἀφορίζουσιν ὅμως, ἀναθεματίζουσι, καταπιέζουσιν. Ἔτι καὶ μετὰ τὴν εἴσοδον τῶν Ἰταλικῶν στρατευμάτων εἰς Ῥώμην τῷ χιλιοστῷ ὀκτακοσιοστῷ καὶ ἑβδομηκοστῷ ἔτει μετὰ Χριστόν, ὁ στρατηγὸς Καδόρνας (Cadorna) ἀφήρεσεν ἀπὸ τῶν χειρῶν τῆς ἐν Βατικανῷ ψυχορραγούσης ἱερᾶς τυραννίδος νεανίαν ἁρπασθέντα ἀπὸ τῶν κόλπων οἰκογενείας Ἰσραηλίτιδος. Καὶ ἐν αὐτῇ τῇ Ἀγγλίᾳ χθὲς καὶ πρώην τὰ τέκνα τοῦ κλεινοῦ ποιητοῦ Shelly ἀπεσπάσθησαν βίᾳ ἀπὸ τῆς πατρικῆς οἰκίας ὅπως χριστιανικῶς ἀνατραφῶσιν, ὄντος δῆθεν τοῦ πατρὸς ἀθέου!

Φασὶ δέ τινες τῶν καθ' ἡμᾶς ἀρχαιολόγων καὶ τὰ γράμματα εἶναι ἄγνωστα τῷ Ὁμήρῳ, τὴν δὲ Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν διὰ μνήμης μόνον ποιηθῆναι, διασωθῆναι δὲ διὰ τῆς ἀπαγγελίας καὶ τοῦ ἄσματος. Ποίας δὲ ἀποδείξεις φέρουσι; Πρῶτον μὲν τὰ λυγρὰ καὶ θυμοφθόρα

σήματα ἃ ἐχάραξε Προῖτος ἐν τῷ πτηκτῷ πίνακι τῷ σταλέντι τῷ πενθερῷ διὰ Βελλεροφῶντος· καίτοι τοὐναντίον, ἐπειδὴ ὁ λαβὼν τὸν πίνακα ἐνόησε τὴν παραγγελίαν, τὰ σήματα ταῦτα δέον εἶναι γράμματα, τοῦ πίνακος ὄντος ἐφραγισμένου, τοῦτο γὰρ οἶμαι σημαίνει τὸ πτυκτός. Ἂν δὲ πάλιν ὁ πίναξ οὐκ ἦν ἐσφραγισμένος, τότε τὰ σήματα ἦσαν ἀναφιβόλως σύμβολα, ἤτοι συνθηματικὰ γράμματα, ὑποτιθέμενα τὴν χρῆσιν τῶν ἁπλῶν γραμμάτων προϋπάρχουσαν.

Δεύτερον δὲ ἐπιχείρημα φέρουσι τὸ σημεῖον ὅπερ Αἴας ἐχάραξεν ἐπὶ τοῦ κλήρου, μὴ ἀναγνωρισθὲν εἰμὴ ὑπ' αὐτοῦ τοῦ χαράξαντος (Ἰλ., Η, 182-). Ἀλλ' ὄντος τότε τοῦ Ἑλληνικοῦ στρατοῦ ὑπὸ τὰ τείχη τῆς Τροίας καὶ τῆς κληρώσεως γενομένης ἀπροόπτου, οὔτε ῥάδιον οὔτε ἀναγκαῖον ἦν τοὺς κλήρους διὰ γραμμάτων σημῆναι. Οἱ ἐννέα Ἕλληνες ἀρχηγοὶ λαβόντες τοὺς παρατυχόντας χάλικας ἢ τεμάχια ξύλων ἐποίησαν ἐπ' αὐτῶν σημεῖα μὴ ἀναναγνωριζόμενα εἰμὴ ὑπὸ τῶν ἐγχαραξάντων αὐτά.

Ἡ Ἰλιάς, κατ' ἐμέ, συνεγράφη ὅπως ἀναγινώσκηται οὐχὶ ὅπως ἀπαγγέληται. Ναὶ μὲν καὶ διακεκομμένως ἀκροαζομένης μεγίστην παρέχουσι τὴν ἡδονὴν τὰ ἐπεισόδια, αἱ περίοδοι, αἱ φράσεις, καὶ στίχοι μόνοι· ἀλλὰ πρὸς ἀνακάλυψιν τῶν γενικῶν τοῦ Ποιήματος συνδέσμων, τῶν ἁρμονιῶν καὶ καλλωνῶν τοῦ συνόλου ὡς ἑνὸς ἔργου, ἀναγκαία γίνεται ἡ ὅλη ἀνάγνωσις καὶ ὑπὸ ἀναγνώστου

σπουδαίου καὶ προσεκτικοῦ. Γενομένης δὲ γνωστῆς τῆς διατάξεως τῶν στρατῶν, Ἑλληνικοῦ τε καὶ Τρωϊκοῦ, εἶτα τῆς θαυμαστῆς συνεχείας τῶν στρατηγικῶν κινήσεων καὶ τῆς ἐφαρμογῆς αὐτῶν ἐπὶ τῆς Τρωϊκῆς χώρας, πάντες πεισθήσονται οὐχ οἷόν τε εἶναι ἀνδρὸς μνήμην ἐξελθεῖν ἀλανθάστως ἀπὸ λαβυρίνθου τοιούτου ἄνευ τοῦ βοηθήματος τῆς γραφῆς. Ἡ τῆς Τρίτης μάχης περιγραφή, ἀρχομένη ἀπὸ τοῦ 1ου στίχου τῆς Ραψῳδίας Λ, καὶ λήγουσα εἰς τὸν 242ον στίχον τῆς Ρωψῳδίας Σ, κατέχει στίχους πέντε χιλιάδας καὶ διακοσίους ἐννενήκοντα τέσσαρας, ἤτοι πλέον τοῦ τρίτου μέρους τῆς Ἰλιάδος· ἀπαιτοῦνται δὲ τοὐλάχιστον ἑπτὰ ὧραι πρὸς ἀπαγγελίαν τῶν πεντάκις χιλίων καὶ διακοσίων ἐννενήκοντα τεσσάρων στίχων. Τίνος οὖν φωνὴ ἀντεῖχε διηγουμένου αὐτὴν τὴν μάχην; Τίνος ἀκροατοῦ προσοχὴ ἠδύνατο κρίναι ἢ ἐξελέγξαι τὸν διηγούμενον; Ἂν δ' ἐπιστήσωμεν τὸν νοῦν τῇ ἐξιστορήσει τῶν τε χωρῶν καὶ τῶν ἀνθρώπων, ἐξιστορήσει ἀσφαλεῖ καὶ πίστιν ἐμπνεούσῃ, γινομένῃ μετὰ θάρρους καὶ βεβαιότητος μὴ φοβουμένης ἐξέλεγξιν, ἀναγκασθησόμεθα εἰπεῖν τὸν ποιήσαντα τὴν Ἰλιάδα ἐσχηκέναι πρὸ τῶν ὀφθαλμῶν ἱστορίαν γνωστήν, παραδεδεγμένην, γραπτήν· λέγω δ' ἱστορίαν οὐχὶ οἵαν Ἡρόδοτος ἢ Θουκυδίδης συνέγραψαν ἀλλὰ πᾶν ὅ,τι ἐπὶ χαλκοῦ, μαρμάρου ἢ πίνακος κεχαραγμένον καὶ εἰς προγεγενημένα ἔργα ἀναφερόμενον.

Μαρτυρεῖ δὲ καὶ Ἡρόδοτος πολὺ πρὸ τῶν Τρωϊκῶν τὰ γράμματα εἶναι γνωστὰ ἐν Ἑλλάδι, εἰσαχθῆναι δὲ ὑπὸ Κάδμου εἰς τοὺς Ἕλληνας λέγων· « Ἶδον δὲ καὶ » αὐτὸς Καδμήϊα γράμματα ἐν τῷ ἱερῷ τοῦ Ἀπόλλω- » νος τοῦ Ἰσμηνίου ἐν Θήβῃσι τῇσι Βοιωτῶν, ἐπὶ τρί- » ποσί τισι ἐγκεκολαμμένα τὰ πολλὰ ὁμοῖα ἐόντα τοῖσι » Ἰωνικοῖσι· ὁ μὲν οὖν εἷς τῶν τριπόδων ἐπίγραμμα ἔχει

» Ἀμφιτρύων μ' ἀνέθηκε ἰὼν ἀπὸ Τηλεϐοάων »

» ταῦτα ἡλικίην ἂν εἴη κατὰ Λάϊον τὸν Λαϐδάκου, τοῦ » Πολυδώρου, τοῦ Κάδμου » (1).

Κατὰ γοῦν τὴν μαρτυρίαν Ἡροδότου, δύο τοὐλάχιστον γενεὰς πρὸ τῶν Τρωϊκῶν ἐχρῶντο τοῖς γράμμασιν οἱ Ἕλληνες. Ἀλλὰ καὶ ἄνευ αὐτῆς, μέγιστον ἐχούσης κῦρος, τὸ τέλειον τῆς Ἑλληνικῆς γλώσσης ἐν Ἰλιάδι τεκμηριοῖ οὐ μόνον τὴν γραφὴν εἶναι κοινὴν καὶ συνήθη ὅτε τὸ ποίημα ἐποιήθη, ἀλλὰ καὶ πολλὰς φιλολογικὰς μελέτας καὶ συγγραφὰς προηγηθῆναι αὐτοῦ. Οἱ γραμματικοὶ καὶ συντακτικοὶ κανόνες εἰσὶν ὡρισμένοι καὶ σταθεροὶ ἐν Ἰλιάδι, τύπῳ εὐφραδίας καὶ ῥητορικῆς τέχνης. Οὐδείς ποτε ποιητὴς ἢ λογογράφος ἐξισώθη τῷ Ὁμήρῳ ἐν τῇ καταλλήλῳ καὶ ἐκφραστικῇ χρήσει τῶν μικρῶν

(1) Τερψιχόρη. Κεφ. 58-62 ἔνθα καὶ τῶν ἑτέρων δύο τριπόδων τὰ ἐπιγράμματα μνημονεύονται.

τοῦ λόγου μορίων, ἐν τῇ συνθέσει τῶν ἐπιθέτων, ἐν τῇ ἐκλογῇ τῶν λέξεων πρὸς ἐξεικόνισιν τῆς φύσεως ἢ τὴν ἐξήγησιν αἰσθημάτων. Διονύσιος ὁ Ἁλικαρνασεὺς ἐν τῷ «Περὶ τῆς Δημοσθένους Δεινότητος» λέγει τὸν Ὅμηρον κράτιστον κανόνα τῆς ἁρμονίας ἐκείνης τῆς προερχομένης ἐκ τῆς ἐκλογῆς τῶν λέξεων γεννώσης δὲ τὴν ἡδονὴν καὶ τὸ σεμνὸν ἐν τῇ συγγραφῇ· εἶτα ἐπιφέρει « ἐζή-
» λωσαν δὲ αὐτὸν ἐπῶν τε πολλοὶ ποιηταὶ καὶ μελῶν
» ἔτι δὲ τραγῳδίας τε καὶ κωμῳδίας· συγγραφεῖς τε ἀρ-
» χαῖοι καὶ φιλόσοφοι καὶ ῥήτορες ὧν ἁπάντων μεμνῆ-
» σθαι πολὺ ἂν ἔργον εἴη· ἀρκέσει δὲ τῶν ἐν λόγῳ δυ-
» ναστευσάντων οὓς ἐγὼ κρατίστους εἶναι πείθομαι δύο
» παρασχέσθαι μόνους· συγγραφέων μὲν Ἡρόδοτον, φιλο-
» σόφων δὲ Πλάτωνα ».

Τόλμημα ἄρα μέγα καὶ τοῦτο τοῦ Βολφίου εἰπόντος τὸν ποιητὴν καὶ τὴν γραφὴν ἀγνοεῖν καὶ ἐν ἐποχῇ ἀρχαϊκῇ καὶ βαρβάρῳ αὐτοσχεδιάσαι τὴν Ἰλιάδα. Εἶπε δὲ ταῦτα πιστεύσας οὐχὶ τῷ ἀξιοπίστῳ Ἡροδότῳ, ἀλλὰ τῷ Ἰωσήπῳ λέγοντι ἐν ἀρχῇ τοῦ κατ' Ἀπίονος λόγου·
« Ὀψὲ δὲ καὶ μόλις ἔγνωσαν φύσιν γραμμάτων (οἱ Ἕλ-
» ληνες). Οἱ γοῦν ἀρχαιοτάτην αὐτῶν τὴν χρῆσιν εἶναι
» θέλοντες παρὰ Φοινίκων καὶ Κάδμου σεμνύνονται μα-
» θεῖν. Οὐ μὴν οὐδ' ἀπ' ἐκείνου τοῦ χρόνου δύναιτό τις
» ἀναδεῖξαι σωζομένην ἀναγραφὴν οὔτ' ἐν ἱεροῖς οὔτ' ἐν
» δημοσίοις ἀναθήμασιν, ὅπου γε καὶ περὶ τῶν ἐπὶ

» Τροίαν, τοσούτοις ἔτεσι στρατευσάντων ὕστερον πολλὴ
» γέγονεν ἀπορία τε καὶ ζήτησις εἰ γράμμασιν ἐχρῶντο·
» καὶ τἀληθὲς ἐπικρατεῖ μᾶλλον περὶ τοῦ τὴν νῦν οὖσαν
» τῶν γραμμάτων χρῆσιν ἀγνοεῖν· ὅλως δὲ παρὰ τοῖς
» Ἕλλησιν οὐδὲν ὁμολογούμενον εὑρίσκεται γράμμα τῆς
» Ὁμήρου ποιήσεως πρεσβύτερον. Οὗτος δὲ καὶ τῶν
» Τρωϊκῶν ὕστερον φαίνεται γενόμενος· καί φασιν
» οὐδὲ τοῦτον ἐν γράμμασι τὴν αὑτοῦ ποίη-
» σιν καταλιπεῖν, ἀλλὰ διαμνημονευομέ-
» νην ἐκ τῶν ἀσμάτων ὕστερον συντεθῆναι,
» καὶ διὰ τοῦτο πολλὰς ἐν αὐτῇ σχεῖν τὰς διαφωνίας ».
Ἀλλὰ πῶς ὁ Βόλφιος οὐ διεῖδεν ἐν τοῖς λόγοις τούτοις τὸ ὕπουλον καὶ ἀσθενὲς τῶν ἐπιχειρημάτων Ἰωσήπου μένεα πνέοντος κατὰ τῶν Ἑλλήνων καὶ παρασιωπήσαντος τὰ εἰρημένα ὑπὸ Ἡροδότου τοῦ ἰδόντος καὶ μεταδόντος ἡμῖν τὰ ἐπὶ τῶν τριπόδων ἐπιγράμματα, τοῦ θέλοντος καὶ σεμνυνομένου ἐπὶ τῷ παρὰ Φοινίκων καὶ Κάδμου μαθεῖν τοὺς Ἕλληνας τὴν τῶν γραμμάτων χρῆσιν;

Ὁ εἰπὼν τὸν μαστὸν τῆς θηλαζούσης μητρὸς λαθηκηδῆ, τὴν ἀγορὰν κυδιάνειραν, τὴν θάλασσαν πολύφλοισβον, οὔτ' ηὐτοσχεδίαζεν οὔτ' ἐν χρόνοις ἀρχαϊκοῖς ἔζη, οὔτ' ἀδαὴς ἦν τῆς γραφῆς.

Χρῆσιν δὲ τῶν γραμμάτων τεκμηριοῦσι καὶ οἱ ἀποχωρισμοὶ τῶν προθέσεων, οἷον·

« . . . . . Αὐτὰρ ὑπὸ χθὼν
» σμερδαλέον κονάβιζε ποδῶν αὐτῶν τε καὶ ἵππων ».
Ἰλ., Β, 465.

« Ὑπό κεν ταλασίφρονά περ δέος εἷλεν »·
Ἰλ., Δ, 421.

« Ὣς φάτο· σὺν δὲ γέροντι νόος χύτο ».
Ἰλ., Ω, 358.

Καὶ τὸ ὑποκείμενον τιθέμενον μακρὰν τοῦ ῥήματος, οἷον·

« Ὣς εἰπὼν ἔτρεψεν ἀδελφειοῦ φρένας ἥρως ».
Ἰλ., Ζ, 61.

Καὶ αἱ παρενθέσεις, οἷον·

« Πεζοὶ μὲν πεζοὺς ὄλεκον φεύγοντας ἀνάγκῃ,
» ἱππεῖς δ' ἱππῆας (ὑπὸ δὲ σφίσιν ὦρτο κονίη
» ἐκ πεδίου τὴν ὦρσαν ἐρίγδουποι πόδες ἵππων)
» χαλκῷ δῃϊόεντες ».
Ἰλ., Λ 150.

καὶ

« Αὐτὰρ ὁ Μηριόναο ὀπάονα θ' ἡνίοχόν τε,
» Κοίρανον, ὅς ῥ' ἐκ Λύκτου ἐϋκτιμένης ἕπετ' αὐτῷ
» (πεζὸς γὰρ τὰ πρῶτα λιπὼν νέας ἀμφιελίσσας
» ἤλυθε, καί κε Τρωσὶ μέγα κράτος ἐγγυάλιξεν,
» εἰ μὴ Κοίρανος ὦκα ποδώκεας ἤλασσεν ἵππους·
» καὶ τῷ μὲν φάος ἦλθεν, ἄμυνεν δὲ νηλεὲς ἦμαρ·
» αὐτὸς δ' ὤλεσε θυμὸν ὑφ' Ἕκτορος ἀνδροφόνοιο)
» τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος ».
Ἰλ., Ρ, 610.

Ταῦτα καὶ παραπλήσια, ὄντα πολλὰ ἐν Ἰλιάδι, εἰσὶ τεκμήρια μεμελετημένης συνθέσεως διὰ γραφῆς οὐχὶ διὰ μνήμης μόνον. Ἀπαγγελλομένων γὰρ τῶν εἰρημένων περιόδων ὁ ἀκροώμενος δυσκόλως ἀντιλαμβάνεται τῆς ἐννοίας, ἐὰν μὴ πρότερον ἀνέγνωσεν αὐτάς· ἅλματα τοιαῦτα, παρενθέσεις τοσοῦτο μακραὶ τῷ μὲν στοιχουργοῦντι διὰ μνήμης, εἰσὶν ἀδύνατα, τῷ δ' ἀκροατῇ σκοτεινά. Ἄλλως τε δὲ πολλῶν ἀρῶν ἄξιοι μὰ τὰς Μούσας ἔσοιντο οἱ Φοίνικες οἱ πρῶτοι εἰσαγαγόντες εἰς Ἑλλάδα τὰ γράμματα, ἂν ἄνευ αὐτῶν οἱ Ἕλληνες ἐποίουν διὰ μνήμης ἔργα οἷα ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια.

Οὐ μόνον δ' ἐκ τῶν λεχθέντων ἀλλὰ καὶ ἐκ τῶν ἠθῶν καὶ τῆς διαίτης οἱ χρόνοι ἐκεῖνοι φαίνονται ἄξιοι μελέτης. Κυριωτέρα τῶν τότε μέριμνα ἦν ἡ τοῦ ἀνθρώπου τελειοποίησις ἐπὶ τῆς γῆς, ἡ κατὰ φύσιν ἢ κατὰ λόγον σωματικὴ καὶ ἠθικὴ ἀνάπτυξις, ἐξ οὗ ἡ λατρεία τοῦ καλοῦ καὶ ἀγαθοῦ. Ζῶντες δ' ἐν χώρᾳ ὡραίᾳ καὶ εὐκραεῖ, καὶ καλῶς κυβερνώμενοι εἶχον ζωηρὸν τὸ τῆς φιλοπατρίας αἴσθημα, ἀναζωπυρούμενον καὶ ὑπὸ ἀκραιφνῶν δεσμῶν συγγενείας. Ἀχιλλεύς, Τηλέμαχος, Ναυσικᾶ ἐκφράζουσι πολυτρόπως τὴν ἀείποτε ὀφειλομένην ἀγάπην πρὸς τοὺς γονεῖς, μετὰ πολλῆς δὲ στοργῆς ὁ αὐτὸς Ἀχιλλεὺς καὶ Ὀδυσσεὺς μέμνηνται τοῦ αὐτῶν ἕκαστος τέκνου. Ἡ γυνὴ ἦν σεβαστὴ καὶ ἴση τῷ ἀνδρί. Ὁ τοῦ γάμου δεσμὸς ἱερὸς καὶ δυσδιάρρηκτος. Ὁ Ἀγαμέμνων

δεικνύει ὄντως ἀδελφικὴν ἀγάπην ὁσάκις βλέπει τὸν Μενέλαον ἐκτιθέμενον εἰς κίνδυνον. Ὁ Νέστωρ καὶ Φοῖνιξ ὡς πρεσβύτεροι τιμῶνται ὑπὸ τῶν νεωτέρων. Κατὰ τὰς ὑποδοχὰς καὶ τὰς πρὸς ἀλλήλους σχέσεις ἀξιομιμήτῳ χρῶνται εὐγενείᾳ καὶ φιλοφροσύνῃ. Οἱ ἐμφύλιοι πόλεμοι καταδικάζονται ἐν Ἰλιάδι ἐν δυσὶ στίχοις ὧν τὴν πολιτικὴν ἐμβρίθειαν ἀνέπτηξεν Ἀριστοτέλης ἐν τοῖς Πολιτικοῖς.

« Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιος ἐστιν ἐκεῖνος
» ὡς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος ».

Ἡ συνείδησις καὶ ἡ αἰδώς, ἢ ὡς νῦν λέγομεν, τὸ πρὸς τὴν κοινὴν γνώμην σέβας, ἦσαν ἐλατήρια πρὸς ἔνδοξα ἔργα ἅμα δὲ καὶ ἐμπόδιον τοῦ τὰ αἰσχρὰ πράττειν. Ἡ δὲ γυμναστικὴ ἔν τε τοῖς ἀγῶσι καὶ τοῖς γυμνασίοις καθιερωμένη, ἡ θήρα, ὁ χορός, τὸ κολυμβᾷν ἦσαν ἀναγκαῖα τοῖς πολίταις οὖσι καὶ στρατιώταις. Πολλοὶ δὲ τῶν ἡρώων καὶ τὸ ἄροτρον ἐγίνωσκον καλῶς διευθύνειν καὶ τῶν τεχνῶν οὐκ ἦσαν ἀδαεῖς.

Ὁ ἵππος καὶ ὁ κύων, τὰ νοημονέστερα τῶν ζώων ἠγαπῶντο καὶ ἐτιμῶντο ὡς νῦν παρὰ Ἄγγλοις. Πολλὰ ἐν Ἰλιάδι λέγονται περὶ γενεᾶς, ἀνατροφῆς, ὡραιότητος, ταχύτητος καὶ εὐαισθησίας τῶν ἵππων. Ὁ Ὅμηρος ἐλάτρευε τὸν ἵππον διὸ καὶ τὴν λαλιὰν δίδει αὐτῷ. Κύνας δὲ ἀνέτρεφον καὶ διὰ τὴν θήραν καὶ πρὸς τέρψιν τοὺς

καλουμένους τραπεζῆας ἐξ ὧν Ἀχιλλεὺς εἶχεν ἐννέα·

« Ἐννέα τῷγε ἄνακτι τραπεζῆες κύνες ἦσαν ».

Ἡ στρωμνὴ τοῖς μὲν νέοις ἦν ἁπλῆ καὶ σκληρὰ τοῖς δὲ πρεσβυτέροις μαλακὴ ὡς ἡ παρασκευασθεῖσα τῷ Φοίνικι, δι' ἑνὸς δὲ στίχου περιγραφομένη·

« κώεα τε ῥῆγος τε λίνοιό τε λεπτὸν ἄωτον ».

στρωμνὴ ἁρμόζουσα τῷ εὐγενεστέρῳ τῶν νῦν θνητῶν.

Τὰ τοίνυν ἐκ λίνου ὑφάσματα, οἷον σινδόνες καὶ χιτῶνες ἦσαν ἐν χρήσει παρὰ τοῖς Ἕλλησιν ἔτι καὶ ἐπὶ τῶν Τρωϊκῶν. Ἂν δέ τινες εἰς τὸ μετέπειτα παρήτησαν τὰ λινά, τοῦτο ἔπραξαν πρὸς ἀποφυγὴν τοῦ ἁβροδιαίτου μιμούμενοι τοὺς Λακεδαιμονίους, ὡς ἱστορεῖ Θουκυδίδης, ὄχι δι' ἔλλειψιν περὶ τὰς τέχνας γνώσεων ἢ διὰ πτωχείαν, ὡς εἶπόν τινες οἰκονομολόγοι ἀγνοοῦντες τὴν Ἑλληνικὴν ιστορίαν.

Ὁ ἱματισμὸς τῶν ἀνδρῶν, τῶν γυναικῶν, τοῦ στρατιώτου ἥρμοζε τῇ φύσει καὶ τοῖς ἔργοις ἑκάστου, οὔτε τὰς κινήσεις οὔτε τὴν ἀνάπτυξιν τοῦ σώματος κωλύων· ἐπ' αὐτοῦ δὲ ὡς καὶ ἐπὶ πάντων τῶν ἐν τῷ βίῳ χρησίμων ἐπήνθη ἡ κομψότης καὶ ἡ καλλωνή.

Ἀλλ' αἱ μὲν ποιητικαί, ῥητορικαὶ ἔτι δὲ καὶ φιλοσο-

φικαὶ τῆς Ἰλιάδος ἰδέαι ἔτυχον πολλῶν καὶ ἀξιολόγων ἐπαινετῶν, οὐδεὶς δὲ μέχρι τοῦδε ἀπέδειξε πῶς οἱ τῶν μαχομένων ἑλιγμοὶ καὶ κινήσεις ὑπάγονται ὑπὸ κανόνας στρατηγικῆς καὶ ἐφαρμόζονται ἐντελῶς ἐπὶ τοῦ Τρωϊκοῦ πεδίου. Ἐκ τῆς ἀγνοίας δὲ ταύτης προήρχοντο αἱ συγκεχυμέναι ἰδέαι καὶ αἱ ἀμφιβολίαι περὶ Ἰλίου, περὶ Τρωϊκοῦ πεδίου, περὶ Σκαμάνδρου, περὶ Σιμόεντος· πρὸς δὲ τούτοις καὶ αἱ κατὰ τῆς ἑνότητος τῆς Ἰλιάδος κρίσεις Βολφίου καὶ Γρότου (1). Οἱ τοῦ Ὁμήρου σύγχρονοι καὶ οἱ τοῖς χρόνοις αὐτοῦ πλησιάζοντες, ἀναγινώσκοντες τὴν Ἰλιάδα ἐδιδάσκοντο καὶ ἀπήλαυον ἡδονῆς ἀφάτου καὶ διὰ τὰς χάριτας καὶ τὸν κόσμον τῆς ποιήσεως, καὶ διὰ τὴν ἀλήθειαν καὶ τὴν ἀκρίβειαν τῆς συγγραφῆς. Ἀλλὰ προϊόντος τοῦ χρόνου καὶ τῶν ἐπῶν ἀπὸ τῆς Ἰωνίας εἰς τὴν καθαυτὸ Ἑλλάδα μετενεχθέντων καὶ πρὸς τέρψιν ἐν ταῖς ὁμηγύρεσι καὶ ἐν τοῖς ἀγῶσι τεμαχηδὸν ἀπαγγελλομένων, ἡ Ἰλιὰς ἔπαθεν ὅ,τι πάσχει γυνὴ ὡραία, πολυτελῆ στολὴν περιβεβλημένη, ἐν ὁμηγύρει ἀγροίκῳ. Ὁ μὲν ποιητικὸς κόσμος, καίτοι ἐπουσιώδης καὶ πρὸς ἐξύψωσιν ἐπεξειργασμένος ἐπέσυρε τὴν προσοχὴν τῶν πολλῶν, ἡ δ' ὄντως καλλωνή, ἡ ἁρμονία τῶν μελῶν παρεγνωρίζετο, ἡ ἀπὸ τοῦ ὅλου ἡδονὴ καὶ ὠφέλεια ἐξηφανίζετο. Ἕνεκα τούτου ὁ Σόλων διὰ νόμου ὑπεχρέου ἐν τοῖς Παναθηναίοις τοὺς Ραψῳδοὺς ἀπαγγέλλειν τὰ Ὁμήρου

(1) Wolf. Προλεγόμενα. Grote. Ἱστορία τῆς Ἑλλάδος.

ἔπη ἐξ ὑποβολῆς, ἤτοι κατὰ σειρὰν ἀπ' ἀρχῆς μέχρι τέλους, ὅπως διασωθῇ ἥτε ἀκεραιότης καὶ ἡ ἑνότης. Καὶ ἡ μὲν Ἰλιὰς διετηρήθη ἀκεραία καὶ ἀλάνθαστος ἐν συνόλῳ. Ἀλλὰ πέπλος ἐπιλησμοσύνης ἐκάλυψε τὴν στρατηγικὴν αὐτῆς ἀξίαν καὶ τὸν προορισμὸν τῆς μερίδος ἐκείνης ἣν ὠνόμασαν Κατάλογον νηῶν· τεκμήριον αἱ διαιρέσεις εἰς ἃς ἀτέχνως διῃρέθη τὸ ποίημα, τῶν διαιρέσεων οἱ τίτλοι καὶ τελευταῖον ἡ θέσις ἣν ἔχει ἐν τῷ Καταλόγῳ τὸ Σῶμα Φυλάκης οὗπερ ἦρχε Πρωτεσίλαος. Δῆλον γὰρ ἐκ τῆς τῶν μαχῶν περιγραφῆς ὅτι τὸ Φυλάκης ἔθνος παρετάχθη παρὰ τοῖς Λοκροῖς ἐν τῷ παρὰ τὸν Ἑλλήσποντον ἑλληνικῷ στρατοπέδῳ, κατὰ τὸ δεξιὸν κέρας, ὄχι μετὰ τοὺς Μυρμιδόνας, κατὰ τὸ ἀριστερόν, ὡς ὑπ' ἀμαθῶν ἐτέθη ἀντιγραφέων καὶ εὑρίσκεται νῦν ἐν τῷ Καταλόγῳ.

Καὶ αὐτὸς δὲ ὁ Στράβων, ὁ μέγιστος Ὁμήρου θαυμαστής, καὶ οἱ πρὸ αὐτοῦ κριτικοὶ ἠγνόουν τὴν ἐν Ἰλιάδι στρατηγικὴν τάξιν καὶ διακόσμησιν, ὡς φαίνεται ἐκ τῶν λεγομένων ἐν τοῖς Γεωγραφικοῖς περὶ τοῦ ἀμφισβητουμένου στίχου·

« στῆσε δ' ἄγων ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες ».

περὶ οὗ μετ' οὐ πολὺ ἐν ἐκτάσει λαλήσομεν. Ἀλέξανδρος

(1) « Τά τε Ὁμήρου ἐξ ὑποβολῆς γέγραφε ῥαψῳδεῖσθαι, οἷον ὅπου ὁ πρῶτος ἔληξεν ἐκεῖθεν ἄρχεσθαι τὸν ἐχόμενον ». Διογ. Λαερ. Βίος Σόλωνος.

ὁ Μακεδὼν καὶ Ναπολέων ὁ Πρῶτος, κριταὶ ἀξιόχρεοι, ἐθαύμαζον τὴν Ἰλιάδα· ὁ Ναπολέων μάλιστα ἔλεγε τὸν Ὅμηρον πολεμιστὴν μᾶλλον φαίνεσθαι ἄνδρα ἢ καθήμενον καὶ διδάσκοντα ἐν ταῖς Χίου σχολαῖς (1). Καὶ ὅμως ἠγνόουν τὸ ἀξιολογώτερον προσὸν τῆς Ἰλιάδος, ἤτοι τὸν τρόπον τῆς ἐφαρμογῆς τῶν μαχῶν ἐπὶ τοῦ Τρωϊκοῦ πεδίου, τεκμήριον αἱ ἐσφαλμέναι ἰδέαι καὶ αἱ ἀμφιβολίαι ἃς εἶχον αὐτοί τε καὶ οἱ σύγχρονοι αὐτοῖς περὶ τῆς τοπογραφίας τοῦ Ποιήματος (2).

Ἔρχομαι οὖν ἐκτενεστέρως περὶ τῆς στρατηγικῆς διασκευῆς τῆς Ἰλιάδος εἰπεῖν, ἔχων μόνον ὁδηγὸν τὸν Ὅμηρον μεθ' οὗ ῥαδίως ἀναγνωρίσομεν τήν τε χώραν ἐφ' ἧς ἡ Ἑλλὰς τὰ πρῶτα ἔστησε κατὰ τῆς Ἀσίας τρόπαια καὶ τὴν Ἰλιάδος ἑνότητα.



(1) Lorsque l'on lit l'Iliade on sent à chaque instant qu'Homère à fait la guerre et n'a pas, comme le disent les commentateurs, passé sa vie dans les écoles de Chios». Note de Napoléon I^er sur le deuxième livre de l'Enéïde de Virgile.

(2) Ὅρα ἐν τοῖς περὶ Ἰλίου τὰ λεγόμενα περὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος.

ΙΛΙΑΔΟΣ
ΣΤΡΑΤΗΓΙΚΗ ΔΙΑΣΚΕΥΗ

ΚΑΙ

ΤΟΠΟΓΡΑΦΙΑ

ΚΕΦΑΛΑΙΟΝ Α΄.

ΙΛΙΑΔΟΣ ΔΙΑΙΡΕΣΙΣ ΚΑΙ ΧΡΟΝΟΛΟΓΙΑ.

Κατὰ τὴν μαρτυρίαν τῶν ἀρχαίων, ἰδίᾳ δὲ Ἡροδότου (Κλειώ. 1-5) Θουκυδίδου (Βιβλ. Α΄. 1-13), Πλάτωνος (Νόμων Διάλογ. Τρίτος), οἱ Ἕλληνες συναγείραντες μέγαν στόλον ἦλθον εἰς Ἀσίαν καὶ καθεῖλον τὴν Πριάμου δύναμιν, πρόφασιν μὲν ἔχοντες τὴν ἁρπαγὴν Ἑλένης, ὄντως δὲ δι' αἰτίας σπουδαιοτέρας δι' ἃς ἔτι καὶ νῦν παραμένει ἡ μεταξὺ Ἀσίας καὶ Εὐρώπης ἔχθρα. Οὕτως ἐπὶ τῶν ἡμετέρων χρόνων ὁ Κριμαϊκὸς λεγόμενος πόλεμος ἐγένετο, οὐχὶ διὰ τὸν περιφρονητικὸν τοῦ Μεντζικὼφ μανδύαν ἢ διὰ τὰς ἐν Ἱεροσολύμοις τῶν ἱερέων ἔριδας ἀλλὰ πρὸς περιστολὴν τῆς τῶν Ρώσσων ἐν τῇ Ἀνατολῇ ἐπιρροῆς καὶ προόδου.

Ἡ μὲν οὖν Ἰλιὰς ἀντικείμενον ἔχουσα τὴν Ἀχιλλέως

μῆνιν περιλαμβάνει τὰ συμβάντα ἐν ἡμέραις μιᾷ καὶ πεντήκοντα ἐκ τῶν τελευταίων τοῦ Τρωϊκοῦ πολέμου ἡμερῶν, ἐξιστορούμενα διὰ φυσικῆς καὶ λογικῆς ἀλληλουχίας, ἀπὸ τῆς ἡμέρας καθ' ἣν ὁ Χρύσης ἦλθεν εἰς τὸ Ἑλληνικὸν στρατόπεδον καὶ ὁ λοιμὸς ἤρξατο, μέχρι τῆς ἡμέρας καθ' ἣν Ἕκτωρ ἐτάφη. Ἰδίως δὲ τὸ Ποίημα περιστρέφεται καὶ περιγράφει ἐπιστημονικῶς ἡμερῶν ἓξ πολεμικὰ ἔργα.

Ἐκ πασῶν δὲ τῶν πράξεων τῶν ἐχουσῶν σχέσιν πρὸς τὰς ὥρας τοῦ ἔτους συμπεραίνομεν ὅτι τὰ ἐν Ἰλιάδι διηγούμενα συνέβησαν περὶ τὰ τέλη ἔαρος καὶ ἀρχομένου θέρους, ἤτοι κατὰ τὰς μακροτέρας τοῦ ἔτους ἡμέρας. Οἷον Ἀγαμέμνων, Νέστωρ καὶ Ὀδυσσεὺς ἐλθόντες διὰ νυκτὸς εἰς τὰς σκηνὰς Διομήδους εὑρίσκουσιν αὐτόν τε καὶ τοὺς ἑταίρους κοιμωμένους ἐν τῷ ὑπαίθρῳ, τὰς μὲν κεφαλὰς ἐπὶ τῶν ἀσπίδων τὰ δὲ σώματα ἐπὶ δερμάτων κατακεκλιμένους (Κ. 150). Κατὰ τὴν αὐτὴν νύκτα Διομήδης καὶ Ὀδυσσεὺς ἐπιστρέψαντες ἀπὸ τῆς κατασκοπεύσεως τοῦ ἐχθρικοῦ στρατοπέδου εἰσέρχονται εἰς τὴν θάλασσαν ἵνα πλυθῶσι καὶ δροσισθῶσιν·

« αὐτὰρ ἐπεί σφιν κῦμα θαλάσσης ἱδρῶ πολλὸν
» νίψεν ἀπὸ χρωτὸς καὶ ἀνέψυχθεν φίλον ἦτορ. »

Ἰλ. Κ. 574.

Ἡ τελευταία μάλιστα φράσις ἐκφράζει πιστῶς τὴν ἡδονὴν τοῦ ἐν ὥρᾳ θερινῇ ἐν τῇ θαλάσσῃ λουομένου.

Ὁμοίως ὁ γηραιὸς Νέστωρ καὶ ὁ τρωθεὶς Μαχάων, ἐλθόντες ἐφ' ἅρματος ἀπὸ τοῦ πεδίου τῆς μάχης εἰς τὴν παραλίαν, ἀποψύχονται τὸν ἱδρῶτα τῶν χιτώνων στάντες πρὸς τὴν πνοὴν τῶν ἀνέμων.

« . . τοὶ δ' ἱδρῶ ἀπεψύχοντο χιτώνων
» στάντε ποτὶ πνοιὴν παρὰ θῖν' ἁλός . . . »

Ἰλ., Λ, 621.

Ἡ δὲ εἰς τέσσαρα καὶ εἴκοσι μέρη διαίρεσις τῆς Ἰλιάδος, γενομένη δι' ἄγνοιαν τῆς στρατηγικῆς ἀξίας τῆς συγγραφῆς καὶ πρὸς εὐκολίαν τῶν ραψῳδῶν καὶ τῶν ἀκροατῶν τῶν τυχόντων, διαμελίζει ἀτέχνως τὸ Ποίημα διακόπτουσα τὴν σειρὰν τῶν πράξεων. Οἱ νομίσαντες τὴν Ἰλιάδα ἐκ πολλῶν ἢ ἐκ δύο Ποιημάτων συγκειμένην εἶναι, ἠπατήθησαν πρὸ πάντων ὑπὸ τῆς διαιρέσεως ταύτης. Ἐξεταζομένη οὖν ἐν συνόλῳ ὡς συγγραφὴ ἡ Ἰλιὰς εἰς τρεῖς γενικὰς διαιρέσεις εὑρίσκεται διαιρουμένη, εἰς Πρόλογον, Πρᾶξιν καὶ Ἐπίλογον. Ἀναλύσαντες δὲ τὴν Πρᾶξιν καὶ ἰδόντες τὰς ἐν αὐτῇ περιγραφομένας τέσσαρας Μάχας (1), διεκρίναμεν ἐν τῷ Ποιήματι ἓξ φυσικὰς διαιρέσεις, τὰς ἑξῆς.

(1) Διὰ τῆς λέξεως Μάχη ἐννοοῦμεν πάσας τὰς ἐν μιᾷ ἡμέρᾳ πολεμικὰς πράξεις.

ΠΡΩΤΗ ΔΙΑΙΡΕΣΙΣ, Η ΠΡΟΛΟΓΟΣ

Λήγουσα ἐν τῷ 47ῳ στίχῳ τῆς Β, Ραψῳδίας·

« σὺν τῷ ἔδη κατὰ νῆας Ἀχαιῶν χαλκοχιτώνων. »

Τὸ ἀντικείμενον τῆς Ἰλιάδος ἐν τῇ διαιρέσει ταύτῃ περιγράφεται· Ἀχιλλεὺς καὶ Ἀγαμέμνων ἐρίζουσιν, Ἀχιλλεὺς στερεῖται τῆς Βρισηΐδος, μηνίει καὶ ἀπέχει τοῦ πολέμου. Τὸ δ' ἐν τῇ πρώτῃ διαιρέσει χρονικὸν διάστημα ἐστιν ἡμερῶν εἴκοσι, ἀπὸ τῆς ἀφίξεως Χρύσου εἰς τὸ Ἑλληνικὸν στρατόπεδον μέχρι τῆς εἰς Ὄλυμπον ἐπιστροφῆς τοῦ Διός. Κατὰ δὲ τὴν νύκτα τῆς εἰκοστῆς πέμπεται ὁ Ὄνειρος τῷ Ἀγαμέμνονι.

ΔΕΥΤΕΡΑ ΔΙΑΙΡΕΣΙΣ.

Ἀρχομένη ἐν στίχῳ 48ῳ τῆς Β, Ραψῳδίας·

« Ἠὼς μὲν ῥα θεὰ προσεβήσατο μακρὸν Ὄλυμπον. »

λήγουσα δὲ ἐν στίχῳ 482ῳ τῆς Η, Ραψῳδίας

« κοιμήσαντ' ἄρ ἔπειτα καὶ ὕπνου δῶρον ἕλοντο. »

Ἐντεῦθεν ἄρχονται αἱ στρατιωτικαὶ τῆς Ἰλιάδος πράξεις. Οἱ Ἕλληνες πείθονται τῷ παρὰ Διὸς πεμφθέντι Ὀνείρῳ καὶ παρασκευάζονται κατὰ τῶν Τρῴων. Ὁ Ποιητὴς περιγράφει τὸν ἀριθμὸν τῶν πολεμούντων ἐθνῶν, ἀρχηγῶν καὶ τῶν Ἑλληνικῶν πλοίων. Συναντηθέντων δὲ ὑπὸ τὴν πόλιν τῶν δύο στρατῶν, Ἀλέξανδρος καὶ Μενέλαος μονομαχοῦσιν. Ἡττηθέντος δὲ Ἀλεξάνδρου, καὶ τῶν ὅρκων καταπατηθέντων ὑπὸ τῶν Τρῴων, ἡ μάχη ἄρχεται, μετ' οὐ πολὺ δὲ συνεργείᾳ Ἀθηνᾶς καὶ Ἀπόλλωνος γίνεται ἀνακωχὴ καὶ μονομαχία Ἕκτορος καὶ Αἴαντος Τελαμωνίου ἰσόρροπος μέχρι νυκτός, ὅτε ἀποχωρίζονται καὶ οἱ μὲν Τρῶες εἰς τὴν πόλιν, οἱ δ' Ἕλληνες εἰς τὰ πλοῖα ἐπανέρχονται. Τὴν πρωΐαν δὲ τῆς ἐπιούσης ὁ Ἰδαῖος ἔρχεται εἰς τὸ Ἑλληνικὸν στρατόπεδον φέρων προτάσεις εἰρήνης καὶ ἀνακωχῆς πρὸς ἀναίρεσιν τῶν νεκρῶν. Οἱ Ἕλληνες ἀπορρίπτουσι μὲν τὰ περὶ εἰρήνης, παραδέχονται δὲ τὴν διὰ τὴν ἀναίρεσιν τῶν νεκρῶν ἀνακωχήν. Οὕτως οὖν κατὰ μὲν τὴν ἡμέραν ταύτην τοῖς νεκροῖς ἑκατέρωθεν τὰ νενομισμένα ἀποδίδονται, κατὰ δὲ τὴν ὑστεραίαν οἱ Ἕλληνες τύμβον ποιήσαντες ἐπὶ τὴν πυράν, καταναλίσκουσι τὸ λοιπὸν τῆς ἡμέρας εἰς τὴν κατασκευὴν τείχους καὶ τάφρου πρὸ τοῦ αὐτῶν στρατοπέδου. Τρεῖς ἄρα ἐν τῇ δευτέρᾳ διαιρέσει περιέχονται ἡμέραι, ἡ πρώτη τῶν ἐχθροπραξιῶν καὶ αἱ μετ' αὐτὴν τῆς ἀνακωχῆς δύω,

ΤΡΙΤΗ ΔΙΑΙΡΕΣΙΣ.

Ἄρχεται μὲν ἀπὸ τοῦ 1ου στίχου τῆς Θ, Ραψῳδίας·

« Ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν. »

λήγει δὲ ἐν τῷ τελευταίῳ τῆς Ραψῳδίας Κ,

« πλείου ἀφυσσάμενοι λεῖβον μελιηδέα οἶνον ».

Αἱ τῆς ἀνακωχῆς ἡμέραι παρῆλθον· τὴν δ' ἐπιοῦσαν ἀμφότεροι οἱ στρατοὶ ὁπλίζονται καὶ οἱ μὲν Ἕλληνες ἀπὸ τῶν νηῶν, οἱ δὲ Τρῶες ἀπὸ τῆς πόλεως προχωροῦσι κατ' ἀλλήλων. Ἡ μάχη μέχρι μὲν μεσημβρίας (Θ, 1-68) ἦν ἀμφιρρεπής, μετὰ δὲ τὴν μεσημβρίαν οἱ Τρῶες ὑπερτεροῦσιν ὠθήσαντες μέχρι τῆς Τάφρου τοὺς Ἕλληνας οὓς εὐτυχῶς ἡ νὺξ ἐπελθοῦσα σώζει. Οἱ Τρῶες διανυκτερεύουσιν ἐπὶ τοῦ πεδίου, οἱ δ' Ἕλληνες πέμπουσι τὴν πρὸς Ἀχιλλέα πρεσβείαν, τίθενται ἰσχυρὰν φυλακὴν μεταξὺ Τείχους καὶ Τάφρου καὶ τελευταῖον Διομήδης καὶ Ὀδυσσεὺς κατασκοπεύουσι τὸ Τρωϊκὸν στρατόπεδον. Ἐν τῇ διαιρέσει ταύτῃ μία περιέχεται ἡμέρα.

ΤΕΤΑΡΤΗ ΔΙΑΙΡΕΣΙΣ.

Ἀρχομένη ἀπὸ τοῦ 1ου στίχου τῆς Λ, Ραψῳδίας·

« Ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο »

λήγουσα δὲ εἰς στίχον 617ον τῆς Σ, Ραψωδίας

« τεύχεα μαρμαίροντα παρ' Ἡφαίστοιο φέρουσα »

Ἀποτυχούσης τῆς πρὸς Ἀχιλλέα πρεσβείας, οἱ Ἕλληνες ἅμα τῇ ἠοῖ ἐπιτίθενται τοῖς Τρωσίν. Ἀγαμέμνων ἀριστεύει διώξας τοὺς Τρῶας μέχρι τῶν τειχῶν τῆς πόλεως, ἀλλὰ τρωθεὶς ἐπιστρέφει εἰς τὰ πλοῖα. Μετὰ δὲ τοῦτο οἱ Τρῶες ἀπωθήσαντες τοὺς Ἕλληνας διαβαίνουσι τὴν τάφρον, ρίπτουσι τὸ τεῖχος καὶ μάχονται πρὸ τῶν νηῶν. Ὁ Τελαμώνιος Αἴας βάλλει διὰ λίθου τὸν Ἕκτορα καὶ ἐπὶ σμικρὸν οἱ Ἕλληνες ἀναπνέουσιν. Ὁ δ' Ἕκτωρ μετακομισθεὶς ἐπὶ τοῦ Σκαμάνδρου συνέρχεται εἰς ἑαυτόν, ἐπανέρχεται εἰς τὴν μάχην καὶ ὠθεῖ πάλιν τοὺς Ἕλληνας μέχρι τῶν πλοίων (Ο, 725). Αἴας ὁ Τελεμώνιος ἀνθίσταται, ἀλλὰ θλασθέντος τοῦ αὐτοῦ δόρατος, οἱ Τρῶες βάλλουσι πῦρ τῇ νηῒ Πρωτεσιλάου (Π, 122-). Ἀχιλλεὺς δὲ ἰδὼν αἴφνης τὸν καπνὸν πέμπει μετὰ σπουδῆς τὸν Πάτροκλον σὺν τοῖς Μυρμιδόσιν εἰς τὸν ἀγῶνα· ὁ δὲ Πάτροκλος ἐλθὼν φονεύει μὲν Σαρπηδόνα καὶ πολλοὺς ἄλλους καὶ ἀπωθεῖ τοὺς Τρῶας μέχρι τοῦ ἄστεος, ἀλλὰ φονεύεται καὶ αὐτὸς ὑφ' Ἕκτορος. Ἀγὼν δεινὸς γίνεται ἐπὶ τοῦ νεκροῦ Πατρόκλου φερομένου πρὸς τὸ Ἑλληνικὸν στρατόπεδον. Ἀχιλλεὺς δὲ μαθὼν τὸν Πατρόκλου θάνατον τρέχει ἄνευ ὅπλων εἰς τὴν τάφρον καὶ διὰ

τῆς φωνῆς μόνον ἀπωθεῖ τοὺς Τρῶας. Ὁ νεκρὸς φέρεται μετὰ θρήνων εἰς τὰς Ἀχιλλέως σκηνάς, ὁ ἥλιος δύει, ἡ μάχη παύει (Σ, 242). Τὸ λοιπὸν τῆς Ραψῳδίας Σ, περιγράφει τὴν νυκτερινὴν τῶν Τρώων συνέλευσιν, τοὺς παννυχίους θρήνους τῶν Ἀχαιῶν καὶ τὴν ὑπὸ Ἡφαίστου ποιηθεῖσαν τῷ Ἀχιλλεῖ πανοπλίαν. Ἐν τῇ τετάρτῃ διαιρέσει περιέχεται ἡμέρα μία καὶ περιγράφεται ἡ κυριωτέρα τῶν Μαχῶν τῆς Ἰλιάδος ἀρξαμένη ἀπὸ πρωΐας καὶ λήξασα κατὰ τὴν δύσιν τοῦ ἡλίου.

Ἡ διήγησις δὲ τῆς Μάχης ταύτης οὔσης τρίτης ἀπὸ τῆς ἀρχῆς τῶν ἐχθροπραξιῶν περιέχει (ἀπὸ τοῦ 1ου στίχου τῆς Λ, Ραψῳδίας μέχρι τοῦ 242ου τῆς Σ,) στίχους πεντάκις χιλίους καὶ διακοσίους ἐννενήκοντα τέσσαρας, ἤτοι πλέον τοῦ τρίτου μέρους τῆς Ἰλιάδος· ἔστι δ' ἀξία θαυμασμοῦ διά τε τὴν συνέχειαν καὶ τὴν ἀκρίβειαν τῶν πολλῶν ἑλιγμῶν καὶ περιπετειῶν, μάλιστα δὲ διὰ τὴν ἀλάνθαστον ἐφαρμογὴν ἐπί τε τοῦ Τρωϊκοῦ πεδίου καὶ ἐπὶ τῆς ἅπαξ ἐν τῷ Καταλόγῳ ὁρισθείσης διατάξεως τῶν Ἑλληνικῶν ἐθνῶν παρὰ τὸν Ἑλλήσποντον, ὡς ἀποδειχθήσεται ἐναργέστερον ἐν τῇ γενησομένῃ κατ' ἰδίαν ἑκάστης τῶν Μαχῶν ἐρεύνῃ. Ἐντεῦθεν δὲ μάλιστα φαίνεται τὸ ἄτοπον τῆς νῦν διαιρέσεως καὶ ἡ βεβαιότης τοῦ διὰ γραφῆς ποιηθῆναι τὴν Ἰλιάδα, ὡς καὶ ἐν τοῖς Προλεγομένοις εἴπομεν.

ΠΕΜΠΤΗ ΔΙΑΙΡΕΣΙΣ.

Ἀρχομένη ἀπὸ τοῦ 1ου στίχου τῆς Τ, Ραψῳδίας·

« Ἠὼς μὲν κροκόπεπλος ἀπ' Ὠκεανοῖο ῥοάων »

Λήγουσα δὲ εἰς τὸν 108ον στίχον τῆς Ψ, Ραψῳδίας·

« Ὡς φάτο· τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο. »

Ἀναφανείσης τῆς Ἠοῦς ἡ Θέτις φέρει τῷ Ἀχιλλεῖ τὴν πανοπλίαν. Ὁ Ἥρως προσκαλεῖ εἰς ἀγορὰν τοὺς Ἕλληνας καὶ ἀναγγέλλει τὴν παῦσιν τῆς μήνιδος. Οἱ Μυρμιδόνες φέρουσιν εἰς Ἀχιλλέως τὰ ὑπὸ Ἀγαμέμνονος ὑποσχεθέντα. Ὁ στρατὸς ὁπλίζεται καὶ προχωροῦσι κατὰ τῶν Τρώων. Οἱ θεοὶ ἔρχονται ἀπ' Ὀλύμπου, τῆς μάχης ἀρξαμένης, ἀλλ' ἐκ συμφώνου ἀπομακρύνονται. Ὁ Ἀχιλλεὺς ἀπωθεῖ τοὺς Τρῶας ἀθρόους μέχρι τῆς διαβάσεως (πόρου) Σκαμάνδρου (1). Ὁ Σκάμανδρος ἐγείρεται κατ' αὐτοῦ, οἱ δὲ θεοὶ ἐπανέρχονται. Ὁ Ἥφαιστος δαμάζει τὸν Σκάμανδρον, οἱ Τρῶες φεύγουσι διωκόμενοι καὶ κλείονται ἐν Ἰλίῳ. Ὁ Ἕκτωρ μόνος μένει ἐκτὸς τῶν Πυλῶν,

(1) Ὁ Ποιητὴς ὀνομάζει « πόρον Σκαμάνδρου » τὴν περὶ τὰ μέσα τοῦ Τρωϊκοῦ πεδίου κοίτην τοῦ Ποταμοῦ οὖσαν παράλληλον τῷ Ἑλλησπόντῳ καὶ διαβατὴν τὸ θέρος. Ὅρα Πίνακα Β'.

φονεύεται ὑπ' Ἀχιλλέως καὶ ἀπηνῶς συρόμενος ὄπισθεν τοῦ ἅρματος τοῦ νικητοῦ φέρεται εἰς τὸ Ἑλληνικὸν στρατόπεδον καὶ ῥίπτεται παρὰ τῷ Πατρόκλου φερέτρῳ. Ἐπελθούσης δὲ τῆς νυκτὸς ἡ Πατρόκλου ψυχὴ ἐφίσταται τῷ Ἀχιλλεῖ κοιμωμένῳ. Ὁ Ἥρως ἐξυπνᾷ καὶ θρηνεῖ μετὰ τῶν Μυρμιδόνων τὸν ἀποθανόντα φίλον. Ἐνταῦθα λήγει ἡ Πρᾶξις τοῦ Ποιήματος καὶ ἡ πέμπτη φυσικὴ διαίρεσις περιλαμβάνουσα ἡμέραν μίαν.

ΕΚΤΗ ΚΑΙ ΤΕΛΕΥΤΑΙΑ ΔΙΑΙΡΕΣΙΣ.

Τὸ λοιπὸν μέρος τοῦ ποιήματός ἐστιν, οὕτως εἰπεῖν, ὁ ἐπίλογος. Ἡ Ἠὼς ἀναφαίνεται, τὰ ξύλα συλλέγονται, ἡ πυρὰ δι' ὅλης τῆς ἡμέρας καὶ τῆς ἐπερχομένης νυκτὸς καίει τὸν νεκρὸν Πατρόκλου (Ψ, 109-225). Τὴν ἐπομένην δὲ πρωΐαν ἡ πυρὰ σβέννυται καὶ τὰ Πατρόκλου ὀστᾶ συλλέγονται ἐν χρυσῇ φιάλῃ. Μετὰ τὴν ταφὴν ὁ Ἀχιλλεὺς τίθησιν ἀγῶνας, μετὰ δὲ τοὺς ἀγῶνας οἱ λαοὶ σκεδασθέντες κοιμῶνται (Ψ, 226-Ω, 3). Ὁ Πρίαμος ἔρχεται διὰ νυκτὸς εἰς Ἀχιλλέως καὶ λαμβάνει τὸν νεκρὸν Ἕκτορος ὃν οἱ Τρῶες θρηνοῦσι καὶ θάπτουσιν. Ὁ ἐπίλογος περιλαμβάνει χρονικὸν διάστημα πέντε καὶ εἴκοσι ἡμερῶν.

Τῇ Πρώτῃ δὴ τῆς Ἰλιάδος ἡμέρᾳ ὁ Χρύσης ἦλθεν εἰς τὰ τῶν Ἑλλήνων πλοῖα· ἀποπεμφθέντος δὲ ἀποτόμως, ὁ ἐπὶ δέκα ἡμέρας μαστίξας τοὺς Ἕλληνας λοιμὸς ἄρχεται

« ἐννῆμαρ μὲν ἀνὰ στρατὸν ᾤχετο κῆλα θεοῖο
» τῇ δεκάτῃ δ' ἀγορήν δε καλέσσατο λαὸν Ἀχιλλεύς ».

Ἰλ., Α, 53-.

Τῇ Δεκάτῃ οὖν, οὔσῃ τελευταίᾳ τοῦ λοιμοῦ, ἐρίζουσιν Ἀγαμέμνων καὶ Ἀχιλλεύς, ἡ Χρυσηῒς ἀποπέμπεται πρὸς τὸν πατέρα, ἡ Βρησηῒς ἀπάγεται ἀπ' Ἀχιλλέως, ἡ δὲ Θέτις ἐλθοῦσα εἰς τὸ Ἑλλήνων στρατόπεδον λέγει τῷ μηνίοντι Ἀχιλλεῖ ὅτι ὁ Ζεὺς ἀναχωρήσας τὴν προτεραίαν εἰς Αἰθίοπας ἐπανελεύσεται μετὰ δώδεκα ἡμέρας εἰς Ὄλυμπον. Λήγει δ' ἡ δεκάτη ἡμέρα, οὖσα πρώτη τῆς Μήνιδος, ἐν στίχῳ 475 τῆς Α, Ραψωδίας.

« Ἦμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθεν ».

Ἡ δ' Ἑνδεκάτη, δευτέρα τῆς Μήνιδος, ἄρχεται ἐν τῇ ἐπανόδῳ τῶν συνοδευσάντων τὴν Χρυσηΐδα·

« Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠὼς
» καὶ τότ' ἔπειτ' ἀνάγονται μετὰ στρατὸν εὐρὺν Ἀχαιῶν ».

Ἰλ., Α, 477.

Ἀπὸ τῆς ἡμέρας δὲ ταύτης μέχρι τῆς εἰς Ὄλυμ-

που ἐπιστροφῆς Διός, παρέρχονται ἐν σιωπῇ ἡμέραι ὀκτὼ ἐν αἷς Ἀχιλλεὺς μηνίων οὔτ' εἰς ἀγορὰν οὔτ' εἰς πόλεμον ἐφαίνετο.

Εἰκοστὴ ἄρα ἡμέρα τοῦ ποιήματος, ἑνδεκάτη δὲ τῆς Μήνιδος ἐστὶν ἐκείνη καθ' ἣν Ζεὺς ἐπανέρχεται εἰς Ὄλυμπον.

> « Ἀλλ' ὅτε δὴ ῥ' ἐκ τοῖο δυωδεκάτη γένετ' Ἠώς,
> » καὶ τότε δὴ πρὸς Ὄλυμπον ἴσαν θεοὶ αἰὲν ἐόντες
> » πάντες ἅμα, Ζεὺς δ' ἦρχε ».
>
> Ἰλ., Α, 493-

Λήγει δὲ ἐν στίχῳ 605 τῆς Α, Ραψῳδίας.

> « Αὐτὰρ ἐπεὶ κατέδυ λαμπρὸν φάος ἠελίοιο ».

Κατὰ δὲ τὴν ἐπελθοῦσαν νύκτα ὁ Ὄνειρος πέμπεται τῷ Ἀγαμέμνονι.

Ἡ δὲ Εἰκοστὴ Πρώτη ἡμέρα τοῦ Ποιήματος, δωδεκάτη δὲ Μήνιδος, ἐστὶ πρώτη τῶν ἐχθροπραξιῶν ἡμέρα ἀρχομένη ἐν στίχῳ 48 τῆς Β, Ραψῳδίας.

> « Ἠὼς μέν ῥα θεὰ προσεβήσατο μακρὸν Ὄλυμπον ».

Λήγει δὲ ἐν στίχῳ 282 τῆς Η, Ραψῳδίας.

> « Νὺξ δ' ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι ».

Ἡ δὲ Εἰκοστὴ Δευτέρα, δεκάτη τρίτη Μήνιδος, ἐστὶν ἡμέρα ἀνακωχῆς καὶ ἄρχεται ἐν στίχῳ 421 τῆς Η, Ραψῳδίας.

« Ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας ».

Λήγει δ' ἐν στίχῳ 432 τῆς αὐτῆς Ραψῳδίας.

« Ἐν δὲ πυρὶ πρήσαντες ἔβαν κοίλας ἐπὶ νῆας ».

Ἐνταῦθα καίτοι μὴ λεγομένη ὑπεννοεῖται ἡ λῆξις τῆς ἡμέρας (1).

Ἡ δὲ Εἰκοστὴ Τρίτη ἡμέρα, δεκάτη δὲ καὶ τετάρτη τῆς Μήνιδος, ἄρχεται μὲν ἐν στίχῳ 433 τῆς Η, Ραψῳδίας.

« Ἦμος δ' οὔτ' ἄρ πω ἠώς, ἔτι δ' ἀμφιλύκη νύξ ».

Λήγει δ' ἐν στίχῳ 465 τῆς αὐτῆς Ραψῳδίας.

« Δύσατο δ' ἠέλιος τετέλεστο δὲ ἔργον Ἀχαιῶν ».

Αὕτη ἦν ἡ δευτέρα ἀνακωχῆς ἡμέρα καθ' ἣν γίνονται τ' ἀμυντικὰ πρὸ τοῦ ἑλληνικοῦ στρατοπέδου ἔργα.

(1) Πολλοί, καὶ ἐγώ αὐτὸς ἐν Topogr. et Plan Stratégique, μὴ προσέξαντες καλῶς τῷ ἄνω στίχῳ ἥνωσαν τὴν ἡμέραν ταύτην μετὰ τῆς ἐπομένης καὶ εὗρον πεντήκοντα μόνον ἡμέρας ἀντὶ τῶν μιᾶς καὶ πεντήκοντα ἃς ὄντως τὸ ποίημα περιέχει.

Ἡ δὲ Εἰκοστὴ Τετάρτη ἡμέρα τοῦ ποιήματος, δεκάτη δὲ καὶ πέμπτη Μήνιδος, δευτέρα δὲ ἐχθροπραξιῶν, ἄρχεται σὺν τῇ Ραψῳδίᾳ Θ.

« Ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν ».

Λήγει δ' ἐν στίχῳ 485 τῆς αὐτῆς Ραψῳδίας.

« Ἐν δ' ἔπεσ' Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο ».

Κατὰ δὲ τὴν ἐπελθοῦσαν νύκτα οἱ μὲν Τρῶες διανυκτερεύουσιν ἐπὶ τοῦ πεδίου, οἱ δ' Ἕλληνες τίθενται φυλακὴν μεταξὺ Τείχους καὶ Τάφρου, πέμπουσι τὴν πρὸς Ἀχιλλέα πρεσβείαν καὶ τελευταῖον τοὺς κατασκοπεύσοντας τὸ τῶν ἐχθρῶν στρατόπεδον. Θ, 486-Κ, 579.

Ἡ δὲ Εἰκοστὴ Πέμπτη ἡμέρα τοῦ ποιήματος, δεκάτη ἕκτη καὶ τελευταία τῆς Μήνιδος, τρίτη δὲ τῶν ἐχθροπραξιῶν ἄρχεται σὺν τῇ Λ, Ραψῳδίᾳ.

« Ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο ».

Λήγει δ' ἐν στίχῳ 241 τῆς Σ, Ραψῳδίας.

« Ἠέλιος μὲν ἔδυ, παύσαντο δὲ δῖοι Ἀχαιοί ».

Κατὰ δὲ τὴν ἐπελθοῦσαν νύκτα οἱ μὲν Τρῶες μένουσι

πάλιν ἐπὶ τοῦ πεδίου τοῦ Τρωϊκοῦ, οἱ δ' Ἕλληνες θρηνοῦσι τὸν Πάτροκλον, ὁ δ' Ἥφαιστος κατασκευάζει τῷ Ἀχιλλεῖ τὴν πανοπλίαν. Σ, 243-617.

Ἡ δὲ Εἰκοστὴ Ἕκτη ἡμέρα, τετάρτη δὲ καὶ τελευταία τῶν ἐχθροπραξιῶν ἄρχεται σὺν τῇ Τ, Ραψῳδίᾳ,

« Ἠὼς μὲν κροκόπεπλος ἀπ' Ὠκεανοῖο ῥοάων ».

Λήγει δ' ἐν στίχῳ 58 τῆς Ψ, Ραψῳδίας.

« Οἱ μὲν κακκείοντες ἔβαν κλισίην δὲ ἕκαστος ».

Κατὰ δὲ τὴν ἐπελθοῦσαν νύκτα Ἀχιλλεὺς καὶ οἱ περὶ αὐτὸν θρηνοῦσι τὸν Πάτροκλον. Ψ, 59-109.

Ἡ δὲ Εἰκοστὴ Ἑβδόμη ἡμέρα τοῦ Ποιήματος ἄρχεται ἐν στίχῳ 109 τῆς Ψ, Ραψῳδίας.

« μυρομένοισι δὲ τοῖσι φάνη ῥοδοδάκτυλος Ἠώς ».

Λήγει δὲ κατὰ τὴν ἄφιξιν Βορρᾶ καὶ Ζεφύρου ἐπὶ τῆς πυρᾶς Πατρόκλου, ἐν στίχῳ 217 τῆς Ραψῳδίας Ψ.

« Παννύχιοι δ' ἄρα τοίγε πυρῆς ἄμυδις φλόγ' ἔβαλλον ».

Ἡ δὲ Εἰκοστὴ Ὀγδόη ἄρχεται ἐν στίχῳ 226 τῆς Ραψῳδίας Ψ.

« Ἦμος δ' Ἑωσφόρος εἶσι φόως ἐρέων ἐπὶ γαῖαν ».

Λήγει δὲ σὺν τοῖς ἀγῶσιν ἐν στίχῳ 2ῳ Ραψῳδίας Ω.

« Λῦτο δ' ἀγών, λαοὶ δὲ θοὰς ἐπὶ νῆας ἕκαστος
» ἐσκίδναντ' ἰέναι . . . . . ».

Κατὰ δὲ τὴν ἐπελθοῦσαν νύκτα Ἀχιλλεὺς θρηνεῖ τὸν Πάτροκλον μέχρι πρωΐας, ὅτε δέσας ὄπισθεν τοῦ ἅρματος τὸν νεκρὸν Ἕκτορος ἔσυρεν αὐτὸν περὶ τὸ μνῆμα Πατρόκλου· τοῦτο δ' ἐποίει ἐπὶ ἕνδεκα ἔτι ἡμέρας. Ω, 14-31.

Προστιθέμεναι οὖν αἱ ἕνδεκα αὗται ἡμέραι ταῖς προηγουμέναις ὀκτὼ καὶ εἴκοσι, γίνονται ἀπ' ἀρχῆς τοῦ ποιήματος ἡμέραι ἐννέα καὶ τριάκοντα.

Τεσσαρακοστὴ ἄρα ἐστιν ἡ ἑπομένη καθ' ἣν οἱ θεοὶ προνοοῦσι περὶ τοῦ πτώματος Ἕκτορος, ἀρχομένη ἐν στίχῳ 31ῳ τῆς Ω.

« Ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο δυωδεκάτη γένετ' Ἠώς ».

Λήγουσα δὲ σὺν τῇ ἀφίξει Πριάμου εἰς τὸν Σκάμανδρον, στίχῳ 350ῳ τῆς Ω.

« Στῆσαν δ' ἄρ' ἡμιόνους τε καὶ ἵππους ὄφρα πίοιεν
» ἐν ποταμῷ· δὴ γὰρ καὶ ἐπὶ κνέφας ἤλυθε γαῖαν ».

Ἐπελθούσης δὲ τῆς νυκτὸς ὁ Πρίαμος συνοδευόμενος ὑπὸ Ἑρμοῦ ἔρχεται εἰς Ἀχιλλέως, λαμβάνει τὸ Ἕκτορος πτῶμα καὶ τὴν ὑπόσχεσιν ἀνακωχῆς ἕνδεκα ἡμερῶν ὡς ἀναγκαίων διὰ τὴν ταφήν.

Ἡ δὲ Τεσσαρακοστὴ Πρώτη ἡμέρα ἄρχεται ὅταν ὁ Πρίαμος ἐπιστρέφων ἀφικνῆται εἰς τὸν Σκαμάνδρου πόρον, ἐν στίχῳ 695ῳ τῆς Ω.

« Ἠὼς δὲ κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν ».

Κατὰ τὴν ἡμέραν ταύτην καὶ τὰς ἑπομένας ὀκτὼ ὁ Ἕκτωρ θρηνεῖται ἐν Τροίᾳ καὶ ἡ διὰ τὴν πυρὰν ὕλη συλλέγεται.

« Ἐννῆμαρ μὲν τοί γε ἀγίνεον ἄσπετον ὕλην ».

Ἰλ., Ω, 784.

Προστιθεμένων οὖν τῶν ὀκτὼ τούτων ἡμερῶν ταῖς μιᾷ καὶ τεσσαράκοντα, ἡ ἑπομένη καθ' ἣν ἔβαλον πῦρ τῇ πυρᾷ, εὑρίσκεται οὖσα πεντηκοστή.

Ἡ οὖν Πεντηκοστὴ ἡμέρα τοῦ ποιήματος ἄρχεται ἐν στίχῳ 785ῳ τῆς Ῥαψῳδίας Ω.

« Ἀλλ' ὅτε δὴ δεκάτη ἐφάνη φαεσίμβροτος Ἠώς ».

Λήγει δ' ἐν στίχῳ 787ῳ.

« Ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν ἐν δ' ἔβαλον πῦρ ».

Πρώτη καὶ Πεντηκοστὴ ἄρα, τελευταία δὲ τῆς Ἰλιάδος ἡμέρα ἐστὶν ἡ ἐνδεκάτη τῆς ταφῆς Ἕκτορος ἡμέρα, ἀρχομένη ἐν στίχῳ 788Ψ.

« Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς ».

Κατ' αὐτὴν ἡ πυρὰ σβέννυται, τὰ ὀστὰ συλλέγονται καὶ θάπτονται. Ἡ Ἰλιὰς δὲ λήγει τῶν Τρώων ἐνασχολουμένων περὶ τὴν ταφήν.

« Ὣς οἵγ' ἀμφίεπον τάφον Ἕκτορος Ἱπποδάμοιο ».

Ἀνακεφαλαιοῦνται οὖν τὰ τοῦ χρόνου ἐν τοῖς ἑξῆς·

Ἡ Ἰλιὰς ἐμπεριέχει μιᾶς καὶ πεντήκοντα ἡμερῶν συμβεβηκότα.

Ὁ λοιμὸς διήρκεσε κατὰ τὰς πρώτας δέκα ἡμέρας.

Ἡ Ἀχιλλέως μῆνις ἀρξαμένη τὴν δεκάτην λήξασα δὲ τὴν εἰκοστὴν πέμπτην, διήρκεσεν ἡμέρας ἑκκαίδεκα, ἐπειδὴ πράγματι ὁ Ἀχιλλεὺς ἀπεμήνισε τῇ ἡμέρᾳ καθ' ἣν ἐφονεύθη Πάτροκλος, πρὸς τὸ ἑσπέρας, ὅταν ὁ Ἀντίλοχος ἀνήγγειλε τῷ ἥρωϊ τὸ θλιβερὸν ἄγγελμα. Τὴν ὑστεραίαν δὲ Ἀχιλλεὺς κηρύττει ἐπισήμως ἐν ἀγορᾷ τὴν παῦσιν τῆς μήνιδος.

« νῦν δ' ἤτοι μὲν ἐγὼ παύω χόλον ».

Ἰλ., Τ, 67.

Αἱ ἐχθροπραξίαι ἀρξάμεναι τὴν Εἰκοστὴν Πρώτην, διήρκεσαν ἡμέρας ἕξ, λήξασαι τὴν εἰκοστὴν ἕκτην, ἀλλ' ἐξ αὐτῶν δύω ἦσαν ἡμέραι ἀνακωχῆς.

Ἂν δὲ ἐκ τῶν πεντήκοντα καὶ μιᾶς ἀφαιρέσωμεν τὰς πρὸ τῶν ἐχθροπραξιῶν εἴκοσι, ἐμπεριεχομένας ἐν τῷ προλόγῳ καὶ τὰς μετὰ τὰς ἐχθροπραξίας πέντε καὶ εἴκοσι ἐμπεριεχομένας ἐν τῷ ἐπιλόγῳ, μένουσι κυρίως συστατικαὶ τῆς πράξεως ἡμέραι αἱ τῶν ἐχθροπραξιῶν ἕξ.

Κατὰ τὴν Εἰκοστὴν Ἕκτην ἡμέραν τοῦ ποιήματος ἐν ᾗ Ἀχιλλεὺς ἀπομινήσας ἐπισήμως, μάχεται τὴν τελευταίαν μάχην τῆς Ἰλιάδος, ὁ Ἀγαμέμνων λέγει τῷ Ὀδυσσεῖ ἐν ἀγορᾷ, κομίσαι τὰ δῶρα ὅσα χθὲς ὑπεσχέθημεν Ἀχιλλεῖ.

« δῶρα ἐμῆς παρὰ νηὸς ἐνεικέμεν ὅσσ' Ἀχιλῆϊ
» χθιζὸν ὑπέστημεν δώσειν . . . . . ».

Ἰλ., Τ, 194 - 195.

Ὁ χρόνος καὶ ἐνταῦθα ὁρίζεται ἀκριβέστατα διὰ τοῦ χθιζόν. Ἡ μὲν γὰρ ὑπόσχεσις τῶν δώρων ἐγένετο κατὰ τὴν νύκτα τὴν χωρίζουσαν τὴν εἰκοστὴν τετάρτην ἡμέραν ἀπὸ τῆς εἰκοστῆς πέμπτης. Οἱ Ἕλληνες μετὰ τὴν δευτέραν μάχην γενομένην τῇ εἰκοστῇ τετάρτῃ ἡμέρᾳ καὶ λήξασαν κατὰ τὴν δύσιν τοῦ ἡλίου (Θ, 485) ἐποι-

ήσαντο ἀγορὰν καὶ ἀπεφάσισαν τὴν ἐγκαθίδρυσιν φυλακῆς μεταξὺ Τείχους καὶ Τάφρου (Ἰλ., I, 1-88). Μετὰ δὲ τὴν ἀγορὰν καὶ τὴν ἐγκατάστασιν τῶν φυλάκων, ὁ Ἀγαμέμνων προσεκάλεσε τοὺς γέροντας παρ' αὐτῷ εἰς δεῖπνον, μετὰ δὲ τὸ δεῖπνον, βουλευθέντων τῶν γερόντων ἀπεφασίσθη καὶ ἐστάλη ἡ πρὸς Ἀχιλλέα πρεσβεία (Ἰλ., I, 89 - 182).

Διὰ τὰς πράξεις οὖν ταύτας τὰς γενομένας μετὰ τὴν δύσιν ἡλίου, ἤτοι μετὰ τὴν ἑβδόμην ὥραν καὶ ἡμίσειαν μετὰ μεσημβρίαν, τοὐλάχιστον τέσσαρες ὧραι ἦσαν ἀναγκαῖαι. Οἱ πρέσβεις ἄρα περὶ τὸ μεσονύκτιον ἀνεχώρησαν ἀπὸ τῆς Ἀγαμέμνονος σκηνῆς, ἀφίχθησαν δὲ εἰς Ἀχιλλέως ἀρχομένης ἤδη τῆς ἑπομένης ἡμέρας ἤτοι τῆς εἰκοστῆς πέμπτης. Ἐν ταύτῃ οὖν τῇ ἡμέρᾳ οἱ πρέσβεις ὑπόσχονται τὰ δῶρα τῷ Ἀχιλλεῖ· ἄρα καλῶς εἶπεν Ἀγαμέμνων τὴν ὑστεραίαν ἡμέραν, ἤτοι τὴν εἰκοστὴν ἕκτην·

« Χθιζὸν ὑπέστημεν δώσειν. »

Ἀτόπως οὖν ὁ Woss καὶ ἕτεροι μετ' αὐτὸν εἶπον τὸ ἐπίρρημα χθιζὸν ἐν τῷ στόματι Ἀγαμέμνονος ὁρίζειν κακῶς τὸν χρόνον, καὶ ὑπερβαίνειν τὰ ὅρια τοῦ χθές.

ΚΕΦΑΛΑΙΟΝ Β.

ΙΛΙΑΔΟΣ ΤΟΠΟΓΡΑΦΙΑ.

Λιμὴν ἢ Ναύσταθμος. — Τρωϊκὸν πεδίον. — Ἴλιον. — Σκάμανδρος. — Σιμόεις. — Βατίεια. — Σκαιαὶ Πύλαι. — Δύω Πηγαί. — Τύμβοι. — Αἰσυήτου Τύμβος. — Ἴλου Τύμβος. — Ἕκτορος Τύμβος. — Κοινοὶ Τύμβοι. — Πατρόκλου καὶ Ἀχιλλέως Τύμβος. — Φηγός. — Ἐρινεός.

Ὡς δὲ οἱ ἱστορικοὶ οἱ πολέμους καὶ μάχας διηγούμενοι ἐπισκέπτονται καὶ περιγράφουσι τὰς χώρας ἐν αἷς τὰ ἀξιολογώτερα τῶν πολεμικῶν ἔργων ἐπράχθησαν, οὕτω καὶ Ὅμηρος περιῆλθε τὴν Τρωϊκὴν ἐφ' ἧς συνέβησαν τὰ ἐν Ἰλιάδι, ἐξετάσας μετὰ προσοχῆς τὴν θέσιν καὶ τὴν φύσιν τῆς χώρας. Τοιαύτη δ' ἐστὶν ἡ ζωηρότης καὶ ἡ ἀκρίβεια τῶν περιγραφῶν ὥστε καὶ ἄν ποτε ὁλοτελῶς ἡ Τρῳὰς κατεποντίζετο, πάλιν διὰ τῆς Ἰλιάδος δυνατὴ καθίσταται ἡ ἀνάπλασις καὶ ἰχνογράφησις τῶν τόπων οὓς ὁ ἐξαίσιος οὗτος ἀνὴρ διαιώνισεν. Ἀλλὰ κατ' ἀγαθὴν τύχην τὸ Τρωϊκὸν πεδίον καὶ πολλὰ τῶν περὶ αὐτὸ μένουσι μέχρι τοῦδε σχεδὸν ἀναλλοίωτα· ὥστε ὡς περὶ τῶν ἄλλων τοῦ Τρωϊκοῦ πολέμου γεγονότων, οὕτω καὶ περὶ τῆς χώρας ἐν ᾗ ἐπολεμήθη, μόνη καὶ ἀσφαλεστέρα πηγὴ ἐστὶν ἡ Ἰλιάς, τὸ τελειότερον καὶ ἐνδοξότερον τῆς Ἑλληνικῆς εὐφυΐας ἔργον.

Ἔστι Σίγειον ἄκρα καὶ ἐπ' αὐτῆς πόλις ὁμώνυμος ἐπὶ δεξιὰ τῷ εἰσπλέοντι τὸν Ἑλλήσποντον (1), ἄκρα ὑψηλὴ μὲν καὶ ἀπότομος πρὸς τὸ Αἰγαῖον, πρὸς δὲ τὸν Ἑλλήσποντον βαθμηδὸν κατωφερής, ἔνθα λήγει παρὰ τὰς Σκαμάνδρου ποταμοῦ ἐκβολάς (2). Ἀπὸ δὲ τῶν ἐκβολῶν Σκαμάνδρου ἀναπλέοντες τὸν Ἑλλήσποντον βλέπομεν ἐπὶ τὰ δεξιὰ ἡμῶν αἰγιαλὸν χθαμαλὸν καὶ τεναγώδη, ἐκτεινόμενον μέχρι τῆς ἄκρας Ῥοιτείου (3), ἄκρας πολὺ τῆς τοῦ Σιγείου ταπεινοτέρας, ἐχούσης δ' ἐν τῇ κορυφῇ τύμβον καλούμενον «Αἴαντος τύμβος» (4). Ἀμφότερα δὲ τὰ ὀνόματα ἐδόθησαν τοῖς ἀκρωτηρίοις μετὰ τὸν Ὅμηρον, τῆς Ἰλιάδος ἁπλῶς ἄκρας ἀποκαλούσης αὐτά· μάλιστα δὲ τὸ Ῥοίτειον ἐν τοῖς καθ' ἡμᾶς

(1) Ἐχέτω ὁ ἀναγνώστης πρὸ τῶν ὀφθαλμῶν τὸν ἐμὸν Πίνακα Β'. ἐμφαίνοντα τὸ Τρωϊκὸν πεδίον τὸ ἐπὶ τῆς παραλίας μόνιμον ἑλληνικὸν στρατόπεδον καὶ τὰς κινήσεις τῶν πολεμούντων. Ἡ ἐπὶ τοῦ Σιγείου ἀκρωτηρίου πόλις ὑπὸ Ἑλλήνων κατοικουμένη ὀνομάζεται τουρκιστὶ Γενὶ-σαρί· τὸ δὲ φρούριον τὸ κατὰ τὴν πρὸς τὸν Ἑλλήσποντον ἐσχατιὰν τοῦ ἀκρωτηρίου καλεῖται τουρκιστὶ Κοὺμ-καλέ, ἤτοι ἄμμου φρούριον.

(2) Οὗτος ἐστὶν ὁ Ὁμήρου Σκάμανδρος, ὡς μετ' οὐ πολὺ ἀποδειχθήσεται· καλεῖται δὲ ὑπὸ τῶν Ὀθωμανῶν Μενδερέ. Τοῦτον ἀτόπως τινὲς τῶν ἀρχαιολόγων ἔλεγον εἶναι τὸν ὁμηρικὸν Σιμόεντα.

(3) Παρὰ τὸ Ῥοίτειον ἄκρον ῥέει ῥύαξ διοχετεύων εἰς τὸν Ἑλλήσποντον τὰ ἀπὸ τῶν παρακειμένων λόφων πηγάζοντα ὕδατα, καλεῖται δὲ τουρκιστὶ Χαλιλὲ ἢ Θουμβρέκ. Ὄντος δ' ἀσημάντου καὶ οὐδεμίαν ἔχοντος σχέσιν τῇ Ἰλιάδι οὐ σημειοῦμεν αὐτὸν ἐπὶ τοῦ ἡμετέρου πίνακος.

(4) Καὶ Αἰάντειον ὑπὸ Στράβωνος, τουρκιστὶ δὲ Ἰν-τεπὲ καλούμενος. Κατ' ἐμὲ δὲ οὗτος ἐστὶν ὁ Πατρόκλου καὶ Ἀχιλλέως τύμβος.

μόνον χρόνοις οὕτως ὠνομάσθη διὰ τὴν γειτνήασιν ἴσως τῆς ἄλλοτε ἀνατολικώτερον κειμένης ὁμωνύμου πόλεως, ἧς ἔτι φαίνονται τὰ ἐρείπια καὶ ἀπεχούσης, ὡς ὀρθῶς λέγει Στράβων, περὶ τὰ ἑξήκοντα στάδια ἀπὸ Σιγείου. Ἀπὸ γὰρ τῆς πόλεως Ροιτείου ὁ γεωγράφος λογίζεται τὸ μῆκος τῆς παραλίας ταύτης μέχρι Σιγείου, οὐχὶ δὲ ἀπὸ τῆς ἄκρας Ροιτείου ὥς τινες ἐνόμισαν (1).

Ἀπὸ δὲ τοῦ αἰγιαλοῦ τούτου τὸ ταπεινὸν ἔδαφος τὸ μεταξὺ τῶν δύω ἀκρωτηρίων, ἐκτείνεται ἰσοπέδως εἰς τὰ μεσόγεια μέχρι τῶν ποδῶν τοῦ ὄρους Ἴδης καὶ ποιεῖ πεδιάδα ἔχουσαν ὅρια τὸν Ἑλλήσποντον ἀφ' ἑνός, τὴν Ἴδην ἀφ' ἑτέρου, ἑκατέρωθεν δὲ κατὰ τὰ πλάγια, λόφους. Τὸ δὲ τῆς πεδιάδος σχῆμα, ἡ τῶν γαιῶν φύσις, τὸ ἁλμυρὸν τῶν φρεατίων ὑδάτων ἐν τῇ κώμῃ Κοὺμ-Κιοΐ (ἄμμου κώμη), ἡ πρὸς τὰ κάτω τοῦ πεδίου ἐπανθοῦσα κρυσταλλοειδὴς ἄχνη, τὰ σπάρτα καὶ αἱ μυρίκαι, τὰ παρὰ τῷ Ἑλλησπόντῳ λιμνάζοντα ὕδατα, ἐν ἑνὶ λόγῳ τὰ πάντα μαρτυροῦσιν ἄλλοτε τὴν θάλασσαν εἶναι κυρίαν τοῦ χωρίου, ποιοῦσαν κόλπον προχωθέντα διὰ τοῦ χρόνου ὑπὸ τῶν ἐν αὐτῷ εἰσρεόντων ποταμῶν πρὸ πάντων δὲ ὑπὸ τοῦ Σκαμάνδρου.

Ἐπὶ τῆς παραλίας ταύτης ἱστάμενοι ἂς ῥίψωμεν τὸ βλέμμα πρὸς βορρὰν καὶ δυσμὰς ἔνθα φαίνονται τὰ θρακικὰ ὄρη, αἱ νῆσοι Ἴμβρος καὶ Σαμοθράκη, πορρωτέρω δὲ

(1) Στράβ. Γεωγρ. Βιβλ. ΙΓ'. 596.

ὁ Ἄθως· εἶτα στραφέντες πρὸς τὴν Ἴδην ἂς διατρέξωμεν τὸ πεδίον μέχρι τοῦ μυχοῦ ὅθεν ἐκρέουσι πηγαὶ ὕδατος κατὰ τὴν ξυνοχὴν τῶν λόφων μετὰ τοῦ πεδίου (1), ἵνα καὶ ἐπιτροχάδην οὕτως ἐπισκεφθέντες τὴν χώραν, ἀναγνωρίσωμεν ὅτι ἐνταῦθα αἱ τῆς Ἰλιάδος πράξεις ἐξετελέσθησαν. Φοβούμενος δὲ μὴ ἡ τοσοῦτον σύντομος περιοδεία ᾖ ἀνεπαρκής, ἕνεκα τῶν ὑφισταμένων ἔτι ἀμφιβολιῶν, ἔρχομαι κατ' ἰδίαν περὶ ἑκάστου τῶν κυριωτέρων τῆς χώρας εἰπεῖν ἀρχόμενος ἀπὸ τοῦ Ἑλλησπόντου.

ΠΕΡΙ ΛΙΜΕΝΟΣ Η ΝΑΥΣΤΑΘΜΟΥ.

Αἱ τῶν Ἑλλήνων νῆες συναθροισθεῖσαι εἰς Αὐλίδα ἀνάγονται πλέουσαι πρὸς τὴν Τρῳάδα.

« . . . . . ὅτ' ἐς Αὐλίδα νῆες Ἀχαιῶν
» ἠγερέθοντο, κακὰ Πριάμῳ καὶ Τρωσὶ φέρουσαι ».

Ἰλ., Β, 303-·

Ἕνεκα δ' αἰτίων ἡμῖν ἀγνώστων προσεγγίζουσι τῇ Λήμνῳ ἐν ᾗ ἀφίεται Φιλοκτήτης δεινῶς πάσχων ὑφ' ἕλκους·

(1) Αἱ πρῶται δύω παρὰ τοῖς λόφοις πηγαὶ καλοῦνται τουρκιστὶ Βουρνὰρβασὶ ἀφ' ὧν καὶ ἡ παρακειμένη ὀθωμανικὴ κώμη τὸ αὐτὸ φέρει ὄνομα.

« Λήμνῳ ἐν ἠγαθέῃ, ὅθι μιν λίπον υἷες Ἀχαιῶν
» ἕλκεϊ μοχθίζοντα κακῷ ὀλοόφρονος ὕδρου ».

Ἰλ., Β, 722-.

Ἀναχωρήσαντες δὲ ἀπὸ Λήμνου εἰσέπλευσαν τὸν Ἑλλήσποντον, προσωρμίσθησαν ἐπὶ δεξιά, παρὰ τὸ Σίγειον, εἰς τὸν λιμένα ἢ κόλπον τὸν μεταξὺ Σιγείου καὶ Ροιτείου, ἀνειλκύσαντο τὰ πλοῖα καὶ ἐστρατοπεδεύσαντο. Πάντες σχεδὸν συμφωνοῦσιν, ἐνταῦθα ἀποβιβασθῆναι τοὺς Ἕλληνας καὶ ἐνταῦθα σημειοῦσιν οἱ γεωγράφοι τὸν λιμένα εἰς ὃν κατείχθησαν τὰ τῶν Ἑλλήνων πλοῖα, ὀνομάζοντες αὐτὸν Ναύσταθμον. Ἀλλ' ἵνα μὴ μείνῃ ἀμφιβολίας ἴχνος, καλὸν δοκεῖ μοι προσενεγκεῖν τὰς μαρτυρίας αὐτοῦ τοῦ ποιητοῦ.

Περιγράφων οὖν ὁ Ὅμηρος τὸν τρόπον καθ' ὃν κατετάχθησαν τὰ ἐπὶ τῆς παραλίας ἀνειλκυσθέντα πλοῖα, «καίτοι, λέγει, εὐρὺς ὢν ὁ αἰγιαλός, οὐκ ἠδυνήθη πάσας τὰς νῆας ἐπὶ μιᾶς σειρᾶς περιλαβεῖν, διὸ προκρόσσας θέντες αὐτάς, ἐπλήρωσαν τὸ τῆς ἠϊόνος μακρὸν στόμα τὸ μεταξὺ τῶν ἀκρωτηρίων».

« Οὐδὲ γὰρ οὐδ' εὐρύς περ ἐών, ἐδυνήσατο πάσας
» αἰγιαλὸς νῆας χαδέειν, στείνοντο δὲ λαοί,
» τῷ ῥα προκρόσσας ἔρυσαν καὶ πλῆσαν ἁπάσης
» ἠϊόνος στόμα μακρὸν ὅσον συνεέργαθον ἄκραι ».

Ἰλ., Ξ, 33-.

Λέγει δὲ πρὸς τούτοις Ὅμηρος τὴν παραλίαν ταύτην εἶναι παρὰ τὸν Ἑλλήσποντον· οἷον ὁ Ζεὺς ἐξυπνήσας ἐπὶ τῆς Ἴδης καὶ ἰδὼν τοὺς Τρῶας διωχθέντας ἀπὸ τῶν ἑλληνικῶν πλοίων «λάβε τὴν αἰγίδα, λέγει τῷ Ἀπόλλωνι, φόβισον τοὺς Ἀχαιοὺς καὶ ἔγειρε θάρρος τῷ Ἕκτορι ἕως οὗ οἱ Ἀχαιοὶ φεύγοντες ἔλθωσιν εἰς τὰς νῆας καὶ τὸν Ἑλλήσποντον».

« Τόφρα γὰρ οὖν οἱ ἔγειρε μένος μέγα ὄφρ' ἂν Ἀχαιοὶ
» φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκωνται ».

Ἰλ., Ο, 232-.

Καὶ πάλιν φονευθέντος Πατρόκλου ὑπὸ Ἴλιον, οἱ Ἕλληνες διωκόμενοι ὑφ' Ἕκτορος ἔφυγον μέχρι τῶν νηῶν καὶ Ἑλλησπόντου (Σ. 148 - 150).

Καὶ Ἀχιλλεὺς «αὔριον, λέγει τῷ Ὀδυσσεῖ, λίαν πρωῒ ὄψει τὰς ἐμὰς νῆας πλεούσας ἐπὶ τὸν Ἑλλήσποντον».

« ὄψεαι ἢν ἐθέλησθα καὶ αἴ κέν τοι τὰ μεμήλει,
» ἦρι μάλ' Ἑλλήσποντον ἐπ' ἰχθυόεντα πλεούσας.
» νῆας ἐμάς . . . . . ».

Ἰλ., Ι, 359-.

Λέγεται δὲ ὁ Ἑλλήσποντος ὑπὸ τοῦ ποιητοῦ καὶ ἀγάρροος (Β, 845 καὶ Μ, 30) διὰ τὸ γνωστὸν αὐτοῦ βίαιον ρεῦμα ἀπὸ Εὐξείνου εἰς Αἰγαῖον καὶ πλατύς, ἀφομοιούμενος ποταμῷ (Η, 86).

Ὡς δ' ἐκ πολλῶν τοῦ ποιήματος μαρτυριῶν φαίνεται, ἡ ῥηθεῖσα παραλία συνείχετο μετὰ πεδίου ὁμαλοῦ καὶ ἁμαξηβάτου, ἰδίως δ' ἐκ τῆς ἑξῆς·

« Ὡς τῶν ἔθνεα πολλὰ νεῶν ἄπο καὶ κλισιάων
» Ἐς πεδίον προχέοντο Σκαμάνδριον· αὐτὰρ ὑπὸ χθὼν
» σμερδαλέον κονάβιζε ποδῶν αὐτῶν τε καὶ ἵππων » (1).

Τελευταῖον δὲ ἡ παραλία ἐφ' ἧς ἀνειλκύσθησαν τὰ ἑλληνικὰ πλοῖα ὁρίζεται καὶ διὰ τῶν σημείων τοῦ οὐρανοῦ. Ἕκτωρ καὶ Τρῶες, κατὰ τὴν τρίτην μάχην προχωροῦσι νικηταὶ μέχρι τῆς πρὸ τοῦ ἑλληνικοῦ στρατοπέδου τάφρου καὶ παρασκευάζονται διαβῆναι αὐτήν· ἀλλ' ὁ Πολυδάμας, ἕνεκα τοῦ ἐπ' ἀριστερὰ πετάσαντος ἀετοῦ, συμβουλεύει τοῖς Τρωσὶ μὴ διαβῆναι· ὁ δ' Ἕκτωρ ὀργισθεὶς κατὰ Πολυδάμαντος, «ἀδιαφορῶ, λέγει, περὶ οἰωνῶν εἴτ' ἐπὶ δεξιὰ πετῶσι πρὸς ἀνατολάς, εἴτ' ἐπ' ἀριστερὰ πρὸς δύσιν».

« . . . . . τῶν ὄυτι μετατρέπομ' οὐδ' ἀλεγίζω
» εἴτ' ἐπὶ δεξι' ἴωσι πρὸς ἠῶτ' ἠέλιόν τε,
» εἴτ' ἐπ' ἀριστερὰ τοίγε ποτὶ ζόφον ἠερόεντα » (2).

(1) Β, 464-. Μὴ ὄντος τότε ἐν χρήσει τοῦ ἱππικοῦ, τὸ ἵππων σημαίνει ἵππων ἐζευγμένων τοῖς ἅρμασι.

(2) Μ, 238-240. Οἱ δύο τελευταῖοι στίχοι εἰσὶν ἐγγεγραμμένοι ἐπὶ τοῦ ἡμετέρου Πίνακος Β'. πρὸ τῆς τάφρου.

Ταῦτα λέγει Ἕκτωρ πρὸ τῆς τάφρου, ὢν ἐστραμμένος πρὸς τὸ ἑλληνικὸν στρατόπεδον ἤτοι πρὸς βορρᾶν, διὸ καὶ εἶχε τὴν μὲν ἀνατολὴν ἐπὶ δεξιὰ τὴν δὲ δύσιν ἐπ' ἀριστερά. Ἐπειδὴ δὲ ἡ τάφρος ἦν παράλληλος τῷ αἰγιαλῷ, ἕπεται καὶ τοὺς ἀπὸ τοῦ πεδίου εἰς τὸν αἰγιαλὸν καταβαίνοντας ἔχειν ὁμοίως ἀπέναντι αὐτῶν τὴν Ἄρκτον, καὶ τὸν αἰγιαλὸν αὐτὸν πρὸς Ἄρκτον εἶναι. Διατρέχοντες οὖν πᾶσαν τὴν ἀπὸ Ἀλεξανδρείας (1) μέχρις Ἀβύδου Τρωϊκὴν παραλίαν, βλέπομεν ὅτι τὰ ἐν Ἰλιάδι, μόνον ἐπὶ τοῦ μεταξὺ Σιγείου καὶ Ῥοιτείου αἰγιαλοῦ ἐφαρμόζονται· οὗτος κεῖται ἐπὶ Ἑλλησπόντου τοῦ ἀγαρρόου, μεταξὺ δύω ἀκρωτηρίων, πρὸς Ἄρκτον καὶ συνέχεται μεθ' ὁμαλῆς, ἐριβώλακος, ἐκτεταμένης πεδιάδος.

Ἔχει δὲ πλάτος ὁ αἰγιαλὸς οὗτος, ἀπὸ τῆς δεξιᾶς τοῦ Σκαμάνδρου ὄχθης εἰς Ῥοίτειον ἄκρον, περὶ τὰ διακόσια καὶ τρισχίλια Γαλλικὰ μέτρα. Μέχρι τίνος δὲ σημείου ἡ θάλασσα προὐχώρει ἐντὸς τοῦ πεδίου ἐπὶ τῶν Τρωϊκῶν, ἡ Στρατηγικὴ καὶ ἡ Γεωλογία ἂς ὁρίσωσι, βοηθούμεναι ὑπὸ τῶν περιγραφῶν τῆς Ἰλιάδος.

Ὁ ἰδὼν τὴν Τρωϊκὴν χώραν ἀναγνωρίζει εὐθὺς οὐ μόνον τὰ κάτω μέρη ἀλλὰ καὶ ἅπαν τὸ Τρωϊκὸν πεδίον

(1) Ἡ Ἀλεξάνδρεια αὕτη ἧς ἔτι σώζονται ἐρείπια, ἔκειτο ἐπὶ τῷ Αἰγαίῳ μετὰ τὸ Ἀχαΐϊον τὴν Τενεδίων περαίαν. Στράβ. ΙΓ'. 47. Ὀνομάζεται δὲ καὶ Ἀλεξάνδρεια Τρῳάς.

εἶναι ποτὲ θαλάσσιον κόλπον προσχωθέντα ὑπὸ τῶν εἰς αὐτὸ εἰσρεόντων ποταμῶν, μάλιστα δὲ τοῦ Σκαμάνδρου ὄντος μείζονος καὶ ἐνεργετικωτέρου τῶν ἄλλων, ὥστε ὀρθῶς καὶ Ἡρόδοτος ἀφομοιεῖ τὴν Αἴγυπτον τῷ Τρωϊκῷ πεδίῳ λέγων· «Τῶν γὰρ οὐρέων τῶν εἰρημένων τῶν ὑπὲρ » Μέμφιν πόλιν κειμένων τὸ μεταξὺ ἐφαίνετό μοι εἶναί » ποτε κόλπος θαλάσσης, ὥσπερ γε τὰ περὶ Ἴλιον καὶ » Τευθρανίην, καὶ ἔφεσόν τε καὶ Μαιάνδρου πεδίον, ὥστε » εἶναι σμικρὰ ταῦτα μεγάλοισι συμβαλέειν· τῶν γὰρ » ταῦτα τὰ χωρία προσχωσάντων ποταμῶν ἐνὶ τῶν » στομάτων τοῦ Νείλου, ἐόντος πενταστόμου, οὐδεὶς αὐ- » τῶν πλήθεος πέρι ἄξιος συμβληθῆναι ἐστι, εἰσὶ δὲ καὶ » ἄλλοι ποταμοί, οὐ κατὰ τὸν Νεῖλον ἐόντες μεγάθεα, » οἵτινες ἔργα ἀποδεξάμενοι μεγάλα εἰσί· τῶν ἐγὼ φρά- » σαι ἔχω οὐνόματα, καὶ ἄλλων, καὶ οὐκ ἥκιστα Ἀχε- » λώου· ὃς ρέων δι' Ἀκαρνανίης, καὶ ἐξιεὶς ἐς θάλασ- » σαν, τῶν Ἐχινάδων νήσων τὰς ἡμίσεας ἤδη ἤπειρον » πεποίηκε». Εὐτέρπη. § 10.

Καὶ ἡ Ἀλεξανδρίνη δὲ Ἑστίαια, γυνὴ δόκιμος καὶ περὶ τῆς Ὁμήρου Ἰλιάδος συγγράψασα, ἔλεγε τὸ κάτω μέρος τοῦ Τρωϊκοῦ πεδίου τὸ μεταξὺ Νέου Ἰλίου καὶ τῆς θαλάσσης (1), πρόχωμα εἶναι τῶν ποταμῶν, μετὰ τὰ Τρωϊκὰ σχηματισθέν· «τὸ μὲν γὰρ πρὸ τῆς νῦν πόλεως

(1) Ὅρα ἐπὶ τοῦ Πίνακος Β'. τὸ Νέον Ἴλιον ἐπὶ τῶν λόφων Ἰσαρλήκ.

ὁρώμενον, πρόχωμα εἶναι τῶν ποταμῶν ὕστερον γε-
γονός» (Στράβ. Γεωγρ. Βιβλ. ΙΓ΄. Κεφ. 599).

Ὁ δὲ Στράβων ὑπολογίζει τὴν ἐπέκτασιν τοῦ προχώματος ἀπὸ τοῦ Τρωϊκοῦ πολέμου μέχρι τῶν ἑαυτοῦ χρόνων ὡς ὑπερβαίνουσαν τὰ ἓξ στάδια, λέγων « διότι » τοῦτο πᾶν πρόχωμα τῶν ποταμῶν ἐστὶ τὸ πρὸ τῆς » πόλεως (Νέου Ἰλίου) ἐπὶ θαλάττῃ πεδίον, ὥστε εἰ δω- » δεκαστάδιον ἐστι νῦν τὸ μεταξύ, τότε καὶ τῷ ἡμί- » σει ἔλαττον ὑπῆρχε » (Στράβ. Γεωγρ. Βιβλ. ΙΓ΄. Κεφ. 599).

Ὁ ἐπισκεφθεὶς μετὰ προσοχῆς τὸ Τρωϊκὸν πεδίον εἶδε βεβαίως ἐν τῷ μυχῷ ὑπὸ τοὺς λόφους Βουνὰρ-βασί, τὴν Σκαμάνδρου κοίτην οὖσαν κεκαλυμμένην ὑπὸ χαλίκων μεγάλων· προχωρῶν δὲ πρὸς τὸν Ἑλλήσποντον εἶδε τοὺς χάλικας τοὺς ἐν τῇ κοίτῃ βαθμηδὸν σμικρυνομένους, κατὰ δὲ τὰς ἐκβολὰς εἰς κόκκους ἄμμου μεταβληθέντας. Οἱ ὁρώμενοι οὖν σωροὶ ἄμμου πρὸς τὰ κάτω τοῦ πεδίου καὶ περὶ τὸ φρούριον Κοὺμ-Καλέ, εἰσὶ μικροσκοπικὰ λείψανα τῶν λίθων τῶν ἀπὸ τῆς Ἴδης ὑπὸ τῶν ὑδάτων εἰς τὴν κοιλάδα καταπεσόντων καὶ σμικρυνθέντων οὕτως ἐν τῷ πολλῷ χρόνῳ ὑπὸ τῆς χημικῆς ἐνεργείας τῶν ὑδάτων, τῆς κατακυλίσεως καὶ τῆς συντριβῆς. Τὸ γαιολογικὸν δὲ τοῦτο πάθημα φαίνεται ἐν πάσαις ταῖς κοιλάσιν ἃς διαρρέουσι ποταμοὶ ὁπωσοῦν ἄξιοι λόγου. Μετὰ τῶν λίθων συγκαταφέρονται λεπτότεραι γαιώδεις καὶ φυτικαὶ

ὕλαι συντελοῦσαι εἰς τὴν ἀνύψωσιν τῶν κοιτῶν. Πάντα δὲ ταῦτα ὁμοῦ παράγουσι τὰ προχώματα τὰ καὶ Δέλτα καλούμενα ἀπὸ τοῦ ἐν Αἰγύπτῳ ὑπὸ Νείλου σχηματισθέντος καὶ ἔχοντος τὸ σχῆμα τοῦ γράμματος Δέλτα. Ἕνεκα δὲ τούτου τὰ μὲν παράλια τὰ δεχόμενα τὰς προσχώσεις ἐπεκτείνονται ἐν τῇ θαλάσσῃ οἱ δὲ ὅρμοι καὶ λιμένες πληροῦνται· πόλεις ἄλλοτε παράλιαι εὑρίσκονται νῦν πολὺ τῆς θαλάσσης ἀπέχουσαι, γενόμεναι μεσόγειαι· αἱ λίμναι μεταβάλλονται εἰς ἕλη, τὰ ἕλη εἰς χέρσον, καὶ αἱ ἄλλοτε νῆσοι ἡνώθησαν ταῖς ἠπείροις. Εἶδον δὲ καὶ ἐγὼ τοὺς ὑπὸ Ἡροδότου μνημονευομένους ποταμοὺς καὶ τὰ ἔργα αὐτῶν, εἶδον δὲ καὶ τὰ Ροδανοῦ, Ἄρνου καὶ Πάδου παραπλήσια ὄντα. Καὶ παρ' Ἀθήναις δὲ ἔχομεν τόν τε Ἰλισσὸν καὶ τὸν Κηφισσὸν μικροὺς μέν, ἔργα δὲ μεγάλα ἐκτελέσαντας, διότι τό τε Φαληρικὸν καὶ Πειραϊκὸν πεδίον καὶ τὸ πάλαι Ἁλίπεδον ὑπὸ θαλάσσης ἄλλοτε κατεχόμενα, ἐπληρώθησαν καὶ ἐχερσώθησαν ὑπ' αὐτῶν, οἱ δὲ λόφοι ἐφ' ὧν ὁ Πειραιεύς, νῆσός ποτε ὄντες, τῇ Ἀττικῇ ἠπείρῳ ἡνώθησαν (1). Ἐκ τούτων διδαχθέντες οἱ ἄνθρωποι ἐπισπεύδουσι τὴν ἐκχέρσωσιν καὶ ἀνύψωσιν γαιῶν χαμηλῶν καὶ ἑλωδῶν, διὰ τῆς εἰς αὐτὰς εἰσαγωγῆς ποταμίων ὑδάτων ἐν τῇ ὥρᾳ τῶν ὑετῶν, ὅτε

(1) « Τόν τε Πειραιᾶ νησιάζοντα πρότερον καὶ πέραν τῆς ἀκτῆς κείμενον οὕτως φασὶν ὀνομασθῆναι ». Στράβ. Α, 58. Ἔτι δὲ καὶ νῦν ὁ λαὸς Περαιᾶ λέγει τὸν Πειραιᾶ.

τὰ καταφερόμενα ὕδατα εἰσὶ θολά. Διὰ τοῦ τρόπου τούτου ἐπαναληφθέντος πολλάκις ὑψώθησαν καὶ νῦν καλλιεργοῦνται ἀπέραντα ἕλη τῆς Τυρηννικῆς παραλίας (Maremme Toscane). Ὀνομάζουσι δὲ οἱ Ἰταλοὶ τὴν διὰ τῆς ἰλύος τῶν ποταμῶν ἀνύψωσιν τῶν γαιῶν colmata ἐκ τοῦ ῥήματος colmare.

Ὀνομάζει δὲ ὁ ποιητὴς τὸν λιμένα «ἠϊόνα βαθεῖαν» (Β, 92)· «στόμα μακρὸν ἠϊόνος» (Ξ, 36) καὶ «ἁλὸς εὐρέα κόλπον» (Φ, 125). Ὑπολογισθείσης οὖν εἰς διακόσια καὶ χίλια γαλλικὰ μέτρα τῆς ἀπὸ τῶν Τρωϊκῶν εἰς τοὺς χρόνους Στράβωνος γενομένης προσχώσεως, ἣν αὐτὸς λέγει πλέον τῶν ἓξ σταδίων, μένομεν, νομίζω, ἐντὸς τῶν ὁρίων τοῦ πιθανοῦ λέγοντες τὸ ὅλον πρόχωμα ἀπὸ τῶν Τρωϊκῶν μέχρι τοῦ νῦν, τρισχίλια εἶναι μέτρα. Εἰκάζω δὲ ὅτι πρὶν ἢ χερσωθῇ ὁ κόλπος μέχρις Ἑλλησπόντου, ἡ πρόχωσις ἐγίνετο ταχυτέρα, νῦν δὲ πληρωθέντος σχεδὸν τοῦ «στόματος τῆς ἠϊόνος» ἡ πρόχωσις γίνεται ἀσθενεστέρα, ὑψωθέντος τοῦ πεδίου καὶ ἕνεκα τῆς βιαίας τοῦ Ἑλλησπόντου ῥοῆς. Ἀλλ' ἔτι καὶ νῦν γίνεται πρόχωσις καὶ τὸ Τρωϊκὸν πεδίον, εἰ καὶ βραδέως, ἐπεκτείνεται, μάλιστα δὲ πρὸς τὸ Σίγειον παρὰ τὰς ἐκβολὰς Σκαμάνδρου.

ΠΕΡΙ ΤΡΩΪΚΟΥ ΠΕΔΙΟΥ.

Μετὰ τὴν ἀνακάλυψιν τοῦ λιμένος εἰς ὃν προσωρμίσθη ὁ ἑλληνικὸς στόλος, ἃς διέλθωμεν τὸ συνεχόμενον πεδίον ὅπερ ἀπὸ τῆς παραλίας βλέπομεν ἐκτεινόμενον μέχρι τῶν ποδῶν τῆς Ἴδης, ἑκατέρωθεν δὲ ὑπὸ λόφων ὁριζόμενον. Βαδίζοντες οὖν ἀπὸ τοῦ Ἑλλησπόντου πρὸς τὰ ἄνω διὰ μέσου τοῦ πεδίου, ἔχομεν ἐπὶ μὲν τὰ δεξιὰ τοὺς λόφους Σιγείου καὶ τὸν Σκάμανδρον ὅστις κατερχόμενος διὰ μέσης τῆς πεδιάδος, κάμπτεται πλησιάζων τῷ Ἑλλησπόντῳ, ρέει παρὰ τοὺς λόφους Σιγείου καὶ ἐκβάλλει εἰς τὴν θάλασσαν (1)· ἐπ' ἀριστερὰ δὲ ἔχομεν τὸν λόφον Ροιτείου καὶ πορρωτέρω τὴν σειρὰν τῶν λόφων Καλλικολώνης ἐφ' ὧν διακρίνομεν ὀλίγα λείψανα τοῦ τείχους Νέου Ἰλίου. Προχωροῦντες δὲ εἰς τὰ πρόσω ἀπαντῶμεν ἐπὶ δεξιὰ διώρυγι διοχετευούσῃ εἰς Αἰγαῖον, ἀπέναντι Τενέδου, ὕδωρ ἐκρέον ἀπὸ πολλῶν πηγῶν ἀνωτέρω κειμένων. Εἶτα διαβάντες τὸν Σκάμανδρον περὶ τὰ μέσα τοῦ πεδίου, ἔνθα ρέει σχεδὸν παραλλήλως τῷ Ἑλλησπόντῳ, καὶ προχωροῦντες ἔχομεν ἐπὶ μὲν τ' ἀριστερὰ τὴν Σκα-

(1) Πέραν τῆς ἀριστερᾶς ὄχθης Σκαμάνδρου, ἐπὶ τῆς ἐσχατιᾶς Σιγείου ἀκρωτηρίου, φαίνονται τρεῖς τύμβοι ἐξ ὧν ὁ πλησιέστερος τῷ ποταμῷ λέγεται Ἀχιλλέως, ὁ μετ' αὐτὸν Πατρόκλου, ὁ δὲ τρίτος, ἀπωλέσας τὸ κωνικὸν σχῆμα καὶ εἰς νεκροταφεῖον μεταβληθείς, Ἀντιλόχου τύμβος ἢ Φαίστου λέγεται. Καίτοι οὐδεμίαν, κατ' ἐμέ, σχέσιν ἔχοντες τῇ Ἰλιάδι σημειοῦνται ἐπὶ τοῦ Πίνακος Β.

μάνδρου κοίτην (1), ἐπὶ δεξιὰ δὲ γαίας ἑλώδεις, λοφίσκους καὶ τὸν μεγαλοπρεπῆ τύμβον τοῦ Οὐτζὲκ-τεπὲ συνήθως τοῦ Ἴλου λεγόμενον, κατ' ἐμὲ δὲ Αἰσυήτου (2), πορρωτέρω δὲ σειρὰν λόφων ἀνωμάλων καὶ δυσβάτων ἀφ' ὧν ῥέουσι πολλαὶ πηγαὶ ὕδατος καθαροῦ (3)· ὅλως δ' ἐν τῷ μυχῷ τῆς πεδιάδος εὑρίσκομεν τελευταίας δύο πηγὰς ὀλίγον ἀπ' ἀλλήλων ἀπεχούσας καὶ αὐτὰς δὲ ἀπὸ τῆς ῥίζης τῶν ἀνωμάλων λόφων ἐκρεούσας. Παρὰ τὴν μίαν δὲ τὴν πρὸς τῷ πεδίῳ κεῖνται τεμάχια μαρμάρου καὶ πλυνοὶ λίθινοι ἐν οἷς αἱ γυναῖκες τῆς παρακειμένης ὀθωμανικῆς κώμης Βουνάρβασι καλουμένης πλύνουσι τὰ αὐτῶν ἱμάτια. Τὸ ἐξ αὐτῶν ῥέον ὕδωρ κατὰ μὲν τὸ θέρος ἐστὶ ψυχρόν, οὐχὶ δὲ καὶ ὁμοίως ἀμφοτέρων, τὸν δὲ χειμῶνα κατὰ τὰ μεγάλα ψύχη πυκνὸς ἀτμὸς καλύπτει τὴν πρὸς τῷ πεδίῳ κειμένην. Ἐκ δὲ τῆς θέσεως καὶ τῆς θερμοκρασίας ἀναγνωρίζομεν ὅτι αὗται εἰσὶν αἱ ἐκτὸς τοῦ τείχους Ἰλίου Δύω πηγαὶ καθ' ἃς Ἕκτωρ ἐφονεύθη ὑπ' Ἀχιλλέως (4).

(1) Ἕνεκα τῆς ἐγκαρσίου ῥοῆς τοῦ Σκαμάνδρου ὁ ἀπὸ Ἑλλησπόντου πρὸς τὰ ἄνω, διὰ τοῦ Τρωϊκοῦ πεδίου ὁδεύων ἔχει τὴν κοίτην τοῦ ποταμοῦ, ἐπὶ δεξιὰ μὲν μέχρι τῆς διαβάσεως «πόρος ποταμοῖο» ἐπ' ἀριστερὰ δὲ μετὰ τὴν διάβασιν.

(2) Ὅρα κατωτέρω τὰ περὶ Τύμβων.

(3) Οἱ Ὀθωμανοὶ οἱ τὰ πέριξ οἰκοῦντες νομίζοντες τεσσαράκοντα εἶναι τὸν ἀριθμὸν ὀνομάζουσι τὰς πηγὰς ταύτας Κιρκόζε, ἤτοι τεσσαράκοντα ὀφθαλμοί.

(4) Ὅρα τὰ περὶ Δύω Πηγῶν κατωτέρω λεγόμενα.

Ἂν δὲ ἀπὸ τῶν δύω πηγῶν προχωρήσωμεν ὀλίγον ἐπὶ τῶν πρὸς ἀνατολὰς καὶ νότον βαθμηδὸν καὶ μετὰ ῥαστώνης ἀνυψουμένων λόφων, εὑρισκόμεθα ἐντὸς τοῦ περιβόλου τῆς περιωνύμως ἀτυχοῦς πόλεως. Ἀναβάντες δὲ ἐπὶ τῆς τῶν λόφων κορυφῆς, ἣν Πέργαμον ἢ ἄκραν πόλιν ἡ Ἰλιὰς λέγει, ἔνθα εἰσὶ τρεῖς κατὰ σειρὰν τύμβοι, καὶ στρέψαντες τὰ ὄμματα πρὸς τὸ πεδίον ὃ διήλθομεν, βλέπομεν αὐτὸ πρὸ ἡμῶν χαμηλὸν καὶ ἰσόπεδον, ὡς θάλασσα, ἀπὸ τῶν ποδῶν τῶν λόφων ἐφ' ὧν ἐσμὲν μέχρις Ἑλλησπόντου ἐκτεινόμενον· μόνον αἱ ἐπὶ τῶν ὀχθῶν τοῦ ποταμοῦ πτελέαι καὶ ἰτέαι, διαγράφουσαι τὸ διὰ τῆς πεδιάδος ὀφιοειδὲς αὐτοῦ ῥεῦμα, διακόπτουσι τό τε συνεχὲς καὶ τὸ μονότονον (1).

Ἐπὶ δεξιὰ δὲ ἡμῶν, συγχρόνως δ' ἐπὶ δεξιὰ τοῦ νῦν ῥεύματος ἢ κοίτης τοῦ Σκαμάνδρου, διακρίνομεν ἔδαφος γυμνὸν καὶ ἀμμῶδες μαρτυροῦν ὅτι ἄλλοτε ὁ Σκάμανδρος εἰσερχόμενος εἰς τὸ πεδίον ἔρρεεν ἀνατολικώτερον. Ὀλίγον δὲ πορρωτέρω βλέπομεν κοίτην μικροῦ ποταμοῦ ἀπ' Ἀνατολῶν εἰς Δύσιν διευθυνόμενον καὶ σχεδὸν καθέτως εἰσρέοντος ἐν τῷ Σκαμάνδρῳ. Οὗτος ἐστίν, ὡς ἐν τοῖς ἔπειτα ἀποδειχθήσεται, ὁ τοῦ Ὁμήρου Σιμόεις, πέ-

(1) Τὰ ἐπὶ Ὁμήρου δένδρα καὶ φυτὰ τῆς Τρωϊκῆς χώρας φύονται ἔτι καὶ νῦν· αἱ μὲν ἐλάται ἐπὶ τῆς Ἴδης, αἱ δρῦς δὲ ἐπὶ τῶν κνημῶν αὐτῆς, ὁ κρόκος, τὸ σέληνον (τὸ ἄγριον), οἱ δόνακες, αἱ μυρίκαι, αἱ πτελέαι καὶ ἰτέαι ἐπὶ τοῦ πεδίου ἢ παρὰ τοὺς ποταμούς.

ραν δὲ Σιμόεντος ἐκτείνονται οἱ λόφοι Καλλικολώνης καὶ τελευταῖον τὸ Ῥοίτειον ἀκρωτήριον λῆγον εἰς τὸν Ἑλλήσποντον. Ἐπ' ἀριστερὰ δὲ βλέπομεν πρῶτον τοὺς ἀνωμάλους λόφους ἀφ' ὧν ῥέουσιν αἱ Δύω Πηγαὶ καὶ αἱ κατωτέρω ἕτεραι πολλαί, δεύτερον δὲ τὸν ὑψηλὸν καὶ ὡραῖον τοῦ Οὐτζὲκ-τεπὲ τύμβον καὶ τελευταίους τοὺς λόφους Σιγείου λήγοντας καὶ τούτους εἰς τὸν Ἑλλήσποντον. Ἀπέναντι δὲ ἡμῶν ἐν τῷ Αἰγαίῳ πελάγει φαίνονται ἡ Ἴμβρος, ἡ Λῆμνος καὶ ἡ ὑψιλὴ Σαμοθράκη ἀφ' ἧς ὁ Ποσειδῶν ἐθαύμαζε τὴν ἐπὶ τοῦ Τρωϊκοῦ πεδίου μάχην, ὄντως γὰρ πᾶσα ἡ Ἴδη, ἡ πόλις τοῦ Πριάμου καὶ τὰ πλοῖα τῶν Ἀχαιῶν ἐφαίνοντο ἐκεῖθεν.

« Καὶ γὰρ ὁ θαυμάζων ἧστο πτόλεμόν τε μάχην τε
» ὑψοῦ ἐπ' ἀκροτάτης κορυφῆς Σάμου ὑλῃέσσης
» Θρηϊκίης· ἔνθεν γὰρ ἐφαίνετο πᾶσα μὲν Ἴδη,
» φαίνετο δὲ Πριάμοιο πόλις καὶ νῆες Ἀχαιῶν ».

Ἰλ., Ν, 11-.

Πορρωτέρω δὲ ἀμυδρῶς φαίνεται ὁ Ἄθως ἀναμιμνήσκων ἡμῖν τὸ Ἥρας ἀπὸ Ὀλύμπου εἰς Ἴδην ταξίδειον. (Ξ, 225-293).

Μῆκος δὲ τοῦ πεδίου ὀνομαζομένου Τρωϊκοῦ μὲν ἀπὸ Τρωός, Σκαμανδρίου δὲ ἀπὸ τοῦ διαρρέοντος ποταμοῦ Σκαμάνδρου, Ἰληΐου δὲ πρὸς τὰ ἄνω (Φ, 558), ἀπὸ τοῦ ὀνόματος τῆς πόλεως ἢ ἀπὸ Ἴλου τοῦ ἱδρυτοῦ αὐτῆς,

ἐστὶν ἀπὸ τῶν Δύω Πηγῶν εἰς τὸν Ἑλλήσποντον, περὶ τὰ τρισχίλια καὶ μύρια μέτρα. Ἐκ τούτων ἀφαιροῦντες τὰ τρισχίλια, ἃ εἴπομεν εἶναι πρόσχωμα ἀπὸ τῶν Τρωϊκῶν μέχρι τοῦ νῦν, εὑρήσομεν τὸ τότε τοῦ Τρωϊκοῦ πεδίου μῆκος περὶ τὰ δεκάκις χίλια μέτρα.

ΠΕΡΙ ΙΛΙΟΥ.

Μετὰ τὴν ἀνεύρεσιν τοῦ λιμένος, τοῦ συνεχομένου αὐτῷ πεδίου καὶ τῶν Δύω Πηγῶν, ἡ τοῦ Ἰλίου θέσις ἀφ' ἑαυτῆς ἀναγνωρίζεται. Ἡ τοῦ Πριάμου πόλις ἔκειτο ἐπὶ τῶν λόφων περὶ ὧν πρὸ μικροῦ ἐλαλήσαμεν, τῶν ἀπὸ τῶν Δύω Πηγῶν κατὰ σμικρὸν ἀνυψουμένων καὶ περιρρεομένων ὑπὸ Σκαμάνδρου πρὸς Βορρὰν καὶ Ἀνατολάς. Οὐδεμία περὶ τούτου ἀμφιβολία μένει τῷ διερχομένῳ τὴν χώραν καὶ μόνον τὴν Ἰλιάδα ἐν τῷ νῷ ἔχοντι. Μεταξὺ τῶν Δύω Πηγῶν καὶ τοῦ περιβόλου τοῦ ἄστεως ἦν ἡ ὁδὸς δι' ἧς ἔφευγεν ὁ Ἕκτωρ ἰδὼν τὸν Ἀχιλλέα ἐρχόμενον πρὸς αὐτόν. Ὁ Ἀχιλλεύς, λέγει ὁ Ποιητής, ἀπωθήσας τοὺς Τρῶας πρὸς τὴν πόλιν, ἠπατήθη ὑπὸ τοῦ Ἀπόλλωνος ὁμοιωθέντος Ἀγήνορι καὶ ἐτράπη θέων πρὸς τὸν Σκάμανδρον ἐλπίζων ἑλεῖν αὐτὸν (τὸν Ἀγήνορα)

φεύγοντα ἐκεῖσε· ἔπραξε δὲ τοῦτο Ἀπόλλων ἵνα οἱ Τρῶες ἐν ἀνέσει εἰσέλθωσιν εἰς τὸ ἄστυ.

« τρέψας πὰρ ποταμὸν βαθυδινήεντα Σκάμανδρον,
» τυτθὸν ὑπεκπροθέοντα· δόλῳ δ' ἄρ' ἔθελγεν Ἀπόλλων,
» ὡς αἰεὶ ἔλποιτο κιχήσεσθαι ποσὶν οἷσιν·
» τοφρ' ἄλλοι Τρῶες πεφοβημένοι ἦλθον ὁμίλῳ
» ἀσπάσιοι προτὶ ἄστυ· πόλις δ' ἔμπλητο ἀλέντων » (1).

Ἀνακαλύψας δὲ τὸν δόλον Ἀχιλλεύς, παραπονεῖται κατ' Ἀπόλλωνος καὶ στρέφεται πάλιν πρὸς τὴν πόλιν.

« ἔβλαψάς μ' Ἑκάεργε, θεῶν ὀλοώτατε πάντων,
» ἐνθάδε νῦν τρέψας ἀπὸ τείχεος . . . . .
» ὣς εἰπὼν προτὶ ἄστυ μέγα φρονέων ἐβεβήκει » (2).

Κατὰ τὸν αὐτὸν δὲ χρόνον Ἕκτωρ μείνας μόνος ἐκτὸς τῆς πόλεως ἵστατο πρὸ τῶν Σκαιῶν Πυλῶν σκεπτόμενος περὶ τοῦ πρακτέου, ἀλλ' ἰδὼν τὸν Ἀχιλλέα πλησιάζοντα, ἐγκαταλιμπάνει ὄπισθεν τὰς πύλας καὶ φεύγει πρὸς τὰς Δύω Πηγάς.

(1) Φ, 544-607. Ἐπὶ τοῦ Πίνακος Β, ἡ πρὸς τὸν Σκάμανδρον διεύθυνσις τοῦ Ἀχιλλέως σημειοῦται διὰ τῆς διπλῆς γραμμῆς ΤΤ'. Ὅρα δὲ καὶ τὴν περιγραφὴν τῆς Τετάρτης Μάχης ἐν ᾗ οἱ στρατιωτικοὶ οὗτοι ἑλιγμοὶ συμβαίνουσιν.

(2) Ἰλ. Χ, 15-21. Ἡ πρὸς τὴν πόλιν ἐπιστροφὴ Ἀχιλλέως σημειοῦται ἐπὶ τοῦ Πίνακος Β, διὰ τῆς διπλῆς γραμμῆς Τ'Τ''.

« Ὡς ὥρμαινε μένων ὁ δέ οἱ σχεδὸν ἦλθεν Ἀχιλλεύς...
» Ἕκτορα δ', ὡς ἐνόησεν, ἕλε τρόμος· οὐδ' ἄρ' ἔτ' ἔτλη
» αὖθι μένειν, ὀπίσω δὲ πύλας λίπε, βῆ δὲ φοβηθείς.
» Πηλείδης δ' ἐπόρουσε ποσὶ κραιπνοῖσι πεποιθώς·
» κρουνὼ δ' ἵκανον καλλιρρόω ἔνθα δὲ πηγαὶ
» δοιαὶ ἀναΐσσουσι Σκαμάνδρου δινήεντος ».

Ἰλ., Χ, 131 - 148

Ἐκ τῆς ζωηρᾶς ταύτης εἰκόνος φαίνεται ὅτι ὁ ἀπὸ Σκαμάνδρου ὑπὸ τὰ τείχη Ἰλίου ὁδεύων πρὸς τὰς Δύω Πηγάς, πρὸ τοῦ ἀφιχθῆναι εἰς αὐτάς, παρήρχετο τὰς Σκαιὰς Πύλας (1). Φαίνεται δὲ πρὸς τούτοις ὅτι οἱ δύω ἥρωες ὥδευον ἐστραμμένοι ὄντες πρὸς Δυσμὰς καὶ ἔχοντες ἐπ' ἀριστερὰ μὲν τὸ Ἴλιον, ἐπὶ δεξιὰ δὲ τὸ Τρωϊκὸν πεδίον καὶ τὰς Δύω Πηγάς. Ἀπὸ δὲ τῶν Δύω Πηγῶν θέοντες ἐπὶ τοῦ ἀνωφεροῦς ἐδάφους εἶχον ἐπ' ἀριστερὰ μὲν πάλιν τὸν περίβολον τῆς πόλεως, ἐπὶ δεξιὰ δὲ τοὺς λόφους ἐξ ὧν πηγάζουσιν αἱ Δύω Πηγαί. Προχωροῦντες δὲ καὶ κατὰ σμικρὸν στρεφόμενοι πρὸς Μεσημβρίαν, ὁρῶντες δὲ τὴν Ἴδην, ἀφικνοῦντο ὑπὸ τὴν Ἀκρόπολιν ἢ Πέργαμον· ἐκεῖθεν δὲ στρεφόμενοι πρὸς Ἀνατολὰς καὶ ἔχοντες ἐπὶ δεξιὰ μὲν τὴν κοίτην Σκαμάνδρου καὶ τὴν Ἴδην, ἐπ' ἀριστερὰ δὲ τὸν περίβολον τῆς πόλεως καὶ τὸ

(1) Ὅθεν σφάλλουσιν ὁ Mauduit καὶ ἕτεροι τιθέμενοι τὰς Σκαιὰς Πύλας πέραν τῶν Δύω Πηγῶν· ἔσφαλον δὲ διὰ τὸ ὑπολαβεῖν Σκάμανδρον εἶναι τὸν ῥύακα τὸν ἐκ τῶν πηγῶν κατερχόμενον.

Πέργαμον (1), ἐπανακάμπτοντο πρὸς Βορράν, εἰσήρχοντο εἰς τὸ Τρωϊκὸν πεδίον καὶ ἔχοντες ἐπὶ δεξιὰ μὲν τὸ πεδίον αὐτό, ἐπ' ἀριστερὰ δὲ τὸ τεῖχος καὶ τὰς Σκαιὰς Πύλας ἐπανήρχοντο εἰς τὰς Δύω Πηγάς.

Καθ' Ὅμηρον Ἕκτωρ καὶ Ἀχιλλεὺς περιῆλθον πεζοὶ τρὶς τὴν πόλιν·

« Ὣς τὼ τρὶς Πριάμοιο πόλιν περιδινηθήτην
« καρπαλίμοισι πόδεσσι . . . . . ».

Ἰλ., Χ, 165-.

καὶ

« . . . . . νῦν αὖτε' ὁ δῖος Ἀχιλλεὺς
» ἄστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκει ».

Ἰλ., Χ, 172-.

Ἀμφότεραι αἱ περικοπαὶ εἰσὶν ἐναργεῖς μὴ ἐπιδεχόμεναι ἄλλην ἐξήγησιν ἢ τὴν περιπολήσεως περὶ τὴν πόλιν ἅπασαν. Ἕνεκα δὲ τῆς ἀποτόμου νοτιοανατολικῆς πλευρᾶς Ἰλίου, τινὲς τῶν νῦν εἶπον τὴν περιδίνησιν

(1) Κατὰ τὴν πρὸς τὴν Ἴδην πλευρὰν τοῦ Ἰλίου οὖσαν ἀπότομον καὶ ἀνωμάλως καταφερομένην εἰς τὴν Σκαμάνδρου κοίτην, ὁ Mauduit γάλλος ἀρχιτέκτων ἀνεκάλυψε πρῶτος ἴχνη τείχους, μετ' αὐτὸν δὲ ὁ Χάν, πρόξενος Αὐστρίας ἐν Σύρῳ, ἀνασκάψας εὗρε τὴν ἐπέκτασιν τοῦ τείχους. Φαίνεται δὲ ἐκ τῶν ἀτάκτως κατερριμμένων λίθων εἰς τὴν κοίτην τοῦ ποταμοῦ ὅτι τὸ μέρος τοῦτο τῆς ἄκρας πόλεως ἢ Περγάμου, ὑπέστη μεταβολὰς καταπεσὸν ὑπὸ σεισμῶν.

Ἕκτορος καὶ Ἀχιλλέως γενέσθαι οὐχὶ περὶ τὴν πόλιν ἀλλὰ πρὸ τῆς πόλεως (1).

Τὴν ἐξήγησιν ὅμως ταύτην ἐξελέγχουσιν ὡς ἐσφαλμένην ἥτε γραμματικὴ ἔννοια τῶν ἐπῶν καὶ ἡ τῆς εἰκόνος παράστασις.

Καὶ περὶ μὲν τῆς γραμματικῆς ἐννοίας τῶν ἐκφράσεων «πόλιν περιδινηθήτην» καὶ «ἄστυ πέρι» περιττὴ δοκεῖ μοι ἡ περαιτέρῳ ἔρευνα· ἔρχομαι οὖν εἰς τὴν τῆς εἰκόνος περιγραφήν.

«Ὁ Ἕκτωρ, λέγει Ὅμηρος, λιπὼν ὄπισθεν αὐτοῦ τὰς Σκαιὰς Πύλας καὶ ὁ διώκων αὐτὸν Ἀχιλλεὺς ἔθεον ὑπὸ τὸ τεῖχος, ἔξωθεν τῆς πόλεως, ἐπὶ τῆς ἁμαξιτοῦ καὶ ἀφίκοντο εἰς τὰς Δύο Πηγάς».

« τείχεος αἰὲν ὑπὲκ κατ' ἀμαξιτὸν ἐσσεύοντο·
» κρουνὼ δ' ἵκανον καλλιρρόω, ἔνθα δὲ πηγαὶ
» δοιαὶ ἀναΐσσουσι Σκαμάνδρου δινήεντος » (2).

Ἰλ., Χ 146.

(1) Ἰδοῦ πῶς ὁ Giguet (Paris 1863) μεταφράζει τὰς ἄνω περικοπὰς ἐν τῇ ἀξιολόγῳ αὐτοῦ μεταφράσει τῆς Ἰλιάδος. « Aussi rapides les deux » guerriers passent et repassent trois fois devant la ville de Priam»· « καὶ Maintenant le divin Achille le poursuit de toute la vitesse de » ses pieds devant la ville de Priam ».

(2) Ἐχέτω ὑπ' ὄψιν ὁ ἀναγνώστης τὸν Πίνακα Β. Ἡ τῶν ἡρώων πορεία ἄρχεται ἀπὸ τοῦ Τ', ἔνθα ὑποτίθεται ἡ τῶν Σκαιῶν Πυλῶν θέσις, ἐκεῖθεν δὲ προχωροῦσι μέχρι τῶν Δύω Πηγῶν κατ' εὐθεῖαν γραμμήν, εἶτα μεταστραφέντες θέουσι πρὸς τὰ ἄνω. Ὁ ἰδὼν τὴν χώραν ἀναγνωρίζει ὅτι ἡ ἁμαξιτὸς

Εἶτα δὲ ἵνα ζωγραφήσῃ τὸ πέραν τῶν Δύω Πηγῶν διατρεχόμενον ὑπὸ τῶν δύω ἡρώων ἔδαφος λέγει· «Ὁ Ἀχιλλεὺς ἐδίωκεν ἀδιαλείπτως τὸν Ἕκτορα καὶ ὡς κύων, ἐκβαλὼν ἀπὸ τῆς κοίτης ἐλαφίσκον, διώκει αὐτὴν διὰ κοιλάδων καὶ δασῶν καί, ἄν ποτε λάθῃ αὐτὸν κρυφθεῖσα ὑπὸ θάμνον, ἀνιχνεύει καὶ τρέχει ἀκαταπαύστως ἕως ἂν εὕρῃ, οὕτως Ἕκτωρ οὐκ ἐλάνθανε τὸν ταχύπουν Ἀχιλλέα».

μέχρι τῶν Δύω Πηγῶν καὶ ἔτι πέραν πρὸς τὰ ἄνω, ἤτοι πρὸς Μεσημβρίαν, ἐξετείνετο. Βεβαίως δὲ ὑπῆρχε καὶ πύλη κατὰ τὴν πλευρὰν ταύτην (Νοτιοδυτικὴν) τῆς πόλεως, δι' ἧς ἀσφαλέστερον οἱ πολιορκούμενοι συνεκοινώνουν μετὰ τῆς ἄλλης Ἀσίας καὶ ἐλάμβανον τροφὰς καὶ ἐπικουρίας. Ἐνισχύουσι δὲ τὴν ἐμὴν ὑπόθεσιν καὶ οἱ ἑξῆς Ἀχιλλέως λόγοι εὐθὺς μετὰ τὸν Ἕκτορος φόνον·

« Εἰ δ' ἄγετ', ἀμφὶ πόλιν σὺν τεύχεσι πειραθῶμεν,
» ὄφρα κέ τι γνῶμεν Τρώων νόον, ὅντιν' ἔχουσιν·
» ἢ καταλείψουσιν πόλιν ἄκρην, τοῦδε πεσόντος,
» ἦε μένειν μεμάασι, καὶ Ἕκτορος οὐκ ἔτ' ἐόντος ».

Ἰλ., X, 381-.

Ὁ Εὐριπίδης ποιεῖ τὴν Ἀνδρομάχην λέγουσαν τὸν Ἀχιλλέα δίφρῳ περὶ τὴν πόλιν ἑλκῦσαι τὸν Ἕκτορα.

« καὶ τὸν ἐμὸν μηλέας πόσιν Ἕκτορα τὸν περὶ τείχη
» εἵλκυσε διφρεύων παῖς ἁλίας Θέτιδος ».

Ἀνδρομ. 107-.

Καὶ ἴσως μὲν ἡ πόλις ἦν περιβατὴ δίφρῳ ἄλλοτε καὶ κατὰ τὴν νῦν κρημνώδη τοῦ Περγάμου πλευράν, τοῦθ' ὅπερ ἐν Ἰλιάδι μένει ἀμφίβολον. Ὁ Ἀχιλλεὺς ὅμως, κατὰ τὴν Ἰλιάδα, μόνον εἰς τὰ πλοῖα ἀπὸ τῶν Δύω Πηγῶν ἔσυρε τὸν Ἕκτορα ὄπισθεν τοῦ δίφρου, οὐχὶ δὲ καὶ περὶ τὴν πόλιν (X, 381-465) ὡς εἶπεν ὁ Εὐριπίδης καὶ μετ' αὐτὸν ὁ Οὐϊργίλιος.

« Ἕκτορα δ' ἀσπερχὲς κλονέων ἔφεπ' ὠκὺς Ἀχιλλεύς·
» ὡς δ' ὅτε νεβρὸν ὄρεσφι κύων ἐλάφοιο δίηται,
» ὄρσας ἐξ εὐνῆς, διὰ τ' ἄγκεα καὶ διὰ βήσσας·
» τὸν δ' εἴπερ τε λάθῃσι καταπτήξας ὑπὸ θάμνῳ,
» ἀλλὰ τ' ἀνιχνεύων θέει ἔμπεδον, ὄφρα κεν εὕρῃ·
» ὡς Ἕκτωρ οὐ λῆθε ποδώκεα Πηλείωνα ».

Ἰλ., X, 188-.

Ἐκ τῆς παρομοιώσεως καταφαίνεται ὅτι τὸ μετὰ τὰς Δύω Πηγὰς ἔδαφος ἦν ἀνώμαλον, ἔχον κυρτώματα ἐνιαχοῦ καὶ κοιλώματα καλύπτοντα τὸν πρὸ τοῦ Ἀχιλλέως θέοντα Ἕκτορα. Τὸ πλεῖστον μέρος τοῦ χωρίου τοιοῦτον ἔτι καὶ νῦν ἐστὶ κατὰ τὴν νοτιοδυτικὴν καὶ ἀνατολικὴν πλευρὰν τοῦ Περγάμου. Τὸν διαγραφέντα δὲ δρόμον τῶν δύω ἡρώων περὶ τὸ Ἴλιον διέτρεξα ἐν μιᾷ περίπου ὥρᾳ βήματι μετρίῳ χρησάμενος καὶ ὑπολογίζω εἶναι περὶ τὰ πεντάκις χίλια μέτρα. Ἀλλ' ὑπὸ καλῶς εἰς τὸν δρόμον γεγυμνασμένου ἀνδρὸς ἐν ἡμισείᾳ μόνον ὥρᾳ διατρέχεται (1). Καὶ ἦν μὲν ἐπίπονος τρὶς ἀδιακόπως ἐπαναληφθείς, ἀλλ' ὡς λέγει ὁ Ποιητής, ὁ δρόμος ἐγίνετο οὐχὶ περὶ κοινοῦ τινος ἄθλου ἀλλὰ περὶ τῆς ψυχῆς τοῦ Ἕκτορος.

(1) Ὁ Mauduit (Découvertes dans la Troade) σχεδιαγραφήσας τὰ ἴχνη τῶν τειχῶν ἅπερ ἀνεκάλυψεν ἐν ἔτει 1812 κατὰ τὴν ἀνατολικὴν τοῦ Περγάμου πλευράν, σημειοῖ καὶ δρόμον ἔξωθεν τῶν τειχῶν καὶ κλίμακα ἄγουσαν εἰς τὴν κοίτην τοῦ Σκαμάνδρου.

« Ἀλλὰ περὶ ψυχῆς θέον Ἕκτορος ἱπποδάμοιο ».

Ἰλ., Χ, 159.

Μόνα δὲ λείψανα ἐντὸς τοῦ περιβόλου τούτου μαρτυροῦντα τὴν ἄλλοτε ὕπαρξιν πόλεως εἰσὶν οἱ διαφόρων εἰδῶν, σχημάτων καὶ χρωμάτων λίθοι ὑπὸ τοῦ χρόνου λειανθέντες καὶ πανταχόσε διεσπαρμένοι· φαίνονται δὲ καὶ μεγάλα τεμάχια κογχυλίτου λίθου καὶ μαρμάρου κανονικῶς λελαξευμένα ἐν τῇ αὐλῇ τῆς ἐπαύλεως, ἐν ταῖς πτωχαῖς οἰκοδομαῖς καὶ τῷ Ὀθωμανικῷ ναῷ τῆς κώμης Βουνὰρ-βασί· εὑρίσκονται δὲ πανταχοῦ τεμάχια κεραμεικῶν ἀγγείων, ἐπὶ δὲ τοῦ Περγάμου καὶ θεμέλια οἰκοδομῶν.

Πάντα δὲ τὰ ἐπίθετα τὰ ἐν Ἰλιάδι διδόμενα τῷ Ἰλίῳ ἁρμόζουσι τῇ χώρᾳ οὔσῃ ἐ ρ α τ ε ι ν ῇ ἕνεκα τοῦ ἀχανοῦς καὶ ποικίλου ὁρίζοντος, ἠ ν ε μ ο έ σ σ ῃ ἕνεκα τοῦ ὕψους καὶ τῶν περὶ αὐτὴν ὀρέων καὶ κοιλάδων, α ἰ π ε ι ν ῇ διὰ τὴν νοτιοανατολικὴν τοῦ Περγάμου πλευράν, ἐν π ε δ ί ῳ π ε π ο λ ι τ ι σ μ έ ν ῃ διὰ τὸ εἶναι ἐν τῷ μυχῷ τοῦ πεδίου. Λέγεται δὲ ἡ πόλις ε ὐ ρ υ ά γ υ ι α καὶ ἄ σ τ υ μ έ γ α διὰ τὴν ἔκτασιν.

Τὸ δὲ Πέργαμον, ὅπερ καὶ π ό λ ι ν ἄ κ ρ η ν καλεῖ Ὅμηρος, ἦν πρὸς τὴν πόλιν Ἰλίου ὅ,τι ἡ τῶν Ἀθηνῶν ἀκρόπολις ἦν πρὸς τὰς πρὸ Θεμιστοκλέους Ἀθήνας τὰς πρὸς Φάληρον ἐστραμμένας. Ἀλλ' ἡ εἰς Πέργαμον ἀπὸ

τῆς πόλεως ἄνοδος ἦν εὔκολος καὶ ἁμαξητὴ (Ω, 322-327), ὡς καὶ νῦν ἔτι καταφανές ἐστιν, μάλιστα δὲ κατὰ τὰ πλάγια. Ἦσαν δ' ἐν αὐτῷ οἱ ναοὶ Ἀπόλλωνος καὶ Ἀθηνᾶς (Ἰλ., Ε, 445- καὶ Ζ, 297), πρὸς δὲ τούτοις τὰ δώματα Πριάμου Ἕκτορος καὶ Ἀλεξάνδρου μεγάλα, περικαλῆ, ὑψόροφα καὶ ἐκ λίθων ξεστῶν κατεσκευασμένα (Ἰλ., Ζ, 242-317). Ὑπερέχει δὲ ἡ τοῦ Περγάμου κορυφὴ ὑπὲρ τὴν ἐπιφάνειαν τῆς θαλάσσης περὶ τὰ πεντήκοντα καὶ ἑκατὸν μέτρα γαλλικά. Ἀμφίβολον δέ, κατά γε τὴν Ἰλιάδα, ἂν εἶχε χωριστὸν περίβολον τείχους τὸ Πέργαμον, ἢ ἂν περιελαμβάνετο ἐν τῷ τείχει τῆς πόλεως, ὂν τὸ ὑψηλότερον αὐτῆς μέρος, ἢ ὡς Ὅμηρος λέγει ἡ ἄκρα πόλις. Ἡ μετ' ἐπιμελείας ἀνίχνευσις τῶν ἀνακαλυφθέντων ὑπὸ Mauduit καὶ Hahn τειχῶν, ἀποκαλύψει ποτε ἐν τῷ μέλλοντι τὸν ὅλον τοῦ Ἰλίου περίβολον· τότε δὲ συγχρόνως φανήσεται ἂν τὸ Πέργαμον εἶχε δεύτερον περίβολον τείχους κατὰ τὴν πρὸς τὸ πεδίον πλευράν. Οὐδὲν δὲ τὸ παράλογον ἂν πρὸς τὰ κάτω τῶν λόφων, ὀλίγιστα νῦν μένωσι σημεῖα πόλεως, οὔσης ἐκεῖθεν εὐκολωτέρας τῆς μετακομίσεως τῆς ὕλης εἰς οἰκοδομίαν ἑτέρων πόλεων τῆς Τρωϊκῆς.

Οὐ μόνον δὲ ἡ Ἰλιάς, ὡς μετ' οὐ πολὺ ἐν ἐκτάσει δηλώσομεν, ἀλλὰ καὶ ἅπασα ἡ κλασικὴ λεγομένη ἀρχαιότης, σὺν δὲ ταύτῃ καὶ Στράβων, ἐνταῦθα θέλουσι τὸ Ἴλιον.

Πρῶτος Ἡρόδοτος ἐξιστορῶν τοὺς Μηδικοὺς πολέμους πολλάκις μὲν λαλεῖ περὶ Ἰλίου ἀεὶ δὲ ὡς περὶ πόλεως μὴ ζώσης ἀλλ' ἐρήμου· τοσάκις ποιεῖται μνείαν τῆς Τρωϊκῆς χώρας, τοῦ Ἑλλησπόντου, τοῦ παρὰ τὸν Σκάμανδρον Σιγείου, τῶν περὶ Σίγειον χωρῶν ἃς εἶχον πρῶτον οἱ Πεισιστρατίδαι, εἶτα οἱ Λέσβιοι, μετὰ δὲ τούτους οἱ Ἀθηναῖοι· τοσάκις ὀνομάζει τὰ ἔθνη τὰ κατοικοῦντα τὴν Τρῳάδα, ἀλλ' οὐδέποτε λαλεῖ περὶ Ἰλιέων κατοικούντων πόλιν ὀνομαζομένην Ἴλιον. Τοὐναντίον, καθ' Ἡρόδοτον, ἐπὶ τῶν Μηδικῶν χρόνων οἱ ὑπολειφθέντες τῶν ἀρχαίων Τευκρῶν, ἤτοι τῶν ἀρχαίων Τρώων κατοίκων τοῦ Ὁμηρικοῦ Ἰλίου, ᾤκουν πόλιν Γέργιθα καλουμένην οὐχὶ Ἴλιον. «Ὑμέης δέ . . . . ἐπὶ τὸν Ἑλλήσποντον ἦγε τὸν στρατόν· καὶ εἷλε μὲν Αἰολέας πάντας, ὅσοι τὴν Ἰλιάδα νέμονται, εἷλε δὲ Γέργιθας τοὺς ὑπολειφθέντας τῶν ἀρχαίων Τευκρῶν» (Τερψιχόρη, § 122).

Κατὰ τὸν αὐτὸν ἱστορικὸν ὁ Ξέρξης ἐπὶ τῶν λόφων Βουνὰρ-βασὶ ἀνέβη καὶ ἔθυσε τῇ Ἀθηνᾷ, ἐν χώρᾳ ἐρήμῳ κατοίκων, οἰκιῶν, ναῶν. «Ὁ περσικὸς στρατός, λέγει » Ἡρόδοτος, ἐποιέετο τὴν ὁδὸν ἐκ τῆς Λυδίας εἰς τὸν » ποταμὸν Κάϊκον· ἀπὸ δὲ Καΐκου ὁρμεώμενος Κάννης » ὄρος ἔχων ἐπ' ἀριστερὰ . . . . ἐς Καρίνην πόλιν· ἀπὸ » δὲ ταύτης διὰ Θήβης πεδίου ἐπορεύετο, Ἀτραμύττειόν » τε πόλιν καὶ Ἄντανδρον τὴν Πελασγίδα παραμειβό-

» μενος· τὴν Ἴδην δὲ λαβὼν εἰς ἀριστερὰν » χέρα, ἤϊε εἰς τὴν Ἰλιάδα γῆν.... Ἀπικομέ- » νου δὲ τοῦ στρατοῦ ἐπὶ τὸν Σκάμανδρον.... ἀπέλιπε » τὸ ῥέεθρον οὐδ' ἀπέχρησε τῇ στρατιᾷ τε καὶ τοῖσι κτή- » νεσι πινόμενος. Ἐπὶ τοῦτον δὴ τὸν ποταμὸν ὡς » ἀπίκετο Ξέρξης, εἰς τὸ Πριάμου Πέργαμον » ἀνέβη, ἵμερον ἔχων θεήσεσθαι· θεησάμενος δὲ καὶ » πυθόμενος κείνων ἕκαστα τῇ Ἀθηναίῃ τῇ Ἰλιάδι ἔθυσε » βοῦς χιλίας· χοὰς δὲ οἱ μάγοι τοῖσι ἥρωσι ἐχέαντο· » ταῦτα δὲ ποιησαμένοισι νυκτὸς φόβος ἐς τὸ στρατό- » πεδον ἐνέπεσεν· ἅμα ἡμέρα δὲ ἐπορεύετο ἐντεῦθεν, ἐν » ἀριστερῇ μὲν ἀπέργων Ῥοίτειον πόλιν καὶ Ὀφρύνιον » καὶ Δάρδανον, ἥπερ δὴ Ἀβύδῳ ὅμουρος ἐστι· ἐν δεξιῇ » δὴ Γέργιθας Τευκρούς ». (Πολύμνια 42-43). Ὁ οὖν περσικὸς στρατὸς πορευθὺς παρὰ τὰς μεσημβρινὰς καὶ ἀνατολικὰς ὑπωρείας τῆς Ἴδης εἰσῆλθεν εἰς τὸ Τρωϊκὸν πεδίον διὰ τῆς κοιλάδος τῆς μεταξὺ Ἴδης καὶ λόφων Καλλικολώνης. Εἶδε δὲ κατὰ πρῶτον τὸν Σκάμανδρον παρὰ τοὺς λόφους Βουνὰρ-βασί· εἰς τὸ ἐπ' αὐτῶν ἄρα Πέργαμον ἀνέβη ὁ Ξέρξης εὐθὺς ὡς ἦλθεν εἰς τὸν Σκάμανδρον «ἐπὶ τοῦτον δὴ τὸν ποταμὸν ὡς ἀπίκετο Ξέρξης εἰς τὸ τοῦ Πριάμου Πέργαμον ἀνέβη». Οὔτε πόλις δὲ μνημονεύεται κατὰ τὴν ἀπὸ Σκαμάνδρου εἰς Πέργαμον ἀνάβασιν, οὔτε ναοί, οὔτε κάτοικοι· ἐξηγοῦσι δὲ καὶ τὸν διὰ νυκτὸς πανικὸν ἐν τῷ στρατοπέδῳ φόβον ἥ τε ἐρημία

τῆς χώρας καὶ τὸ εὐρὺ χάσμα ἐν ᾧ ρίπτεται ὁ Σκάμανδρος μετὰ πολλοῦ κρότου, καὶ ἡ ὑψηλὴ καὶ κρημνώδης πρὸς τὴν Ἴδην πλευρὰ τοῦ Περγάμου ἀφ' ἧς συχνὰ ἀποσπῶνται λίθοι κατακρημνιζόμενοι εἰς τὸν βυθὸν τοῦ χάσματος διὰ πατάγου ἀντηχουμένου ἐν τοῖς παρακειμένοις σπηλαίοις.

Θουκυδίδης δὲ περιγράφων τὰ τοῦ Πελοποννησιακοῦ πολέμου μέχρι τοῦ εἰκοστοῦ πρώτου ἔτους, πολλάκις λαλεῖ περὶ Ἑλλησπόντου, περὶ τῶν πόλεων Σιγείου, Ροιτείου καὶ ἑτέρων τῆς Τρωϊκῆς χώρας πόλεων, ἀλλ' οὐδ' ἅπαξ μνημονεύει πόλεως Ἰλίου κατὰ τοὺς χρόνους ἐκείνους ὑπαρχούσης. Ἐὰν δὲ ἡ ὑπ' Ἀχαιῶν ἐκπορθηθεῖσα Ἴλιος ἦν, ὥς τινες ἐνόμισαν, κατὰ τὸ Νέον Ἴλιον (ἐπὶ Ἰσαρλὴκ) καὶ ὑπῆρχεν ἔτι καὶ κατῳκεῖτο κατὰ τὸν Πελοποννησιακὸν πόλεμον, ὅτε τόσαι ναυμαχίαι ἐγένοντο ἐν Ἑλλησπόντῳ, βεβαίως ἐλάλει ἂν καὶ περὶ ταύτης ὁ Θουκυδίδης.

Εὐριπίδης δὲ διὰ τοπογραφικῆς ἐξιστορήσεως τίθησι τὸ Πριάμου καὶ Ἕκτορος Ἴλιον ἐπὶ τῶν λόφων Βουνὰρβασί, λέγων τὸν Ὀδυσσέα ἀεὶ ἐνεδρεύοντα περὶ τὸν βωμὸν τοῦ Θυμβραίου Ἀπόλλωνος, βωμὸν κείμενον παρὰ τῷ ἄστει.

« ἀεὶ δ' ἐν λόγοις εὑρίσκεται
» θυμβραῖον ἀμφὶ βωμὸν ἄστεος πέλας
» θάσσων . . . . . »

(Εὐρι. Ρῆσος).

Ἡ Θύμβρα πεδίον καὶ ὁ ναὸς τοῦ Θυμβραίου Ἀπόλλωνος ἦσαν μεταξὺ τῆς νοτίου πλευρᾶς τῶν λόφων Καλλικολώνης καὶ Βουνὰρ-βασί, ἔνθα καὶ ἐρείπια τοῦ ναοῦ ἀνεκαλύφθησαν· ἄρα ἐνταῦθα ἦν τὸ Ἴλιον οὐχὶ ἐπὶ τοῦ λόφου Ἰσαρλὴκ πολὺ ἀπέχοντος ἀπὸ Θύμβρης καὶ τοῦ βωμοῦ τοῦ Θυμβραίου Ἀπόλλωνος.

Καὶ Ξενοφῶν δὲ ἠπατημένους ἐξελέγχει τοὺς νομίζοντας τὸ Ἴλιον ἐπὶ τῶν λόφων Ἰσαρλήκ. Ἀναλαμβάνων ἐν τοῖς ἑλληνικοῖς τὴν ἱστορίαν τοῦ Πελοποννησιακοῦ πολέμου ἀπὸ τοῦ εἰκοστοῦ πρώτου ἔτους ἔνθα λήγει ἡ τοῦ Θουκυδίδου, ἄρχεται διηγούμενος δύω ναυμαχίας γενομένας ἐν Ἑλλησπόντῳ μεταξὺ Λακεδαιμονίων καὶ Ἀθηναίων, τὴν μὲν πρώτην περὶ Ροίτειον, τὴν δ' ἑτέραν γενομένην τῇ ὑστεραίᾳ, παρ' Ἀβύδῳ. « Μετ' » ὀλίγον δὲ τούτων Δωριεὺς ὁ Διαγόρου ἐκ Ρόδου ἐς » Ἑλλήσποντον εἰσέπλει, ἀρχομένου χειμῶνος, τέτταρσι » καὶ δέκα ναυσὶν ἅμα ἡμέρᾳ. Κατιδὼν δὲ ὁ τῶν Ἀθη- » ναίων ἡμεροσκόπος ἐσήμανε τοῖς στρατηγοῖς. Οἱ » δ' ἀνηγάγοντο ἐπ' αὐτὸν εἴκοσι ναυσίν, ἃς ὁ Δωριεὺς » φυγὼν πρὸς τὴν γῆν ἀνεβίβαζε τὰς ἑαυτοῦ τριήρεις ὡς » ἤνοιγε περὶ Ροίτειον (1)· ἐγγὺς δὲ γενομένων τῶν » Ἀθηναίων, ἐμάχοντο ἀπό τε τῶν νεῶν καὶ τῆς γῆς » μέχρις οἱ Ἀθηναῖοι ἀπέπλευσαν ἐς Μάδυτον πρὸς τὸ

(1) Ἐνταῦθα Ξενοφῶν τὴν πόλιν Ροίτειον ἐννοεῖ οὖσαν ἐνδοτέρω καὶ ἀνατολικώτερον τῆς ἄκρας νῦν Ροίτειον καλουμένης.

» ἄλλο στρατόπεδον οὐδὲν πράξαντες. Μίνδαρος δὲ κατι-
» δὼν τὴν μάχην ἐν Ἰλίῳ θύων τῇ Ἀθηνᾷ, ἐβοήθει ἐπὶ
» τὴν θάλατταν καὶ καθελκύσας τὰς ἑαυτοῦ τριήρεις
» ἀπέπλει ὅπως ἀναλάβῃ τὰς μετὰ Δωριέως. Οἱ δὲ Ἀθη-
» ναῖοι ἀνταναγαγόμενοι ἐναυμάχησαν περὶ Ἄβυδον κατὰ
» τὴν ἠϊόνα, μέχρι δείλης ἐξ ἑωθινοῦ ». Ἑλλην. ἱστο-
ριῶν. Κεφ. ά. § 2.

Ἡ περιγραφή ἐστι σαφεστάτη, τῆς μὲν πρώτης ναυμαχίας γενομένης τὴν ἡμέραν καθ' ἣν Δωριεὺς εἰσῆλθεν εἰς Ἑλλήσποντον, τῆς δὲ δευτέρας, τῆς περὶ Ἄβυδον, γενομένης τὴν ἑπομένην ἡμέραν καὶ παραταθείσης « μέχρι δείλης ἐξ ἑωθινοῦ »· ἡ φράσις αὕτη ἐξηγεῖ ὅτι ἡ περὶ τὸ Ροίτειον ναυμαχία οὐκ ἐγένετο τὴν αὐτὴν ἡμέραν ἀλλὰ τὴν προτεραίαν. Ποῦ δὲ ἦν τὸ Λακεδαιμονίων ναυτικὸν στρατόπεδον τὸ ὑπὸ τὸν ναύαρχον Μίνδαρον; Ἐν Ἀβύδῳ, ὡς προεῖπε καὶ Θουκυδίδης ἐν τῷ τέλει τῆς αὐτοῦ ἱστορίας, τὸ δὲ Ἀθηναίων ἄντικρυ ἐν Μαδύτῳ. Ἐξ Ἀβύδου ὁ Μίνδαρος ἦλθε διὰ ξηρᾶς ἐπὶ θέαν εἰς τὸ ἐπὶ τῶν λόφων Βουνὰρ-βασὶ Ἴλιον· ἐντεῦθεν δὲ πάλιν, ἰδὼν τὴν περὶ Ροίτειον ναυμαχίαν καὶ τὰ ἐπὶ τῆς ξηρᾶς ἀνελκυσθέντα πλοῖα τοῦ Δωριέως, ἐπέστρεψε μετὰ σπουδῆς εἰς Ἄβυδον (ἐβοήθει ἐπὶ τὴν θάλατταν) καὶ καθελκύσας τὰ πλοῖα ἔπλεεν ἅμα τῇ ἠοῖ τῆς ὑστεραίας ἡμέρας εἰς Ροίτειον ὅπως ἐλευθερώσῃ τὰς νῆας τοῦ Δωριέως· ἀλλ' οἱ Ἀθηναῖοι προλαβόντες προσέβαλον καὶ ἐνίκησαν

αὐτὸν πρὸ τῆς Ἀβύδου πολεμήσαντες ἐφ' ὅλης τῆς ἡμέρας «μέχρι δείλης ἐξ ἑωθινοῦ».

Ναυλοχούντων οὖν τῶν Ἀθηναίων περὶ τὰ χωρία ταῦτα ἡ ἀπὸ Ἀβύδου εἰς Νέον Ἴλιον (Ἰσαρλὴκ) ὁδὸς οὐκ ἦν ἀσφαλὴς τοῖς Λακεδαιμονίοις, οὔτε ἀκίνδυνος τῷ Μινδάρῳ ἡ ἐκεῖσε κατάβασις ἀπὸ Ἀβύδου ἄνευ στόλου. Ἀλλ' ἂς ὑποθέσωμεν αὐτὸν πρὸς στιγμὴν ἐλθόντα διὰ ξηρᾶς ἐπὶ τῶν λόφων Ἰσαρλὴκ καὶ θύοντα ἐν Νέῳ Ἰλίῳ, ἵνα ἔτι μᾶλλον καταφανὲς γίνῃ τὸ ἄτοπον τῆς θέσεως τοῦ καθ' αὐτὸ Ἰλίου ἐνταῦθα. Πῶς γὰρ ἠδύνατό ποτε ὁ Σπαρτιάτης Μίνδαρος, ὁ γενναιότερος καὶ τολμηρότερος τῶν Πελοποννησίων ναυάρχων, μένειν θεατὴς ἀτάραχος ἐπὶ Ἰσαρλὴκ, ἐν ᾧ χρόνῳ ἐγίνετο πρὸ τῶν ποδῶν αὐτοῦ οὐχὶ ναυμαχία ἀλλὰ πεζομαχία, καὶ μὴ καταβῆναι πρὸς ἐνθάρρυνσιν τοῦ Δωριέως, ἀνδρείως ἀνθιστάντος καὶ ἀπράκτους ἀπωθήσαντος τοὺς Ἀθηναίους; Ἐπαναλέγω οὖν ὅτι ὁ Μίνδαρος ἀπὸ Ἀβύδου οὐχὶ εἰς Ἰσαρλὴκ ἦλθεν ἀλλ' εἰς Βουνὰρ-βασὶ ἐπὶ θέαν τοῦ ἐρήμου Ἰλίου καὶ ἐπ' αὐτοῦ ἔθυε τῇ Ἀθηνᾷ. Ἰδὼν δὲ τὰ περὶ Ροίτειον συμβαίνοντα καὶ μὴ δυνάμενος οὐδὲν πρᾶξαι διὰ τὴν ἀπόστασιν, ἐπανῆλθε δρομαίως εἰς Ἄβυδον καὶ παρεσκευάσθη ὅπως καταπλεύσῃ εὐθὺς τὴν πρωΐαν τῆς ἑπομένης ἡμέρας εἰς Ροίτειον καὶ παραλάβῃ τὰ Δωριέως πλοῖα (1).

(1) Θαυμάζω δὲ πῶς ὁ P. C. Jebb ἐν τῇ Ἐφημερίδι τῶν Ἑλληνικῶν Μελετῶν (The Journal of Hellenic studies. April 1881, pag. 22),

Πᾶσα ἄρα ἡ κλασικὴ ἀρχαιότης ὁμολογεῖ τῷ Ὁμήρῳ τιθεμένη ἐπὶ τῶν λόφων Βουνὰρ-βασὶ τὸ τοῦ Πριάμου Ἴλιον ὅπερ ἅπαξ ἁλωθὲν οὐκ ἀνωρθώθη πλέον.

Μετὰ γὰρ Ὅμηρον εἰπόντα ἐν Ἰλιάδι,

« Πέρθετο δὲ Πριάμοιο πόλις δεκάτῳ ἐνιαυτῷ »

ὁ μὲν Αἰσχύλος λέγει ἐν ταῖς Εὐμενίσι ἄπολιν γενέσθαι τὴν Ἰλίου πόλιν.

« Σὺν ᾧ σὺ Τροίαν ἄπολιν Ἰλίου πόλιν
» ἔθηκας . . . . . ».

Ὁ δ' Εὐριπίδης ἐν τῇ Ἑλένῃ τοιαύτην λέγει τὴν καταστροφήν.

« ὥστ' οὐδ' ἴχνος γε τειχέων εἶναι σαφές ».

Ἐν δὲ τοῖς Γεωγραφικοῖς Στράβωνος τοὺς ἑξῆς εὑρίσκομεν περὶ Ἰλίου λόγους Λυκούργου τοῦ ῥήτορος· «τίς οὐκ ἀκήκοε, ὡς ἅπαξ ὑπὸ τῶν Ἑλλήνων κατεσκάφη, ἀοίκητον οὖσαν; »

Τέλος δὲ αὐτὸς ὁ Στράβων ὧδε ἄρχεται περιγράφων

παρεδέχθη ἀβασανίστως ὅτι ὁ Μίνδαρος, κατὰ Ξενοφῶντα, ἔθυσε τῇ Ἀθηνᾷ ἐπὶ τοῦ Νέου Ἰλίου, εἶτα ζητεῖ διὰ τοιούτου ἐπιχειρήματος σαθροῦ καὶ ἀνυπάρκτου ἐξελέγξαι τὸν Ἡρόδοτον, ὃν αὐτὸς ὁ Jebb καλῶς μελετήσας εὑρίσκει λέγειν τὸν Ξέρξην ἀναβῆναι ἐπὶ τῶν λόφων Βουνὰρ-βασί.

τὴν Τρωϊκὴν « ἔστι δὲ Τρῳὰς πρώτη τῆς παραλίας ταύ-
» της, ἧς τὸ πολυθρύλητον καίπερ ἐν ἐρειπίοις καὶ ἐν
» ἐρημίᾳ λειπομένης, ὅμως πολυλογίαν οὐ τὴν τυ-
» χοῦσαν παρέχει τῇ γραφῇ ». Βιβλ. ΙΓ'. § 1.

Πλούταρχος δὲ (Βίος 'Αλεξ.), λέγων τὸν 'Αλέξανδρον ἀναβῆναι εἰς Ἴλιον καὶ « ἐν τῷ περιϊέναι καὶ θεᾶσθαι τὰ » κατὰ τὴν πόλιν, ἐρομένου τινος αὐτόν, εἰ βούλεται » τὴν 'Αλεξάνδρου λύραν ἰδεῖν, ἐλάχιστα φροντίζειν » ἐκείνης ἔφη· τὴν δ' 'Αχιλλέως ζητεῖν »· ἐννοεῖ εὐκρινῶς εἰς Νέον Ἴλιον ἀναβῆναι τὸν 'Αλέξανδρον. Τὸ αὐτὸ ἐννοεῖ καὶ 'Αρριανός, ('Αναβ. 'Αλεξ.) λέγων αὐτὸν «ἀνελ-» θόντα εἰς Ἴλιον, τῇ τε 'Αθηνᾷ θῦσαι τῇ 'Ιλιάδι καὶ » τὴν πανοπλίαν τὴν αὑτοῦ ἀναθῆναι ἐς τὸν ναὸν καὶ » καθελεῖν ἀντὶ ταύτης τῶν ἱερῶν τινα ὅπλων ἔτι ἐκ » τοῦ Τρῳϊκοῦ ἔργου σωζόμενα »· τὸ γὰρ παλαιὸν καὶ ἀληθὲς Ἴλιον ἦν, ὡς προείπομεν, πάντη ἔρημον, ἄνευ ναῶν, βωμῶν καὶ κατοίκων.

'Αμφιβάλλομεν ὅμως ἂν ἐκεῖσε ἀναβὰς ὁ τὴν 'Ιλιάδα ἀεὶ μεθ' ἑαυτοῦ φέρων Μακεδών, ἐνόμιζεν ἀναβῆναι τῳόντι εἰς τὸ ὑπὸ τῶν 'Αχαιῶν ἐκπορθηθὲν Ἴλιον. Οὔτε γὰρ λόφον Βατίειαν ἑώρα πρὸ αὐτοῦ, οὔτε πηγάς, οὔτε τὸν Σκάμανδρον ῥέοντα μεταξὺ πόλεως καὶ Ναυστάθμου. Εἶτα τίς, οὐχὶ στρατηγικὸς οἷος ὁ 'Αλέξανδρος, ἀλλ' ἰδιώτης, ἰδὼν τοὺς λόφους 'Ισαρλὴκ οὐχ ὁμολογήσειεν ἀπίστευτον εἶναι τὴν ἐπὶ δέκα ἔτη ἀντίστασιν τῶν

Τρώων, εἰ ἐκεῖ ἔκειτο τὸ Ἴλιον, ὅπερ οἱ Ἀχαιοὶ θαλασσοκρατοῦντες ἠδύναντο ῥαδίως περιφρουρεῖν πανταχόθεν σύνεγγυς τῶν τειχῶν καὶ ἐμποδίζειν οὐ μόνον τὴν εἴσοδον σίτου καὶ ἐπικούρων, ἀλλὰ καὶ πᾶσαν ἔξοδον τῶν Τρώων ἀπὸ τῆς πόλεως; Τοὐναντίον δὲ τὸ Ἴλιον, κείμενον ἐπὶ τῶν λόφων Βουνὰρ-βασί, συνεκοινώνει ἀσφαλῶς ἐκ τῶν ὄπισθεν, διὰ τῆς Ἴδης, μετὰ τῆς λοιπῆς Ἀσίας, μὴ δυναμένων τῶν Ἑλλήνων πολιορκῆσαι αὐτὸ ἐκεῖθεν καὶ διὰ τὴν μεγάλην ἀπὸ τῆς θαλάσσης ἀπόστασιν καὶ διὰ τὸ ἀπότομον τῶν κνημῶν τῆς Ἴδης. Ἀλλ' οὔτε τὴν πρὸς τὸ πεδίον πλευρὰν ἠδύναντο διαρκῶς πολιορκεῖν ἕνεκα τοῦ Σκαμάνδρου. Οὔσης οὖν ἀτελοῦς τῆς πολιορκείας, ὁ δεκαετὴς πόλεμος εὐλόγως δικαιολογεῖται.

Ἐπίσης ἀμφιβάλλομεν ἂν ὁ Πλούταρχος καὶ ὁ Ἀρριανὸς ἐπίστευον τοῖς Ἰλιεῦσι καὶ ἐνόμιζον τὸ Νέον Ἴλιον εἶναι αὐτὸ ἐκεῖνο τὸ τοῦ Πριάμου, ἢ ἐὰν ἐγνώριζον μὲν τὴν Ἰλιέων ἀπάτην, χαριζόμενοι δὲ τῇ κενοδοξίᾳ τῶν Ρωμαίων, ἐπιτροχάδην ὡμίλησαν περὶ τῆς εἰς Ἴλιον ἀναβάσεως, μὴ ἀδικοῦντες οὕτως οὐδὲ τὸν Ἀλέξανδρον αὐτόν, ὡς μὴ ἀποφηνάμενοι οὔτε τὴν αὐτῶν οὔτε τὴν ἐκείνου περὶ θέσεως Ἰλίου γνώμην. Ἄλλως τε δὲ ἐκ τῶν κατὰ τοὺς χρόνους τούτους Ἑλλήνων τῶν λαβόντων τιμὰς καὶ ἀξιώματα παρὰ τῶν Ρωμαίων Αὐτοκρατόρων, μόνος ὁ Στράβων μετὰ θάρρους καὶ ἄνευ περιφράσεων εἶπε ψευδῆ μὲν τὴν Ἰλιέων ἀξίωσιν τοῦ κατέχειν τὸ

ἀληθὲς Ἴλιον, ματαίαν δὲ τὴν κενοδοξίαν τῶν Ρωμαίων, θελόντων ἀπ' Αἰνείου εἰς Ἰταλίαν ἐλθόντος ἔχειν τὴν καταγωγήν.

Καλὸν δὲ φαίνεταί μοι μνημονεῦσαι ἐνταῦθα καὶ ἀφώνου τινος μαρτυρίας, τοῦ μαρμάρου ἐκείνου τοῦ ἐν τῷ Καπιτωλίῳ Μουσείῳ Ρώμης εὑρισκομένου, στρογγύλου τὸ σχῆμα, τετρυμένου ἐν τῷ μέσῳ ὡς ἂν ἐπέκειτό ποτε ἐπὶ τὸ στόμιον φρέατος (1). Περὶ αὐτὸ ἐν ἀναγλύφῳ εἰσὶ γεγλυμμένα τὰ κυριώτερα ἐπεισόδια τοῦ βίου Ἀχιλλέως ἀπὸ τῆς γεννήσεως καὶ βαπτίσεως ἐν τοῖς ὕδασι τῆς Στυγὸς μέχρι τῆς πρὸς Ἕκτορα πρὸ τῶν Σκαιῶν Πυλῶν μονομαχίας ἐν ᾗ φονεύεται ὁ ἔνδοξος τῆς Τροίας ὑπερασπιστής. Ἡ τελευταία αὕτη πρᾶξις κλείουσα τὸν κύκλον τῶν ἐπὶ τῆς μαρμαρίνης στεφάνης ἐπεισοδίων, καὶ εἰκόνα χωριστὴν ἀποτελοῦσα, θαυμασίως ὑπὸ τοῦ γλύπτου ἐσχεδιάσθη ὅπως ὑποδειχθῇ ὁ χῶρος ἐν ᾧ ὁ Ἀχιλλεὺς ἐφόνευσε τὸν Ἕκτορα. Ἐν τῷ μέσῳ οὖν τῆς εἰκόνος εἰσιν αἱ Σκαιαὶ Πύλαι, ἐπ' ἀριστερὰ δὲ τῷ θεωμένῳ αὐτὴν κάθηται ἀνὴρ γυμνὸς μέχρις ὀσφύος, φέρων σκῆπτρον ἐν τῇ δεξιᾷ χειρί, ἐλαφρῶς δὲ τῇ ἀριστερᾷ ἐρειδόμενος ἐπὶ ὑδρίας ἀφ' ἧς ἄφθονον ρέει ὕδωρ. Οὗτος ἐστι προσωποποιημένος ὁ ποταμὸς Σκάμανδρος ὁ καὶ πο-

(1) Τὸ Καπιτώλιον μάρμαρον καὶ τὰ παραπλήσια τούτῳ, φέροντα μυθολογικὰς ἢ ἱστορικὰς παραστάσεις, ἦσαν οὐχὶ ἐπιστόμια φρεάτων ἀλλὰ πίνακες ἀναρτώμενοι ἐν τοῖς τοίχοις τῶν σχολείων ὡς βοηθήματα τοῖς μαθητευομένοις.

λιοῦχος τῆς Τροίας θεός. Ἐπὶ δεξιὰ δέ, πέραν τῶν Σκαιῶν Πυλῶν Ἀχιλλεὺς καὶ Ἕκτωρ μάχονται, καὶ τὸ μὲν φάσμα νεκροῦ ἐκτάδην πρὸ τοῦ Ἕκτορος κείμενον δεικνύει τὸν μετ' οὐ πολὺ γενησόμενον φόνον τοῦ ἥρωος τῆς Τροίας· τὸ δὲ πέραν τῶν μαχομένων ὁρώμενον δένδρον ἐστὶν ὁ τῆς Ἰλιάδος ἐρινεός.



Ὁ γλύπτης πιστῶς ἐπὶ τοῦ μαρμάρου τὴν Ὁμήρου ἀπεικόνισε περιγραφὴν τὴν ἀρχομένην ἀπὸ τοῦ 595^{ου} στίχου τῆς Φ, Ραψῳδίας καὶ λήγουσαν εἰς τὸν 330^{ον} στίχον τῆς Χ, Ραψῳδίας.

Ὁ Ἀπόλλων, ὅπως οἱ Τρῶες εἰσέλθωσιν ἀσφαλῶς εἰς τὴν πόλιν, ἀπατᾷ τὸν Ἀχιλλέα ὁμοιωθεὶς Ἀγήνορι καὶ ἀποπλανᾷ αὐτὸν πρὸς τὸν Σκάμανδρον,

« τρέψας πὰρ ποταμὸν βαθυδινήεντα Σκάμανδρον ».

Ἀχιλλεὺς δὲ νοήσας τὴν ἀπάτην παραπονεῖται τῷ Ἀπόλλωνι καὶ στρέφεται πρὸς τὴν πόλιν·

« ὣς εἰπὼν προτὶ ἄστυ μέγα φρονέων ἐβεβήκει ».

Ἐν τῷ χρόνῳ τούτῳ ὁ Ἕκτωρ ἔμενε πρὸ τῶν Σκαιῶν Πυλῶν, ἀλλ' ἰδὼν τὸν Ἀχιλλέα ἐκεῖσε ἐρχόμενον ἐφοβήθη καὶ ἔφυγεν ἀφήσας ὄπισθεν τὰς Σκαιὰς Πύλας, ὁ δ' Ἀχιλλεὺς ἐφώρμησε διώκων αὐτόν·

« Ἕκτορα δ' ὡς ἐνόησεν, ἕλε τρόμος· οὐδ' ἄρ ἔτ' ἔτλη
» αὖθι μένειν, ὀπίσω δὲ πύλας λίπε, βῆ δὲ φοβηθείς·
» Πηλείδης δ' ἐπόρουσε, ποσὶ κραιπνοῖσι πεποιθώς ».

Ὁ ἐπὶ τοῦ μαρμάρου τοίνυν ἥρως ὁ πρὸς τὰ δεξιὰ τοῦ θεατοῦ ἐστραμμένος, ἐστὶν Ἀχιλλεύς. Οὕτως, ὁ μὲν Ἕκτωρ φεύγων ὁ δ' Ἀχιλλεὺς ὄπισθεν διώκων, ἔτρεχον παρὰ τὴν σκοπιὰν καὶ τὸν ἐρινεόν.

« Οἱ δὲ παρὰ σκοπιὴν καὶ ἐρινεὸν ἠνεμόεντα
» τείχεος αἰὲν ὑπὲκ κατ' ἀμαξιτὸν ἐσσεύοντο » (1).

Ἰλ., Χ 145.

Τρὶς δὲ περιδραμόντες τὴν πόλιν καὶ ἐπανελθόντες τὸ τέταρτον παρὰ ταῖς Δοιαῖς Πηγαῖς, ὁ Ἕκτωρ ἵσταται ἀντίος τῷ Ἀχιλλεῖ, μάχεται καὶ φονεύεται. (Ἰλ. Χ, 252-).

(1) Ἴσως ἐπὶ τῶν Τρωϊκῶν ὑπῆρχεν ἐκεῖ ἐρινεὸς μέγας καὶ γνωστός· οἱ νῦν δ' ἐπὶ τῶν λόφων τούτων φυόμενοι ἐρινεοὶ εἰσὶ μικροὶ καὶ θαμνώδεις.

Ἔτι δὲ καὶ νῦν ὁ εἰς τὸν μυχὸν τοῦ Τρωϊκοῦ πεδίου ἐλθὼν (πρὸ τῶν λόφων Βουνὰρ-βασὶ) καὶ θεωρῶν πρὸς τὴν Ἴδην, ἔχει ἐπὶ μὲν τ' ἀριστερὰ τὸν Σκάμανδρον ἐπὶ δεξιὰ δὲ τὰς Δύω Πηγὰς καὶ τοὺς λόφους τῶν ἐρινεῶν. Πείθεται δ' εὐθὺς ὅτι καὶ ἡ τοῦ Καπιτωλίνου μαρμάρου, εἰκών, ἐπὶ τῶν λόφων Βουνὰρ-βασὶ βούλεται τὸ Ἴλιον, μὴ ἐφαρμοζομένη εἰμὴ μόνον ἐπ' αὐτῶν.

Ἐσφετερίσθη δ' ἐπί τινα χρόνον τὴν δόξαν καὶ τὴν θέσιν τῆς πόλεως τοῦ Πριάμου τὸ λεγόμενον Νέον Ἴλιον οὗτινος ἴδομεν τὰ σωζόμενα ἐρίπεια ἐπὶ τῆς πρὸς τὸ Ῥοίτειον ἐσχατιᾶς τῶν λόφων Καλλικολώνης (Ἰσαρλήκ). Κατὰ τὴν εἰς Ἀσίαν μετάβασιν Ἀλεξάνδρου τοῦ Μακεδόνος, ἄνδρες καυχόμενοι εἶναι ἀπόγονοι τῶν ἀρχαίων Τρώων ᾤκουν τὴν ἐπὶ Ἰσαρλὴκ μικρὰν τότε καὶ πτωχὴν κώμην· ἡ δὲ φιλοδοξία καὶ τὸ φιλόμηρον Ἀλεξάνδρου ἐγένοντο πρώτη ἀφορμὴ φήμης καὶ εὐτυχίας τοῖς Ἰλιεῦσι τούτοις, ἀφεθεῖσιν ἐλευθέροις καὶ ἀσιδότοις (Στράβ. Γεωγρ. ΙΓ. 593). Μετὰ δὲ ταῦτα ἡ τῶν Καισάρων καὶ Ρωμαίων κενοδοξία ἀρχηγέτην τὸν Αἰνείαν ἡγουμένων (Στράβ. ΙΓ'. 594-), τολμηροτέρους ἐποίησε τοὺς Ἰλιεῖς, ὥστε οὐ μόνον ἀπόγονοι τῶν ἀρχαίων Τρώων ἠξίουν εἶναι, ἀλλὰ καὶ οἰκεῖν ἐν αὐτῇ τῇ πόλει τοῦ Πριάμου. Ἀλλ' ἡ Ἰλιὰς καὶ τὰς τῶν νέων Ἰλιέων ἀξιώσεις ἀτόπους ἐξελέγχει καὶ τὴν Ρωμαίων κενοδοξίαν ματαίαν καὶ τὴν εἰς Λάτιον Αἰνείου ἄφιξιν ψευδῆ. Ζῶν γὰρ ὁ Ὅμηρος

ἐν Μικρᾷ Ἀσίᾳ οἶδε βεβαίως τοὺς ἀπογόνους Αἰνείου βασιλεύοντας ἐν Τρῳάδι, ἄλλως οὐκ ἂν ἐποίει τὸν Ποσειδῶνα προφητεῦσαι τὴν ἐπὶ τῶν Τρώων βασιλείαν αὐτοῦ τε καὶ τῶν αὐτοῦ παίδων.

« Νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει
» καὶ παίδων παῖδες τοί κεν μετόπιθε γένωνται ».

Ἰλ., Υ, 305·

Ἀλλὰ τοσαύτη ἦν ἡ τῶν Ρωμαίων Αὐτοκρατόρων ματαιότης, ὥστε συγγραφεῖς καὶ ποιηταὶ Ρωμαῖοί τε καὶ Ἕλληνες οὐχὶ ἐκ τῶν τυχόντων, ἐξ ὑπερμέτρου πρὸς αὐτοὺς κολακείας ὠθούμενοι, ἐτόλμησαν ἀντὶ τοῦ Τρώεσσι γράψαι πάντεσσιν ἐν τῷ μνημονευθέντι στίχῳ λέγοντες·

« Νῦν δὲ δὴ Αἰνείαο βίη πάντεσσιν ἀνάξει ».

Οὕτω δὲ πλαστογραφηθέντα τὸν στίχον Οὐϊργίλιος μετέφρασε·

« Hic domus Aeneæ cunctis dominabitur oris »

Αἰνειὰς III 97·

ὡς ἂν ὁ Ὅμηρος προέβλεπεν ἔκτοτε καὶ προέλεγε τὴν Ρωμαίων παντοκρατορίαν!

Ὁ δὲ Στράβων φιλόμηρος ὢν καὶ ἀκριβὴς γεωγράφος,

λεπτομερῶς περιέγραψε τὴν Τρῳάδα καὶ τοῦ τε Ἰλίου καὶ ἑτέρων πόλεων ὥρισε τὴν θέσιν διὰ τῆς Ἰλιάδος. Λέγει οὖν ἐν τοῖς Γεωγραφικοῖς « οὐ γὰρ ἐνταῦθα ἵδρυσε » τὴν πόλιν (Ἶλος) ὅπου νῦν ἐστὶ (ἤτοι τὸ Νέον Ἴλιον) » ἀλλὰ σχεδόν τι τριάκοντα σταδίοις ἀνωτέρω πρὸς ἕω » καὶ πρὸς τὴν Ἴδην καὶ τὴν Δαρδανίαν κατὰ τὴν νῦν » καλουμένην Ἰλιέων κώμην. Οἱ δὲ νῦν Ἰλιεῖς φιλοδο- » ξοῦντες καὶ θέλοντες εἶναι ταύτην τὴν παλαιάν, παρε- » σχήκασι λόγον τοῖς ἐκ τῆς Ὁμήρου ποιήσεως τεκμαι- » ρομένοις· οὐ γὰρ ἔοικεν αὕτη εἶναι ἡ καθ' Ὅμηρον ». (ΙΓ'. 593).

Καὶ πάλιν κατωτέρω· « Ὑπὲρ δὲ τῆς Ἰλιέων κώμης » δέκα σταδίοις ἐστὶν ἡ Καλλικολώνη, λόφος τις παρ' ὃν » ὁ Σιμόεις ρεῖ πενταστάδιον διέχων· γίνεται οὖν εὔλο- » γον πρῶτον μὲν τὸ ἐπὶ τοῦ Ἄρεως « ὦρτο δ' Ἄρης » ἑτέρωθεν ἐρεμνῇ λαίλαπι ἶσος ὀξὺ κατ' ἀκροτάτης πό- » λιος Τρώεσσι κελεύων, ἄλλοτε παρ Σιμόεντι θέων ἐπὶ » Καλλικολώνῃ » τῆς γὰρ μάχης ἐπὶ τῷ Σκαμανδρίῳ » πεδίῳ συντελουμένης, πιθανῶς ἂν ὁ Ἄρης ἄλλοτε μὲν » τὴν ἐγκέλευσιν ἀπὸ τῆς ἀκροπόλεως ποιοῖτο, ἄλλοτε » δ' ἐκ τῶν πλησίον τόπων τοῦ τε Σιμόεντος καὶ τῆς » Καλλικολώνης μέχρις οὗ εἰκὸς καὶ τὴν μάχην παρα- » τετάσθαι ». (ΙΓ'. 597-598).

Καὶ ὁ Στράβων τοίνυν ἐπὶ τῶν λόφων Βουνὰρ-βασὶ βούλεται τὸ Ἴλιον, λόφων ἀπεχόντων ἀπὸ μὲν τοῦ Νέου

Ἰλίου περὶ τὰ ἑξάκις χίλια μέτρα (τριάκοντα σταδίους), ἀπὸ δὲ Καλλικολώνης περὶ τὰ δισχίλια (δέκα σταδίους). Ἡ δὲ τῶν Ἰλιέων κώμη (pagus Iliensis) περὶ τὴν θέσιν τῆς νῦν ὀθωμανικῆς κώμης Βουνάρβασι ἔκειτο, οἶμαι, κατὰ Στράβωνα οὐχὶ πέραν τῆς δεξιᾶς τοῦ Σκαμάνδρου ὄχθης ὡς οἱ πλεῖστοι σημειοῦσιν. (1).

Διέσωσε δ' ἡμῖν ὁ Γεωγράφος τὰς μαρτυρίας ἄλλων τε ἱστορικῶν καὶ τοῦ ἐκ Σκήψιος Δημητρίου, ἀνδρὸς ἐγχωρίου καὶ πολλὰ περὶ Τρωϊκῆς συγγράψαντος, ἀλλὰ βασανίζων καὶ ἀπορρίπτων τὰς μὴ συναδούσας τῇ Ἰλιάδι· ὢν ἄριστος κριτικὸς καὶ ὁμηριστής, οὐ μόνον τὴν ὑπέρμετρον φιλοπατρίαν τοῦ Σκηψίου ἐξελέγχει αὐστηρῶς ἀλλὰ καὶ τὴν κενοδοξίαν τῶν Ρωμαίων τῶν πλασάντων τὸν μῦθον τῆς ἑαυτῶν καταγωγῆς ἀπὸ Αἰνείου, καίτοι γράφων κατὰ τὰς ἀρχὰς τῆς βασιλείας Τιβερίου. Καὶ περὶ μὲν τοῦ Σκηψίου, λέγων πλάσματα αὐτοῦ τὰ περὶ Ἀλαζονίου καὶ Ἀργυρίας λεγόμενα, περαίνει ὡς ἑξῆς τὸν λόγον « ταῦτα μὲν οὖν ἔνστασιν ἔχει τοιαύτην,

(1) Οὕτω σημειοῦσι τὴν Ἰλιέων κώμην ἐπὶ τῶν Πινάκων οἱ Mauduit, Lechevalier, Choiseul, Sprat. Οὐλερὶχ δὲ οὗτινος αἱ περὶ Τρῳάδος σημειώσεις ἐτυπώθησαν μετὰ θάνατον ἀγγλιστὶ ἐν ταῖς Transactions of the Royal Society of Literature. τίθησι τὴν εἰρημένην κώμην ἔτι ἀνωτέρω κατὰ τὸ Ἐσκι-Ατζε-κιοϊ· τὸν δὲ Ναύσταθμον ἄντικρυ Τενέδου· τοῦτο δ' ἔπραξεν ὅπως, κατά γε τοῦτο, συμφωνήσῃ τῇ Ἰλιάδι λεγούσῃ τοὺς ἀπὸ Ναυστάθμου εἰς Ἴλιον ἐρχομένους διαβαίνειν τὸν Σκάμανδρον· ἐπελάθετο ὅμως τῶν στίχων τῆς Ἰλιάδος τῶν λεγόντων τὸν ἑλληνικὸν ναύσταθμον ἐπὶ τῆς παραλίας τοῦ Ἑλλησπόντου εἶναι οὐχὶ ἐπὶ τῆς τοῦ Αἰγαίου.

» τἄλλα δὲ ὡς ἀνδρὶ ἐμπείρῳ καὶ ἐντοπίῳ, φροντίσαντί τε
» τοσοῦτον περὶ τούτων ὥστε τριάκοντα βίβλους συγγρά-
» ψαι στίχων ἐξήγησιν μικρῷ πλειόνων ἑξήκοντα τοῦ κα-
» ταλόγου τῶν Τρώων » (ΙΓ. 603). Καὶ πάλιν μετ' οὐ
πολὺ λέγει « Ὅμηρος μέντοι συνηγορεῖν οὐδετέροις ἔοι-
» κεν οὐδὲ τοῖς περὶ τῶν ἀρχηγετῶν τῆς Σκήψεως λεχ-
» θεῖσιν (ὑπὸ Δημητρίου Σκηψίου καὶ Σοφοκλέους)· ἐμ-
» φαίνει γὰρ μεμενηκότα τὸν Αἰνείαν ἐν τῇ Τροίᾳ καὶ
» διαδεδεγμένον τὴν ἀρχὴν καὶ παραδεδωκότα παισὶ παί-
» δων τὴν διαδοχὴν αὐτῆς, ἠφανισμένου τοῦ τῶν Πρια-
» μιδῶν γένους, « ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρο-
» νίων· νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει καὶ παί-
» δων παῖδες τοίκεν μετόπισθε γένωνται » οὕτω δ' οὐδ' ἡ
» τοῦ Σκαμανδρίου διαδοχὴ σώζοιτ' ἄν· πολὺ δὲ μᾶλ-
» λον τοῖς ἑτέροις διαφωνεῖ τοῖς μέχρι καὶ Ἰταλίας αὐ-
» τοῦ τὴν πλάνην λέγουσι καὶ αὐτόθι ποιοῦσι τὴν κατα-
» στροφὴν τοῦ βίου· τινὲς δὲ γράφουσι « Αἰνείαο γένος
» πάντεσσιν ἀνάξει καὶ παῖδες παίδων » τοὺς Ρωμαίους
» λέγοντες » (ΙΓ. 607-608).

Αἱ δ' ὑπὸ τοῦ Σχλῆμαν γενόμεναι ἀνασκαφαὶ ἐν τῷ χώρῳ τοῦ Νέου Ἰλίου καὶ τὰ ἐκεῖ εὑρεθέντα ἄσχημα καὶ πτωχὰ κοσμήματα, ἀγγεῖα, ἐργαλεῖα, μαρτυροῦσι τὴν ἀλήθειαν τῶν λόγων τοῦ τε Στράβωνος καὶ τοῦ ἐκ Σκήψεως Δημητρίου διηγουμένων τὴν ἀρχὴν καὶ τὰς περιπετείας τῆς ἐπὶ τῶν λόφων Ἰσαρλὴκ πόλεως (Στραβ.

Γεωγρ. ΙΓ. 593). Ἐν αὐταῖς ταῖς ἀνασκαφαῖς ἀναγνωρίζονται ἥ τε μικρὰ καὶ πτωχὴ κώμη ἣν εἶδεν Ἀλέξανδρος μετὰ τὴν εἰς Γρανικὸν μάχην, καὶ ὁ μικρὸς καὶ εὐτελὴς ναὸς ὃν ἐκόσμησε διὰ προσφορῶν· καὶ ὁ μέγας ναὸς καὶ τὸ τεῖχος ἃ ἐγένοντο ἐπὶ Λυσιμάχου. Ἐν ταῖς ὠμαῖς πλίνθοις καὶ ταῖς ἐκ γῆς μόνον καὶ πετρῶν οἰκοδομαῖς ἀναγνωρίζεται ἡ πενιχρὰ πόλις ἣν εἶδεν ὁ Σκήψιος νέος ἔτι ὤν· ἐκεῖ φαίνονται τὰ σημεῖα τῆς τε ἐκπορθήσεως καὶ τῆς καταστροφῆς διὰ πυρὸς καὶ μαχαίρας γενομένης ὑπὸ τῶν περὶ τὸν ληστὴν Φιμβρίαν, ἴσως δὲ καὶ τῆς ἐπελθούσης ἁλώσεως ὑπὸ Σύλλα, καὶ τῆς ὀλιγοχρόνου διαμονῆς τῶν Γαλατῶν.

Τὰ δ' ἐν τοῖς κάτω στρώμασιν (ὡς Σχλῆμαν λέγει) εὑρεθέντα κεραμεικὰ ἀγγεῖα μαρτυροῦσιν οὐχὶ ἀρχαιότητα ἀλλὰ πτωχείαν, ὡς οὐχὶ ἀρχαιότητα ἀλλὰ πτωχείαν ἐμφαίνουσι τὰ νῦν ἐν ταῖς κώμαις Τοσκάνης κατασκευαζόμενα ἄτεχνα καὶ εὐτελῆ ἐκ πηλοῦ ἀγγεῖα, παραβαλλόμενα πρὸς τὰ σύγχρονα, κομψὰ καὶ πολυτελῆ τῶν κεραμεικῶν ἐργαστηρίων Φλωρεντίας καὶ Λούκκης. Τὰ δὲ λοιπὰ φύρδην μίγδην ἐπιδειχθέντα ἡμῖν ὡς ἀρχαιότατα καὶ ὡς ἔχοντα σημεῖα μυστηριώδους θρησκείας, οὐδὲν ἄλλο εἰσιν ἢ παίγνια παίδων, ἢ κτερίσματα πτωχῶν τάφων, ἢ βάρη δυκτίων ἁλιευτικῶν, γραμμὰς καὶ παραστάσεις ἀτέχνους φέροντα, οὐδὲν δὲ κοινὸν ἔχοντα

τῇ ἡρωϊκῇ ἐποχῇ ὡς καὶ ὁ ἡμέτερος Ῥουσόπουλος, ἐντριβὴς περὶ τὰ ἀρχαῖα ἀποφαίνεται (1).

Ἐμήκυνα δὲ πέραν ἴσως τοῦ δέοντος τὸν λόγον περὶ Ἰλίου, ὅπως ἀποδειχθῇ τὸ ἐπιπόλαιον τῶν περὶ τὸν Σχλῆμαν εἰπόντων τοὺς μὲν ἡμετέρους ποιητὰς καὶ λογογράφους ἐπὶ Ἰσαρλὴκ (Νέον Ἴλιον) βούλεσθαι εἶναι τὸ Πριάμου Ἴλιον, τὸν δὲ Στράβωνα οὐδέποτε ἰδεῖν τὴν Τρῳάδα. Ἀλλ' ὡς εἴπομεν πρὸ μικροῦ, ἥ τε λεπτομερὴς περιγραφὴ τῆς χώρας ἐν τοῖς Γεωγραφικοῖς καὶ ἡ κριτικὴ ἀνάλυσις τῶν ὑπὸ Σκηψίου λεχθέντων, ἀρκούντως μαρτυροῦσι βάδην τὸν Στράβωνα περιηγηθῆναι τὴν Τρωϊκήν. Εἰ δὲ καὶ ταῦτα ἀνεπαρκῆ, ἰδοὺ ἡ Στράβωνος αὐτοῦ ὁμολογία λέγοντος ἐπελθεῖν διὰ ξηρᾶς καὶ θαλάσσης πρὸς δυσμὰς μὲν ἀπὸ Ἀρμενίας εἰς Τυρρηνίαν, πρὸς μεσημβρίαν δὲ ἀπὸ Εὐξείνου μέχρι τῶν ὅρων Αἰθιοπίας. « Ἐροῦμεν δὲ τὴν μὲν ἐπελθόντες αὐτοὶ τῆς γῆς » καὶ θαλάσσης, περὶ ἧς δὲ πιστεύσαντες τοῖς εἰποῦ» σιν ἢ γράψασιν. Ἐπήλθομεν δὲ ἐπὶ δύσιν μὲν » ἀπὸ τῆς Ἀρμενίας μέχρι τῶν κατὰ Σαρ» δόνα τόπων τῆς Τυρρηνίας, ἐπὶ μεσημ-

(1) « Τὰ κοσμήματα τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ καὶ τὰ πήλινα ἀγγεῖα καὶ » λοιπὰ σκεύη τὰ ὁποῖα ὁ Σχλιέμαννος ἀνέσκαψεν ἐν Ἰσαρλὶκ τῆς Τρωάδος » καὶ ἐδημοσίευσε δὲν ἔχουσιν οὐδὲν κοινὸν πρὸς τὰ ὁμηρικὰ ὡς ὅλως βαρβα» ρικὰ ὄντα· ἀπέδωκε δὲ εἰς αὐτὰ ὁ Σχλιέμαννος Ὁμηρικὰ ὀνόματα ὑπὸ ἀμα» θείας καὶ πρὸς ἄλλον σκοπὸν ἀποβλέπων ». Ἐγχειρίδ. Ἑλλην. Ἀρχαιολογίας ὑπὸ Ἀθανασίου Σ· Ῥουσοπούλου.

» βρίαν δὲ ἀπὸ τοῦ Εὐξείνου μέχρι τῶν τῆς » Αἰθιοπίας ὅρων ». (Στραβ. Γεωγρ. Β'. 11). Ἐπῆλθεν ἄρα καὶ τὴν Τρῳάδα (1).

Οὐκ ἠρκέσθη δὲ τούτοις ὁ Σχλῆμαν ἀλλ' ἠσέβησε καὶ πρὸς αὐτὸν τὸν Ὅμηρον ὃν κηρύττει ἀβαῆ τῆς τε ἱστορίας τῆς Ἑλληνικῆς καὶ τῆς Τρωϊκῆς χώρας. Οὕτω δὴ μόνος αὐτὸς ἐν γνώσει τῶν τότε συμβάντων, ἐπερειδόμενος τῇ σκαπάνῃ καὶ τῇ ἀμφιβόλῳ ἀρωγῇ ἀνδρῶν εὐγνωμόνων, ἐκσφενδονίζει πανταχόσε ὡς ἀπὸ τρίποδος, ἀλόγους καὶ ματαίας θεωρίας περὶ Ὁμήρου καὶ τῶν Τρωϊκῶν (2).

(1) Εἰ καλῶς μέμνημαι πρῶτος ὁ Choiseul Gouffier εἶπε τὸν Στράβωνα μὴ ἰδεῖν τὴν Τρωάδα, μετὰ δὲ τοῦτον ἄνευ ἐλέγχου ὁ Mauduit, Schliemann, Em. Bournouf.

(2) « Ὁ Ὅμηρος, λέγει αὐτολεξεὶ ὁ Σχλῆμαν, δὲν ἠδύνατο νὰ ἴδῃ τὴν » Τροίαν διότι κατὰ τὴν ἐποχήν του τὰ ἐρείπια τῶν τρωϊκῶν οἴκων καὶ τὰ » τείχη καὶ ὁ πύργος της ἦσαν κεκαλυμμένα διὰ χωματίνου στρώματος 6-8 » μέτρα πάχος· ὁ Ὅμηρος δὲν ἔκαμεν ἀνασκαφὰς ἵνα φέρῃ αὐτὰ » εἰς φῶς, διὰ τοῦτο ἡ παρ' αὐτοῦ περιγραφὴ τῆς Τροίας εἶναι σκοτεινὴ » καὶ ἀόριστος· ὁ ποιητὴς ἐγνώριζεν ἅπαντα τὰ συμβάντα τοῦ τραγικοῦ τέλους » τῆς πόλεως μόνον ἐκ τῆς παραδόσεως διότι τὰ συμβάντα ταῦτα ἐψάλησαν » πρὸ αὐτοῦ. . . . . Μετὰ βεβαιότητος λοιπὸν δυνάμεθα νὰ συμπεράνωμεν ὅτι αἱ καθ' Ὅμηρον τὰ μέγιστα ἐν τῷ τρωϊκῷ πολέμῳ ἐνεργοῦσαι Μυκῆναι μόλις τῷ 1400 ἢ 1800 ἔτει μετὰ τὴν τῆς Τροίας ἅλωσιν ἐκτίσθησαν. Ἀλλ' ἡ πόλις αὕτη ἤνθει ἐπὶ Ὁμήρου καὶ εἶχε πιθανῶς » τότε βασιλέα ὀνομαζόμενον Ἀγαμέμνονα ὃν ὁ ποιητὴς » (ἴσως ἐξ εὐγνωμοσύνης διὰ πεποιημένας αὐτῷ εὐεργεσίας) » δοξάζει περιγράφων αὐτὸν ὡς ἄνακτα βασιλέων τε καὶ ἐθνῶν. Ἐξ » ἀγνοίας τῆς ἀληθείας καὶ μετὰ ποιητικῆς ὑπερβολῆς ὁ Ὅμηρος περιγράφει ἡμῖν τὸ Ἴλιον αὐτοῦ ὡς πολὺ μέγα καὶ δίδει αὐτῷ ἀκρόπολιν ὀνομαζομένην Πέργαμον καθὼς αὐτὸς ἔβλεπε τὰς πόλεις μετὰ τῶν ἀκροπόλεων » αὐτῶν ἐπὶ τοῦ αἰγιαλοῦ τῆς Μικρᾶς Ἀσίας καὶ ἐν Ἑλλάδι· ἐν ἀληθείᾳ

Ἐπεκράτησε δ' ἐπὶ πολύ, ἡ τῶν Ῥωμαίων ἀξίωσις περὶ τῆς θέσεως Ἰλίου ἐπὶ Ἰσαρλήκ, πρῶτον μὲν ἕνεκα τῆς ἀτελοῦς τῆς Ἰλιάδος μελέτης, εἶτα διὰ τὸ δυσπρόσιτον τῆς Τρωϊκῆς χώρας τοῖς ποθοῦσι τὴν τῶν ἐνδόξων καὶ παλαιῶν γνῶσιν. Ἀπὸ δὲ τῆς ἀναγνωρίσεως τῶν Δύω Πηγῶν ὑπὸ Lechevalier, γάλλου ἀρχιτέκτονος ἐν ἔτει 1787 περιοδεύσαντος ἐκεῖσε, ἡ τοῦ Ὁμηρικοῦ Ἰλίου θέσις ἀφ' ἑαυτῆς ἀνεγνωρίζετο διὰ τῆς Ἰλιάδος ὡς οὖσα ἐπὶ τῶν λόφων Βουνάρβασι. Ἀλλ' ἀτυχῶς οὐδεὶς τῶν ἐπισκεψαμένων ἔκτοτε τὴν Τρωάδα, ἐγίνωσκε τίνι τρόπῳ ἡ Ἰλιὰς ἐφαρμόζεται ἐπὶ τῆς χώρας καὶ ποῖος ὁ τοῦ Καταλόγου προορισμός· διὸ ἐκ νέου σύγχυσις καὶ ἀβεβαιότης περὶ τὴν τοπογραφίαν διέμενεν.

» ὅμως ἡ Τροία ἦτο πολὺ μικρά, ἦτο φρούριον καὶ δὲν εἶχε κάτω πόλιν ». Ἑλλην. Φιλολογ. Σύλλογος Κωνσταντινουπόλεως Τόμος Ι'. 1075-1776.

Ἐν δὲ ταῖς « Τρωϊκαῖς Ἀρχαιότησι » (Antiquités troyennes Introd. p. XII) λέγει « τὴν Τροίαν μὴ ἔχειν ἀκρόπολιν, τὸ δὲ Πέργαμον καθαρὰν ἐφεύρεσιν Ὁμήρου μὴ ὄντος ἱστορικοῦ ἀλλ' ἐποποιοῦ ». « Je me range de la manière la plus décidée, à l'opinion que Troie n'avait point d'Acropole, et que la Pergame n'est qu'*une pure invention* d'Homère ». Ταὐτὰ λέγει καὶ ἐν τῷ τελευταίῳ αὐτοῦ συγγράματι ἐπιγραφομένῳ « Ἴλιος ». Ὅρα Κεφάλ. VII. Σελ. 326 καὶ 517· ἐκδόσεως Ἀγγλικῆς. Ἰδίως ἐν σελ. 326 « But Homer *can never have seen the Troy* whose tragic fate he describes, because at his time and probably ages before his time, the city he glorifies was buried beneath mountains of *débris* ».

ΠΕΡΙ ΣΚΑΜΑΝΔΡΟΥ.

Ἐρατεινὴ ὄντως καὶ ὡραία παρίσταται ἡ θέα τῷ ἱσταμένῳ ἐπὶ τοῦ Περγάμου, οὖσα πρὸς μὲν τὸ πεδίον ποικίλη, χαρίεσσα, ἤρεμος διὰ τὸ χθαμαλὸν καὶ ἄπειρον τοῦ ὁρίζοντος· πρὸς δὲ τὴν Ἴδην μεγαλοπρεπής, ζωηρά, καταπληκτικὴ διὰ τοὺς ἀποτόμους λόφους καὶ διὰ τὸ κυκλοειδὲς μέγα χάσμα ἐν ᾧ πίπτει ἐν θορύβῳ ποταμὸς ἀπὸ τῆς Ἴδης κατερχόμενος, ρέων παρὰ τὸ Πέργαμον, εἰσερχόμενος εἰς τὸ Τρωϊκὸν πεδίον καὶ διαρρέων αὐτὸ ἐγκαρσίως. Τοῦ ποταμοῦ τούτου ἡ ὀφιοειδὴς κοίτη δύο ἀξιοσημειώτους ποιεῖ καμπάς, τὴν μὲν πρώτην εὐθὺς πρὸ τοῦ Ἰλίου ἔνθα διευθυνόμενος πρὸς Δυσμάς, ἐπανέρχεται ρέων πρὸς Ἄρκτον· τὴν ἑτέραν δὲ περὶ τὰ μέσα τοῦ πεδίου ἔνθα πάλιν ὁ ποταμὸς διευθύνεται πρὸς Δυσμάς, ρέων παραλλήλως τῷ Ἑλλησπόντῳ, εἶτα κατὰ σμικρὸν ἐπαναλαμβάνων τὴν πρὸς Ἄρκτον πορείαν (1), πλησιάζει τοῖς λόφοις Σιγείου, ρέει παρ' αὐτοὺς καὶ χύνεται εἰς τὸν Ἑλλήσποντον. Οὗτος, Μενδερὲ νῦν καλούμενος, ἐστὶν ὁ τοῦ Ὁμήρου Σκάμανδρος, διότι τὰ μὲν ἐν Ἰλιάδι χαρακτηριστικὰ τοῦ Σκαμάνδρου τούτῳ μόνῳ ἐφαρμόζονται, οἱ δὲ στρατιωτικοὶ τῶν μαχομένων ἑλιγμοὶ τοῦτον μαρτυ-

(1) Κατ' ἀκρίβειαν δὲ ἡ τοῦ Σκαμάνδρου ἐγκάρσιος διὰ τοῦ Τρωϊκοῦ πεδίου ροὴ βορειοδυτικὴν ἔχει διεύθυνσιν.

ροῦσιν εἶναι τὸν Σκάμανδρον. Καὶ ὅμως ὁ ῥηθεὶς ποταμὸς ἐνομίσθη καὶ ἐλέγετο ὑπὸ πολλῶν Σιμόεις· πλάνη δισεξήγητος, συγχέουσα τὰ πάντα καὶ ἀφαιροῦσα ἀπὸ τοῦ Ποιήματος τὸ ἀξιολογώτερον προσόν, τὴν ἁρμονίαν, τὴν ἐφαρμογὴν τῶν πράξεων ἐπὶ τῆς χώρας, τὴν ἀκρίβειαν τῆς περιγραφῆς τῶν μαχῶν, ἐν ἑνὶ λόγῳ τὴν ἱστορίαν, τὴν ἀλήθειαν τῆς Ἰλιάδος. Οὐδείς, ὡς φαίνεται, ἦλθεν εἰς τὸ Τρωϊκὸν πεδίον ἄνευ προλήψεων· καὶ αὐτοὶ οἱ ἐξετάσαντες τὰ καθέκαστα καὶ ἀναγνόντες, ὡς λέγουσιν, ἐπιτοπίως τὴν Ἰλιάδα καὶ αὐτοί, λέγω, ἔχοντες ἐν τῇ μνήμῃ τὰς Ῥωμαίων περὶ Τρῳάδος ἰδέας, ὀλίγον προσεῖχον τὸν νοῦν τοῖς ὑπὸ τοῦ Ποιητοῦ λεγομένοις. Πῶς γὰρ ἄλλως δικαιολογοῦνται οἱ Choiseul Gouffier, Lechevalier, Forchammer, Ulrichs, οἱ νομίσαντες καὶ καλέσαντες Σκάμανδρον μὲν τὸ ἐκ τῶν Πηγῶν ἐκρέον ὕδωρ, τὸν διαφανῆ, ἀεὶ καθαρὸν ῥύακα, τὸν ἀνεπίδεκτον χειμαρροειδοῦς αὐξήσεως ὑπὸ ὑετῶν, τὸν μὴ καταφέροντα ἄμμον ἢ χέραδος ἢ κορμοὺς δένδρων ἕνεκα τῆς ἐκροῆς αὐτοῦ εὐθὺς ἀπὸ τῆς ῥίζης, ἀπὸ τῆς συνοχῆς τῶν λόφων μετὰ τοῦ πεδίου, Σιμόεντα δὲ τὸν πρὸ τῶν ἡμετέρων ὀφθαλμῶν ποταμόν, ὄντα τὸν μείζονα, τὸν πλατύτερον, τὸν χειμαρρωδέστατον, τὸν πρώτιστον τοῦ Τρωϊκοῦ πεδίου; τὸν περιζώνοντα μέγα μέρος τοῦ περιβόλου τῆς πόλεως τοῦ Πριάμου καὶ γινόμενον αὐτῇ προπύργιον ἀσφαλὲς ἐπὶ πολλοὺς μῆνας τοῦ ἔτους κατὰ τῶν ἐπὶ τοῦ Ἑλ-

λησπόντου ἐστρατοπεδευμένων Ἑλλήνων; Ἂν μόνον τοῖς ἐπιθέτοις τοῦ Σκαμάνδρου προσεῖχον οὐκ ἔπιπτον εἰς πλάνην τοιαύτην (1).

Ἐν Ἰλιάδι ἕνα ποταμὸν διαβαίνουσιν οἱ μαχόμενοι, τὸν Σκάμανδρον τὸν καὶ Ξάνθον λεγόμενον, περιγραφόμενον δὲ ὡς τὸν μείζονα καὶ ἀξιολογώτερον τοῦ Τρωϊκοῦ πεδίου ποταμόν, ἐπιδεκτικὸν αὐξήσεως ὑπὸ τῶν ὑετῶν, κυματιζόμενον καὶ ἀφρίζοντα (Φ, 234-384). Ἰδίᾳ δὲ λέγεται ὑπὸ τοῦ Ποιητοῦ, δινήεις, βαθυδινήεις, βαθύρρους, εὐρυρέων, μεγάλος, ἐΰρροος, ἀργυροδίνης, ἔχων κρημνώδεις τὰς ὄχθας (Φ, 25), ὑψηλὰς (Φ, 171), πεφυτευμένας ἰτέαις καὶ πτελέαις (Φ, 350-), χαρακτηριστικὰ ἐφαρμοζόμενα πάντα τῷ Μενδερέ. Ὁ δὲ Σιμόεις ἑξάκις μόνον μνημονεύεται ἐν Ἰλιάδι καὶ ἄνευ οὐδενὸς ἐπιθέτου. Περιγράφεται μὲν καὶ αὐτὸς ὡς χειμάρρους ἀλλὰ δευτερεύων καὶ ὑποτελὴς τῷ Σκαμάνδρῳ (2).

Ἔστι δὲ παρεμφερὴς ὁ Σκάμανδρος τῷ Ἄρνῳ ἐν τῷ πεδίῳ Πίσης, πληρούμενος κατὰ τὰς ὥρας τῶν ὑετῶν καὶ τῆς τήξεως τῆς χιόνος ἐπὶ τῆς Ἴδης, ἐνίοτε δὲ καὶ κα-

(1) Ὁ Hahn μετὰ τὴν τελευταίαν αὐτοῦ εἰς Τρῳάδα περιοδείαν (1865) μετέβαλε γνώμην καὶ εἶπε τὸν Μενδερὲ εἶναι τὸν Ὁμηρικὸν Σκάμανδρον· ἔπραξε δὲ τοῦτο προσέξας μόνον τοῖς ἐπιθέτοις, μὴ ἐφαρμόσας δὲ καὶ τὰ τῶν μαχῶν ἐπὶ τῆς χώρας καὶ ἐπὶ τῶν ποταμῶν. διὸ εἰς ἕτερον ἔπεσε σφάλμα εἰπὼν Σιμόεντα αὐτὸ τοῦτο τὸ ὕδωρ τῶν Πηγῶν ὅπερ πρότερον ἔλεγε Σκάμανδρον.

(2) Ὅρα κατωτέρω τὰ περὶ Σιμόεντος.

ταχλύζων μέρος τοῦ Τρωϊκοῦ πεδίου, κατὰ δὲ τὸ θέρος ἐλαττούμενος ἀλλ' οὐδέποτε ὅλως ἐκλείπων. Κατὰ μέσον δὲ ὅρον ἡ κοίτη αὐτοῦ ἔχει πλάτος περὶ τὰ ὀγδοήκοντα μέτρα. Καταφέρει δὲ ὁ Σκάμανδρος ἀπὸ τῆς Ἴδης λίθους καὶ κορμοὺς δένδρων, οἱ δὲ κόκκοι τῆς ἄμμου τῆς πρὸς τὰ κάτω τοῦ πεδίου κατασυρομένης (ἴσως ἕνεκα τῆς μικρᾶς ἀποστάσεως ἀπὸ τῆς Ἴδης εἰς τὴν θάλασσαν) εἰσὶ μείζονες τῶν κόκκων τῆς ἐν Νείλῳ καὶ Ἄρνῳ ἄμμου· δι' ὃ τὰ ὕδατα τούτων εἰσὶ θολὰ καὶ μετὰ τοὺς ὑετούς, πηλώδους οὔσης τῆς ἰλύος, τὰ δὲ Σκαμάνδρου ὀλίγον θολούμενα κατὰ τοὺς ὑετούς, μένουσι τοῦ λοιποῦ διαφανῆ, ὅθεν καὶ τὸ ἐπίθετον ἀργυροδίνης. Εἰσὶ δὲ γαιώδεις αἱ τοῦ Σκαμάνδρου ὄχθαι ὅμοιαι ταῖς Νείλου καὶ Ἄρνου. Οὔσης δὲ πάσης τῆς πεδιάδος ἐπικτήτου, ἢ ὡς εἴποι Ἡρόδοτος, δῶρον Σκαμάνδρου, συγκειμένης ἐξ ἄμμου καὶ φυτικῶν ὑλῶν, τὸ τοῦ Ποταμοῦ ρεῦμα ὁρμῇ φερόμενον ὀφιοειδῶς, κατασκάπτει ποτὲ μὲν τὴν ἀριστερὰν ποτὲ δὲ τὴν δεξιὰν ὄχθην, ἐκριζοῦν ἐνίοτε τὰς ἐπικειμένας πτελέας καὶ ἰτέας. Τὰ οὕτω κατασκαπτόμενα μέρη τῶν ὀχθῶν ὁ Ὅμηρος κρημνοὺς ὀνομάζει. Οἷον ὁ Ἀχιλλεὺς ἀπωθήσας τοὺς Τρῶας μέχρι τοῦ πόρου, ἤτοι μέχρι τῆς περὶ τὰ μέσα τοῦ πεδίου καμπῆς, ἔνθα ὡς ἴδομεν

(1) Ἐνταῦθα καὶ κατὰ τὴν πρὸς Ἀνατολὰς τῶν λόφων Βουνάρβασι πλευράν, τῆς κοίτης οὔσης εὐρυτάτης, ὁ Σκάμανδρος διαβαίνεται καὶ νῦν ραδίως, παρὰ δὲ ταῖς ἐκβολαῖς ἐπὶ ξυλίνης γεφύρας.

ρέει παραλλήλως τῷ Ἑλλησπόντῳ, διαιρεῖ αὐτοὺς εἰς δύο καὶ τοὺς μὲν διώκει πρὸς τὴν πόλιν τοὺς δὲ ρίπτει ἐν τῷ ποταμῷ, εἰσπηδᾷ ἐν αὐτῷ καὶ φονεύει τὸν Λυκάονα (Φ, 1-135). Εἶτα ἀκοντίσας κατ' Ἀστεροπαίου, ἀποτυγχάνει μὲν αὐτοῦ, βάλλει δὲ τὴν ὑψηλὴν καὶ κρημνώδη ὄχθην ἐν ᾗ μεσοπαλὲς εἰσδύει τὸ ἔγχος·

« καὶ τοῦ μὲν ἀφάμαρτεν. ὁ δ' ὑψηλὴν βάλεν ὄχθην,
» μεσοπαλὲς δ' ἄρ ἔθηκε κατ' ὄχθας μείλινον ἔγχος·
» . . . . Ὁ δ' ἄρα μελίην Ἀχιλλῆος
» οὐ δύνατ' ἐκ κρημνοῖο ἐρύσσαι χειρὶ παχείῃ ».

Φ, 169-175.

Τὴν φύσιν τῶν ὀχθῶν ἐξηγεῖ καὶ ἡ ἐκριζωθεῖσα πτελέα ἅμα ληφθεῖσα ὑπ' Ἀχιλλέως·

« ὁ δὲ πτελέην ἕλε χερσὶν
» εὐφυέα, μεγάλην. ἡ δ' ἐκ ριζῶν ἐριποῦσα
» κρημνὸν ἅπαντα διῶσεν ».

Φ, 242-.

Ἕνεκα δὲ τῆς χειμαρρώδους φύσεως τοῦ Σκαμάνδρου, τὸ πλεῖστον μέρος τῆς εὐρείας κοίτης ἐστι ξηρὸν κατὰ τὸ θέρος· οὔτε οὖν ἔναιεν ὁ Ἀχιλλεὺς εἰσπηδήσας ἐν τῷ ποταμῷ, ἀλλ' ἐβάδιζε καὶ ἐφόνευε τοὺς φεύγοντας ἐν αὐτῷ

Τρῷας· οὔτε ἡ πτελέα ἅπασαν τὴν κοίτην ἐγεφύρωσεν ἀλλὰ τὸ παρὰ τὴν ὄχθην ρεῦμα. Μαρτυρεῖ δὲ πρὸς τούτοις τοῦτον εἶναι τὸν Σκάμανδρον καὶ ἡ τοῦ Τρωϊκοῦ πεδίου ἐπωνυμία οὐδέποτε Σιμοεισίου καλουμένου ἀλλ' ἀεὶ Σκαμανδρίου, ἐπωνυμία ἄλλογος καὶ ἄδικος εἰ ἀληθῶς ὁ Σιμόεις διήρχετο τὸ πεδίον. 'Αλλ' ἵνα ἐντελῶς πεισθῶμεν ὅτι οὗτος ἐστὶν ὁ τῆς 'Ιλιάδος Σκάμανδρος οὔτε φύσιν οὔτε πορείαν μεταβαλών, ἅς προσέξωμεν, τοῖς ἑλιγμοῖς τῶν πολεμούντων.

'Εν 'Ιλιάδι οἱ ἀπὸ τῆς παραλίας εἰς Ἴλιον ἐρχόμενοι καὶ οἱ ἀπὸ 'Ιλίου εἰς αὐτὴν καταβαίνοντες διαβαίνουσιν ἀεὶ τὸν Σκάμανδρον. Ἕκτωρ πληγεὶς ἐν τῷ πρὸ τῶν νηῶν ἀγῶνι διὰ πέτρας ὑπ' Αἴαντος καὶ ἐφ' ἅρματος φερόμενος πρὸς τὴν πόλιν, ἐν τῷ πόρῳ Σκαμάνδρου καταβιβάζεται καὶ βραχεὶς ὕδατι ἀναλαμβάνει·

« Ὣς τόνγε προτὶ ἄστυ φέρον βαρέα στενάχοντα·
» 'Αλλ' ὅτε δὴ πόρον ἷξον ἐϋρρεῖος ποταμοῖο,
» Ξάνθου δινήεντος ὃν ἀθάνατος τέκετο Ζεύς,
» ἔνθα μιν ἐξ ἵππων πέλασαν χθονί » (1).

Ξ, 432-.

Ὁμοίως ὁ 'Αχιλλεὺς τρέψας τοὺς Τρῷας εἰς φυγὴν δια-

(1) 'Επὶ τοῦ Πίνακος Β, ἡ Ἕκτορος εἰς πόρον ποταμοῦ μεταφορὰ σημειοῦται διὰ τῆς ἐρυθρᾶς γραμμῆς ΟΞ.

τέμνει αὐτοὺς εἰς δύω κατὰ τὸν πόρον Σκαμάνδρου καὶ τοὺς μὲν διώκει πρὸς τὴν πόλιν, εἰς τὸ πεδίον, τοὺς δὲ ὠθεῖ καὶ ρίπτει ἐν τῷ Ποταμῷ.

« Ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐϋρρεῖος ποταμοῖο
» Ξάνθου δινήεντος ὃν ἀθάνατος τέκετο Ζεύς
» ἔνθα διατμήξας τούς μεν πεδίονδε δίωκεν
» πρὸς πόλιν. . . . .
» ἡμίσεες δέ. . . . .
» ἐς ποταμὸν εἰλεῦντο βαθύρροον ἀργυροδίνην » (1).
Φ, 1 - 8.

Καὶ Πρίαμος ἀπὸ τῆς πόλεως εἰς τοῦ Ἀχιλλέως τὴν σκηνὴν ἐρχόμενος, τὸν Σκάμανδρον διαβαίνει· ἐντεῦθεν δὲ ὁ Ἑρμῆς συνοδεύει τὸν γέροντα καὶ εἰσάγει εἰς Ἀχιλλέως.

» Οἱ δ' ἐπεὶ οὖν μέγα σῆμα παρὲξ Ἴλοιο ἔλασσαν,
» στῆσαν ἄρ ἡμιόνους τε καὶ ἵππους ὄφρα πίοιεν
» ἐν ποταμῷ· δὴ γὰρ καὶ ἐπὶ κνέφας ἤλυθε γαῖαν,
» τὸν δ' ἐξ ἀγχιμόλοιο ἰδὼν ἐφράσσατο κήρυξ
» Ἑρμείαν. . . . » (2)
Ω. 349.

Καὶ πάλιν ἐπιστρέφοντα εἰς τὴν πόλιν ὁ Ἑρμῆς μέχρι τῆς διαβάσεως συνοδεύει τὸν Πρίαμον.

(1) Ὅρα ἐπὶ τοῦ αὐτοῦ Πίνακος Β, τὸ Ἀχιλλέως στρατήγημα διὰ διπλῆς γραμμῆς σημειούμενον, ὡς πάντες οἱ τῆς τετάρτης μάχης ἑλιγμοί.

(2) Ἡ τοῦ Πριάμου πορεία ραδίως ἀναγνωρίζεται, καίτοι μὴ σημειουμένη, ἐπὶ τοῦ Πίνακος Β.

« Ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐϋρρεῖος ποταμοῖο
» Ἑρμείας μὲν ἔπειτα ἀπέβη πρὸς μακρὸν Ὄλυμπον ».

Ω, 692-.

Ἀξία δὲ θαυμασμοῦ ἐστιν ἐνταῦθα ἡ Ὁμήρου προσοχὴ καὶ ἡ ἀκριβὴς τῆς χώρας παράστασις. Ὁ Σκάμανδρος διὰ τῆς περὶ τὰ μέσα τοῦ πεδίου καμπῆς, ρέων παράλληλος τῷ Ἑλλησπόντῳ γίγνεται οὕτως εἰπεῖν τὸ μεταίχμιον τῶν μαχομένων· ἡ ἑκατέρωθεν ἐπιτήρησις Ἑλλήνων καὶ Τρώων, μέχρι τοῦ πόρου τοῦ Σκαμάνδρου ἐπεκτείνετο. Εἰκότως, οὖν Ὅμηρος ποιεῖ τὸν Ἑρμῆν συνοδεύειν τὸν Πρίαμον ἀπὸ τῆς διαβάσεως τοῦ Ποταμοῦ εἰς Ἀχιλλέως καὶ πάλιν ἐντεῦθεν μέχρι τῆς διαβάσεως.

Τὴν δὲ περὶ τὰ μέσα τοῦ πεδίου καμπὴν τοῦ Σκαμάνδρου ζωηρότερον σαφηνίζει ἡ εἰρημένη τοῦ Ἀχιλλέως στρατηγικὴ πρᾶξις, ἡ μετὰ τὸν πόρον διάτμησις τῶν φευγόντων Τρώων. Οἱ μὲν ἡμίσεις, λέγει Ὅμηρος, ἔφευγον διὰ τοῦ πεδίου πρὸς τὴν πόλιν, οἱ δ' ἕτεροι ἐρρίφθησαν εἰς τὸν Σκάμανδρον· ἄρα ὁ Σκάμανδρος, ρέων παραλλήλως τῷ Ἑλλησπόντῳ ἐν τῷ χώρῳ τῆς διαβάσεως, ἐποίει εὐθὺς ἄνωθεν αὐτῆς ἀγκῶνα, κατερχόμενος καθέτως εἰς τὴν παράλληλον τῷ Ἑλλησπόντῳ κοίτην· ἄρα οὐδεμίαν ὑπέστη μεταβολὴν ἡ τοῦ Σκαμάνδρου κοίτη κατά γε τὰ μέσα τοῦ Τρωϊκοῦ πεδίου· οὐδ' ἡ ἐλαχίστη

μένει περὶ τούτου ἀμφιβολία τῷ διερχομένῳ τὸ πεδίον καὶ ἐφαρμόζοντι ἐπὶ τῆς διαβάσεως τοῦ Σκαμάνδρου τὸ Ἀχιλλέως στρατηγικὸν ἔργον. Ὡς καὶ ἐπὶ τοῦ ἐμοῦ Πίνακος Β. γίγνεται δῆλον, οἱ Τρῶες φεύγοντες ἀπὸ τοῦ Ἑλληνικοῦ στρατοπέδου πρὸς τὸ Ἴλιον καὶ ὁ διώκων αὐτοὺς Ἀχιλλεὺς εἶχον τὸν Σκάμανδρον, μέχρι μὲν τῆς ἀφίξεως εἰς τὴν διάβασιν (πόρος ποταμοῖο), ἐπὶ δεξιά, μετὰ δὲ τὴν διάβασιν ὁ ῥοῦς, ἡ κοίτη τοῦ Σκαμάνδρου εὑρίσκετο εὐθὺς ἐπ' ἀριστερὰ αὐτῶν· ἐνταῦθα οὖν ὠθήσθησαν οἱ ἡμίσεις τῶν Τρώων καὶ ἐρρίφθησαν ἐν τῇ κοίτῃ, οἱ δ' ἕτεροι ἡμίσεις ἔφυγον διὰ τοῦ πεδίου πρὸς τὴν πόλιν.

Λαμβάνει δὲ ὁ Ποιητὴς ἐν τῇ περιγραφῇ τῶν μαχῶν ὡς σημεῖον ὁρίζον τὰς θέσεις ἢ διευθύνσεις τῶν μαχομένων, τόν τε πόρον τοῦ Σκαμάνδρου καὶ τὸν λοιπὸν ῥοῦν, ἀλλὰ περὶ τούτου, πρὸς ἀποφυγὴν ἐπαναλήψεων ἐν τῷ οἰκείῳ ἑκάστοτε τόπῳ λαλήσομεν.

Τελευταίαν δέ, ἥνπερ καὶ μαθηματικὴν καλέσομεν ἀπόδειξιν τοῦ τὸν Μενδερὲ εἶναι τὸν Ἰλιάδος Σκάμανδρον, φέρομεν τὴν ὑπὸ τὰ τείχη Ἰλίου συμβᾶσαν πρᾶξιν τὴν παριστᾶσαν τὸν μὲν Ἀχιλλέα ὁρμώμενον ἀπὸ τοῦ Σκαμάνδρου (ὅπου Ἀπόλλων δι' ἀπάτης ἀπεπλάνησεν αὐτὸν) πρὸς τὴν πόλιν, τὸν δ' Ἕκτορα φεύγοντα ἀπὸ τῶν Σκαιῶν Πυλῶν πρὸς τὰς Δύω Πηγὰς (1). Ἡ περιγραφὴ τοῦ ἔργου τούτου περὶ οὗ καὶ ἀνωτέρω ἐν τοῖς

(1) Φ. 599—Χ 159.

περὶ Ἰλίου ἐλάλησα, ἐμφαίνει τὴν Σκαμάνδρου ὄχθην (σημεῖον ἀφ' οὗ κινεῖται Ἀχιλλεὺς ἐπιστρέφων πρὸς τὴν πόλιν), τὴν πρὸ τῶν Σκαιῶν Πυλῶν θέσιν τοῦ Ἕκτορος, καὶ τὰς Δύω Πηγάς, ἐπὶ μιᾶς εὐθείας γραμμῆς κείμενα. Ἐκ τῶν τριῶν δὲ τούτων σημείων δύο εἰσὶν ἡμῖν γνωστά, αἱ Δύω Πηγαὶ καὶ αἱ Σκαιαὶ Πύλαι (οὖσαι κατὰ τὴν πρὸς τὸ πεδίον πλευρὰν τῆς πόλεως (2), ἔνθα ἵστατο Ἕκτωρ. Διαγράφοντες οὖν γραμμήν, ἀπὸ τῶν Δύω Πηγῶν ἀρχομένην καὶ παρὰ τὸν πρὸς τὸ πεδίον περίβολον τῆς πόλεως παρερχομένην, καὶ προεκτείνοντες αὐτήν, εὑρήσομεν τὸ τρίτον σημεῖον ἤτοι τὸν Σκάμανδρον. Καὶ τῳόντι ἂν γραμμὴ ἀπὸ τῶν Δύω Πηγῶν ἀρχομένη καὶ παρὰ τὸν γνωστὸν ἡμῖν περίβολον διαβαίνουσα, προεκταθῇ, ἀπαντᾷ τῷ Μενδερέ, πίπτουσα καθέτως ἐπὶ τῆς ἀριστερᾶς ὄχθης· ἄρα οὗτος ἐστὶν ὁ Ὁμήρου Σκάμανδρος. Ἀπὸ τῆς ἀριστερᾶς αὐτοῦ ὄχθης ὁρμήσας Ἀχιλλεὺς πρὸς τὴν πόλιν καὶ διώκων τὸν πρὸ αὐτοῦ φεύγοντα Ἕκτορα ἦλθεν εἰς τὰς Δύω Πηγάς, ἔχων τὸ Ἴλιον ἐπ' ἀριστερά. Ἐκ τούτων ὁρίζονται ἀλληλενδέτως καὶ ἀναγνωρίζονται αἱ θέσεις Σκαμάνδρου, Ἰλίου καὶ Δύω Πηγῶν. Μετὰ τὰ λεχθέντα ἀσύγγνωστος καταφαίνεται ἡ πλάνη τῶν εἰπόντων Σκάμανδρον τὸ ἀπὸ τῶν Πηγῶν ῥέον ὕδωρ· ἐπειδὴ ἀφ' οἱουδήποτε σημείου τοῦ ῥύακος

(2) Ὀλίγον μέλλει ἡμῖν ἂν ἡ ἀκριβὴς θέσις τῶν Σκαιῶν Πυλῶν ἀγνοῆται, ἀρκεῖ ὅτι ἦσαν πρὸς πὸ Τρωϊκὸν πεδίον.

τούτου ἂν ἀναχωρήσωμεν καὶ ἀπ' αὐτοῦ ἔλθωμεν εἰς τὰς Δύω Πηγάς, οὐδέποτε παρελευσόμεθα παρὰ τὸ Ἴλιον ἀλλ' ἕξομεν αὐτὸ ἄντικρυ ἡμῶν καθ' ὅλην τὴν πορείαν, τοῦθ' ὅπερ ἀντιφάσκει τῇ Ἰλιάδι λεγούσῃ τὸν Σκάμανδρον (ὅθεν μετεστράφη Ἀχιλλεὺς πρὸς τὴν πόλιν) καὶ τὰς Δύω Πηγάς, εἶναι ἀπέναντι ἀλλήλων καὶ ἑνοῦσθαι διὰ γραμμῆς διαβαινούσης παρὰ τὸ Ἴλιον, ἐκτὸς τῶν τειχῶν. Ἂν δὲ ὁ τῶν Πηγῶν ρύαξ ὑποτεθῇ ἐπὶ σμικρὸν εἶναι ὁ Ὁμηρικὸς Σκάμανδρος, τότε αἱ Δύω Πηγαὶ ἔσονται ζητητέαι ἐπὶ τῆς προεκτάσεως γραμμῆς ἀρχομένης ἀπὸ τῆς δεξιᾶς ὄχθης τοῦ ρύακος καὶ διαβαινούσης παρὰ τὸ Ἴλιον, ἤτοι πρὸς Ἀνατολάς· ἀλλ' ἐπειδὴ αἱ Δύω Πηγαὶ εἰσὶ γνωσταὶ καὶ κεῖνται πρὸς τὴν Δυτικὴν πλευρὰν τοῦ Τρωϊκοῦ πεδίου, ἕπεται ὅτι ὁ ἀπέναντι αὐτῶν Μενδερὲ ἐστὶν ὁ τῆς Ἰλιάδος Σκάμανδρος.

Καὶ πρὸς τὰ κάτω δὲ τοῦ πεδίου ὁ ἀναγνωρισθεὶς Σκάμανδρος ἔρρεεν ἐπὶ τῶν Τρωϊκῶν ὡς ἔτι καὶ νῦν ρέει, πλησιάζων τοῖς λόφοις Σιγείου καὶ ἐκβάλλων εἰς τὸν Ἑλλήσποντον παρὰ τὴν ἄκραν αὐτὴν τοῦ Σιγείου· τεκμήριον ἡ ἑξῆς, κατὰ τὴν Τρίτην Μάχην, στρατηγικὴ Πατρόκλου πρᾶξις. Ὁ μὲν Ἀχιλεὺς ἐνδοὺς ταῖς εὐχαῖς Πατρόκλου καὶ ἰδὼν αἴφνης καπνὸν πρὸ τῶν Ἑλληνικῶν πλοίων, πέμπει ἐν σπουδῇ τὸν Πάτροκλον μετὰ τῶν Μυρμιδόνων πρὸς βοήθειαν. Ὁ δὲ Πάτροκλος ἀφιχθεὶς εἰς τὴν μάχην, σβέννυσι τὸ πῦρ, φονεύει πολλοὺς τῶν Τρώων,

ἀπωθεῖ καὶ διώκει τοὺς πρώτους τραπέντας εἰς φυγὴν (Π, 124-393). Εἶτα δὲ στρέφεται καὶ ὠθεῖ τοὺς ἄλλους πρὸς τὰ πλοῖα μὴ ἐῶν φεύγειν πρὸς τὴν πόλιν ἀλλὰ φονεύων αὐτοὺς μεταξὺ τῶν νηῶν, τοῦ ποταμοῦ καὶ τοῦ ὑψηλοῦ τείχους.

« Πάτροκλος δ' ἐπεὶ οὖν πρώτας ἐπέκερσε φάλαγγας
» ἂψ ἐπὶ νῆας ἔεργε παλιμπετές, οὐδὲ πόληος
» εἴα ἱεμένους ἐπιβαινέμεν, ἀλλὰ μεσηγὺ
» νηῶν καὶ ποταμοῦ καὶ τείχεος ὑψηλοῖο
» κτεῖνε μεταΐσσων ».

Π, 394-.

Ἡ μάχη ἐγίνετο κατὰ τὸ Δεξιὸν κέρας τοῦ Ἑλληνικοῦ στρατοπέδου, πρὸς τὸ Σίγειον ἀκρωτήριον· κατὰ τοῦ κέρατος τούτου πρὸ μικροῦ ὁ Ἕκτωρ, ἀκούσας τὴν συμβουλὴν Πολυδάμαντος, συνήγαγεν ἅπαντα τὸν Τρωϊκὸν στρατὸν (Ν, 723-809). ἐκεῖσε οὖν ἦλθε Πάτροκλος καὶ ἐκεῖ περικλείσας ἐφόνευε τοὺς Τρῶας μεταξὺ πλοίων, ποταμοῦ καὶ ὑψηλοῦ τείχους. Ὁ ἀναγνώστης καίτοι ἀγνοῶν ἔτι τὰ καθέκαστα τῆς Τρίτης Μάχης καὶ τὴν διασκευὴν καὶ διαίρεσιν τοῦ Ἑλληνικοῦ στρατοπέδου, βλέπει ὅτι ἡ θέσις ἐν ᾗ ὁ Πάτροκλος περιέκλεισε τοὺς Τρῶας ὁρίζεται ὑπὸ τετραγώνου σχήματος ἀνεῳγμένου κατὰ μίαν τῶν πλευρῶν τὴν πρὸς Ἀνατολάς, καὶ ὅτι αἱ τρεῖς ἕτεραι τοῦ τετραγώνου πλευραὶ εἰσὶν ἡ τῶν πλοίων πρὸς Βορρᾶν, ἡ τοῦ τείχους πρὸς Μεσημβρίαν, οὖσα παράλ-

ληλος τῇ τῶν πλοίων, καὶ ἡ τοῦ Σκαμάνδρου πρὸς Δυσμάς· ἄρα ὁ Σκάμανδρος καὶ τότε ὡς καὶ νῦν παρὰ τοὺς λόφους Σιγείου ἔρρεεν καὶ κατὰ τὸ Σίγειον τὰς ἐκβολὰς εἶχε (1).

Τὸ Πατρόκλου τοῦτο στρατήγημα καταδικάζει τόν τε Choiseul Gouffier (2) καὶ τοὺς ἄλλους ἀρχαιολόγους οἵτινες ὑπέθεσαν ὅτι ἄλλοτε ὁ Μενδερὲ (ὁ κατ' αὐτοὺς Σιμόεις) δεχόμενος τὸν ρύακα τῶν Πηγῶν (τὸν κατ' αὐτοὺς Σκάμανδρον), διευθύνετο πρὸς τὸ Ροίτειον ἀκρωτήριον καὶ παρ' αὐτὸ ἐχύνετο εἰς τὸν Ἑλλήσποντον.

Καὶ Ἡρόδοτος δὲ ὁ πλησιέστερος τῷ Ὁμήρῳ ἱστορικὸς παρὰ τὸ Σίγειον λέγει τὸν Σκάμανδρον ἐκβάλλειν· « μετὰ δὲ ἐξεχώρησαν (οἱ Πεισιτρατίδαι) εἰς Σίγειον τὸ » ἐπὶ τῷ Σκαμάνδρῳ » (Τερψιχόρη. 65).

Ἀλλ' αὐτὸς ὁ Ὅμηρος, εἴποι ἄν τις ἡμῖν, ὀνομάζει τὰς Δύω Πηγὰς πηγὰς Σκαμάνδρου·

« ἔνθα δὲ πηγαὶ
» δοιαὶ ἀναΐσσουσι Σκαμάνδρου δινήεντος ».

Τῷ ὄντι οὕτως ὀνομάζει αὐτὰς καὶ βεβαίως ἐκ τούτου προῆλθεν ἡ ἀπάτη τῶν καλούντων Σκάμανδρον τὸ ἀπὸ τῶν

(1) Ὅρα τὸν Πίνακα Β, ἐφ' οὗ χάριν εὐκρινείας σημειοῦμεν, κατὰ τὸ δεξιὸν κέρας τοῦ Ἑλληνικοῦ στρατοπέδου τὰ « μεσηγὺ νηῶν καὶ ποταμοῦ καὶ τείχεος ὑψηλοῖο ».

(2) Ὅρα τὸν τοῦ Choiseul πίνακα τοῦ Τρωϊκοῦ πεδίου ἐν τῷ συγγράμματι τῷ ἐπιγραφομένῳ « Voyage pittoresque de la Grèce ».

Πηγῶν ρέον ὕδωρ. Ἀλλ' ὡς φαίνεται, μόνον τοὺς ἄνω δύω στίχους εἶχον ἐν τῇ μνήμῃ διερχόμενοι τὸ Τρωϊκὸν πεδίον, ἐπιλανθανόμενοι τῶν ἐπιθέτων Σκαμάνδρου καὶ ἐν οὐδενὶ λόγῳ τιθέμενοι τὰς κινήσεις καὶ τοὺς ἑλιγμοὺς τῶν μαχομένων· διὸ οὐκ εἶδον ὅτι οὔτε τὰ μέν, οὔτε οἱ δὲ ἐφαρμόζονται τῷ ρύακι τῶν Πηγῶν.

Ἀλλὰ μήπως ἡ λέξις πηγὴ μόνον ἀρχὴν καὶ γένεσιν ποταμοῦ σημαίνει; Καλοῦμεν καὶ οἱ πρόγονοι ἡμῶν ἐκάλουν πηγὰς οὐ μόνον τὰ ὕδατα τὰ παράγοντα ποταμούς, ἀλλὰ καὶ τὰ προερχόμενα ὑπογείως ἀπὸ ποταμῶν. Οὕτως ἡ ἐπὶ Ἀκροκορίνθου πηγή, ἡ ὄπισθεν τοῦ ναοῦ Ἀφροδίτης, ἐλέγετο δῶρον Ἀσωποῦ ὡς προερχομένη ἀπὸ τοῦ Φλιασίου Ἀσωποῦ (1). Ἡ Κασταλία πηγὴ ἐλέγετο δῶρον Κηφισσοῦ, ἐβεβαίουν δὲ οἱ Λιλαιεῖς ὅτι πέμματα τινα ἐγχώρια καὶ ἄλλα ριπτόμενα ἐν τῷ Κηφισσῷ ἀνεφαίνοντο ἐν τῇ Κασταλίᾳ (3). Ἡ κατὰ τὴν Σικελίαν Ἀρεθοῦσα ἐλέγετο, ἢ ἐμυθεύετο, ὡς προερχομένη ἀπὸ τοῦ ἐν Πελοποννήσῳ Ἀλφειοῦ, ὅθεν καὶ τὸ Πινδάρου «Ἄμπνευμα σεμνὸν Ἀλφειοῦ» (3).

Κατὰ τὸν αὐτὸν τρόπον αἱ πρὸ τοῦ Ἰλίου Δύω Πηγαὶ ἐνομίζοντο ἴσως, προερχόμεναι ἀπὸ τοῦ Σκαμάνδρου κα-

(1) Παυσαν. Κορινθ. Βιβλ. II Κεφ. V. § 1.

(2) Παυσαν. Φωκικὰ Βιβλ. X. Κεφ· IX.

(3) Νέμεα. Εἶδος Α'. στιχ. 1. Ὅρα πρὸς τούτοις τὰ ὑπὸ Παυσανίου λεγόμενα καὶ τὰ ὑπὸ Στράβωνος Βιβλ. ϛ'. § 4· Ἦν δὲ ἡ Ἀρεθοῦσα ἐπὶ τῆς ἐν τῷ λιμένι Συρακουσῶν Ὀρτυγίας νήσου.

ταβαίνοντος ἄνωθεν τῆς πόλεως, ὄπισθεν τῶν λόφων Βουνάρβασι· ὑπόθεσις γεωλογικῶς πιθανή. Οὕτως ἐξηγεῖ καὶ Δημήτριος ὁ Σκήψιος τὰ περὶ τῶν Δύω Πηγῶν, λέγων αὐτὰς ἀπὸ Σκαμάνδρου κατὰ διάδυσιν ὑπεκρέειν (1). Ἔτι δὲ καὶ οἱ νῦν περιοικοῦντες ἀπὸ τοῦ Μενδερὲ νομίζουσι κατέρχεσθαι τὰ ὕδατα τῶν Δύω Πηγῶν. Ἐθαύμασα δὲ ὅταν ὁ ὁδηγός μου, ἕλλην ἐγχώριος, εἶπε μοι ἐξετάζοντι τὰς Δύω Πηγάς, ὅτι ἤκουσέ ποτε γέροντα ὀθωμανὸν ἐκ τῶν οἰκούντων τὰ πέριξ χωρία διηγούμενον περὶ θέσεως τινος (πολὺ ἄνω τῶν Δύω Πηγῶν) ἀφ' ἧς ἠκούετο ὁ κρότος τοῦ κατερχομένου ὕδατος. Ὁπωσδήποτε οὖν ἡ ἔτι καὶ νῦν ἐν Τρωάδι ὑφισταμένη ἰδέα, εἴτε ἀληθὴς εἴτε μή, ἐξηγεῖ τὴν ἐπὶ Ὁμήρου νομιζομένην ἀρχὴν καὶ γένεσιν τῶν Δύω Πηγῶν.

Ἴσως δὲ ἐκάλεσεν αὐτὰς ὁ Ποιητὴς πηγὰς Σκαμάνδρου ὡς χυνούσας τὸ αὐτῶν ὕδωρ ἐν τῷ Σκαμάνδρῳ καὶ συντελούσας αὐτῷ, ἤτοι ὡς καθαυτὸ πηγάς, οὐχὶ δὲ καὶ μόνας πηγὰς τοῦ Σκαμάνδρου (2)· μόναι γὰρ αὗται ῥύακα μόλις, οὐχὶ ποταμὸν ἀποτελοῦσι.

Συνελόντι δὲ εἰπεῖν οὐδόλως ἐπιτρέπει ἡμῖν ἡ Ἰλιὰς

(1) Στραβ. Γεωγρ. Βιβλ. ΙΓ. Ὁμοίως καὶ Ἀρίσταρχος. Ἐν στίχῳ 137. Ραψ. Χ, « ἡ διπλῆ, ὅτι λείπει πρόθεσις ἢ ἐκ, ἢ ἀπό· ἐκ Σκαμάνδρου γὰρ ἢ ἀπό ».

(2) Τὴν ἐξήγησιν ταύτην νομίζει πιθανὴν καὶ ὁ Σκήψιος « ἢ καὶ διὰ τὸ πλησίον εἶναι τοῦ Σκαμάνδρου καὶ τοῦτο τὸ ὕδωρ λέγεσθαι τοῦ Σκαμάνδρου πηγήν· οὕτω γὰρ λέγονται πλείους πηγαὶ τοῦ αὐτοῦ ποταμοῦ ». (Στραβ. γεωγρ. ΙΓ. Κεφ. 602).

καλέσαι Σκάμανδρον τὸν ἐκ τῶν Πηγῶν ῥέοντα ῥύακα· οὔτε τὸ ἐπιχείρημα τοῦ Morill ἰσχύει εἰπόντος ὅτι ὁ τῶν Πηγῶν ῥύαξ (ὁ κατ' αὐτὸν Σκάμανδρος) καίτοι μικρὸς καὶ ταπεινός, ἐπέβαλε τὸ ἑαυτοῦ ὄνομα τῷ Μενδερὲ (τῷ κατ' αὐτὸν Σιμόεντι) μείζονι ὄντι· οὔτε τὸ παράδειγμα ὅπερ φέρει ὁ Carlisle (1) πρὸς ἐνίσχυσιν τοῦ Morill, λέγων ὅτι ὁ Μισισιπί, μικρὸς ὢν ποταμὸς ἐπικρατεῖ καὶ ἐπιβάλλει τὸ αὐτοῦ ὄνομα τῷ γίγαντι Μισουρί· διότι λογικῶς τὰ τοῦ μείζονος ποταμοῦ χαρακτηριστικὰ μόνον μετὰ τὸν σύρρουν εἰσὶν ἀποδοτέα τῷ ἐλάσσονι καὶ ταπεινοτέρῳ· οὕτως ὁ ταπεινὸς Μισισιπὶ μένει καὶ λέγεται ταπεινὸς μέχρις οὗ ὁ Μισουρὶ ἑνώσας τὰ πολλὰ αὐτοῦ ὕδατα ποιήσῃ τὸν Μισισιπὶ μεγάλον ἀντὶ ταπεινοῦ· ὁ περιγράφων τὸν ἄνωθι τοῦ σύρρου Μισισιπὶ οὐκ ἀπονέμει βεβαίως αὐτῷ τὸ πλάτος καὶ τὸ βάθος ἅπερ ἀποκτᾷ μετὰ τὸν σύρρουν. Ὁ τῆς Ἰλιάδος τοίνυν Σκάμανδρος λέγεται μέγας καὶ βαθυδινήεις ἄνωθεν τοῦ σύρρου, ὑπὸ τὴν πόλιν αὐτὴν (Φ, 599-607).

Ὀρθῶς δὲ καὶ δικαίως ἐσέβοντο τὸν Σκάμανδρον οἱ Τρῶες καὶ ἔθυον αὐτῷ ταύρους καὶ ἔρριπτον ἐν τῷ πολιούχῳ ῥεύματι ἵππους ζῶντας (Φ, 130-)· ὢν γὰρ πλατὺς καὶ χειμαρροειδὴς περιεζώννυ τὸ εὐπροσιτώτερον μέρος τοῦ περιβόλου τοῦ ἄστεως καὶ ἐκώλυε τοὺς Ἕλληνας τοῦ ποιήσασθαι σύντονον καὶ τελείαν τὴν πολιορκίαν. Τὸ δὲ

(1) Diary in Turkisk and Greek Waters.

ρεῦμα τῶν Δύω Πηγῶν ὃν ὅλως ἀσήμαντον, αὐξάνει καὶ διακρίνεται μετὰ τὴν συνδρομὴν τῶν ἑτέρων πηγῶν τῶν ρεουσῶν κατωτέρω.

ΠΕΡΙ ΣΙΜΟΕΝΤΟΣ.

Ὡς οὖν καὶ πρὸ μικροῦ εἴπομεν, ὁ Σιμόεις ἑξάκις μόνον μνημονεύεται ἐν Ἰλιάδι, ἀλλ' ἄνευ ἐπιθέτου.

Πρῶτον μὲν κατὰ τὴν Πρώτην Μάχην ὅταν ὁ Αἴας φονεύῃ τὸν Σιμοείσιον οὕτως ὀνομασθέντα διὰ τὴν γέννησιν αὐτοῦ παρὰ ταῖς ὄχθαις Σιμόεντος.

« . . . ὅν ποτε μήτηρ,
» Ἴδηθεν κατιοῦσα, παρ' ὄχθῃσιν Σιμόεντος
» γείνατ', ἐπεί ρα τοκεῦσιν ἅμ' ἕσπετο μῆλα ἰδέσθαι·
» τοὔνεκά μιν κάλεον Σιμοείσιον ».

Δ, 474-.

Δεύτερον δὲ κατὰ τὴν αὐτὴν Μάχην ὅταν Ἥρα καὶ Ἀθηνᾶ ἔρχονται βοηθήσουσαι τοῖς Ἕλλησι μαχομένοις παρὰ τῷ Ἰλίῳ·

« Ἀλλ' ὅτε δὴ Τροίην ἷξον ποταμώ τε ρέοντε,
» ἧχι ροὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος,
» ἔνθ' ἵππους ἔστησε θεὰ λευκώλενος Ἥρη,
» τοῖσιν δ' ἀμβροσίην Σιμόεις ἀνέτειλε νέμεσθαι ».

Ε, 773.

Τρίτον δὲ ὁμοίως κατὰ τὴν Πρώτην Μάχην, ὅταν ὁ Ποιητὴς ὁρίζῃ τὰ σημεῖα ἐν οἷς ἐπεκτάθη ἡ μάχη·

« πολλὰ δ' ἄρ' ἔνθα καὶ ἔνθα ἴθυσε μάχη πεδίοιο,
» ἀλλήλων ἰθυνομένων χαλκήρεα δοῦρα,
» μεσσηγὺς Σιμόεντος ἠδὲ Ξάνθοιο ῥοάων ».

Ζ, 2-4.

Ἐκ τῶν ἐπῶν τούτων προῆλθεν ἡ ἐσφαλμένη ἰδέα, ἡ δυστυχῶς καὶ ἐν τοῖς Ἑλληνικοῖς λεξικοῖς καθιερωθεῖσα, τοῦ πάσας τὰς Ἰλιάδος μάχας μεταξὺ Σιμόεντος καὶ Σκαμάνδρου πολεμηθῆναι.

Τέταρτον δὲ ἐν τῇ Τρίτῃ Μάχῃ κατὰ τὴν ἀπαρίθμησιν τῶν ποταμῶν δι' ὧν Ποσειδῶν καὶ Ἀπόλλων ἐξηφάνισαν τὸ πρὸ τῶν νηῶν τεῖχος·

« καὶ Σιμόεις ὅθι πολλὰ βοάγρια καὶ τρυφάλειαι
» κάππεσον ἐν κονίῃσι καὶ ἡμιθέων γένος ἀνδρῶν ».

Μ, 22-.

Πέμπτον δὲ κατὰ τὴν Τετάρτην Μάχην ἔνθα ὁ Ποιητὴς ὀνομάζει τοὺς τόπους εἰς οὓς ὁ Ἄρης ἤρχετο καὶ ἐνεθάρρυνε τοὺς Τρῶας·

« Αὖε δ' Ἄρης ἑτέρωθεν ἐρεμνῇ λαίλαπι ἶσος,
» ὀξὺ κατ' ἀκροτάτης πόλιος, Τρώεσσι κελεύων
» ἄλλοτ' παρ' Σιμόεντι θέων ἐπὶ Καλλικολώνῃ ».

Υ, 51.

Ἕκτον δὲ ὅταν ἐν τῇ Τετάρτῃ Μάχῃ ὁ Σκάμανδρος κράζει τὸν Σιμόντα πρὸς βοήθειαν·

« Σιμόεντι δὲ κέκλητ' ἀύσας·
» Φίλε πασίγνητε, σθένος ἀνέρος ἀμφότεροί περ
» σχῶμεν· ἐπεὶ τάχα ἄστυ μέγα Πριάμοιο ἄνακτος
» ἐκπέρσει, Τρῶες δὲ κατὰ μόθον οὐ μενέουσι·
» ἀλλ' ἐπάμυνε τάχιστα καὶ ἐμπίπληθι ῥέεθρα
» ὕδατος ἐκ πηγέων, πάντας δ' ὀρόθυνον ἐναύλους
» ἵστη δὲ μέγα κῦμα· πολὺν δ' ὀρυμαγδὸν ὄρινε
» φιτρῶν καὶ λάων. . . ».

Φ. 307-.

Τῶν ἐξ τούτων περικοπῶν ἐξεταζομένων ἀσχέτως πρὸς τὰς κινήσεις τῶν πολεμούντων, οὐδὲν ἄλλο πορίζόμεθα εἰμὴ ὅτι ὁ Σιμόεις κατήρχετο ἀπὸ τῆς Ἴδης, ἔρρεε παρὰ Καλλικολώνῃ καὶ ἡνοῦτο μετὰ τοῦ Σκαμάνδρου, χειμάρρους ὢν καὶ ἱκανὸς καταφέρειν λίθους καὶ κορμοὺς δένδρων. Ἀλλ' ἐκ τῆς ἐξετάσεως τῶν στρατηγικῶν κινήσεων, μάλιστα δὲ τῶν τῆς Πρώτης Μάχης γενομένης ὑπὸ τὸ Ἴλιον, ὁ Σιμόεις φαίνεται ἐμβάλλων εἰς τὸν Σκάμανδρον οὐχὶ πολὺ πόρρω τῆς πόλεως. Ἐν δὲ τῇ Τετάρτῃ Μάχῃ ὁρίζεται καὶ ἡ θέσις Καλλικολώνης παρ' ἣν ἔρρεεν ὁ Σιμόεις. Ἀρξαμένης γὰρ τῆς μάχης ταύτης ἔνθεν τοῦ πόρου, περὶ τὸ Σ, (1), ὁ Ἄρης τὸ μὲν φροντίζων περὶ τῆς

(1) Ὅρα τὴν περιγραφὴν τῆς Τετάρτης Μάχης καὶ τὰς ἐπὶ τοῦ Πίνακος Β, διευθύνσεις.

πόλεως, τὸ δὲ βουλόμενος θάρρος ἐμποιῆσαι τοῖς ἐπὶ τοῦ πεδίου μαχομένοις Τρωσὶν, ἔθεε,λέγει Ὅμηρος, ποτὲ μὲν ἐπὶ Περγάμου, ποτὲ δὲ παρὰ Σιμόεντι ἐπὶ Καλλικολώνης. (Υ, 51-53). Ἐκ τούτων οὖν εἰκάζομεν Καλλικολώνην μὲν εἶναι τοὺς λόφους τοὺς ἐπὶ δεξιὰ τῷ κατερχομένῳ ἀπὸ Ἰλίου εἰς τὸν λιμένα Ἀχαιῶν, Σιμόεντα δὲ τὸν νῦν Καμάρα (καὶ Κιμάρ) λεγόμενον, ὃς ἀπὸ τῶν ἀνατολικῶν τῆς Ἴδης κνημῶν καταβαίνων καὶ τὴν πρὸς Δυσμὰς κλίσιν λαμβάνων, ῥέει ἐν τῷ Τρωϊκῷ πεδίῳ καὶ ἑνοῦται τῷ Σκαμάνδρῳ ἀνωτέρω τῆς περὶ τὰ μέσα τοῦ πεδίου καμπῆς, τοῦ γνωστοῦ ἡμῖν πόρου. Ἐπὶ τούτου τοῦ ποταμοῦ καὶ αἱ τῶν πολεμούντων κινήσεις κάλλιστα ἐφαρμόζονται καὶ τὰ τοῦ χειμάρρου προσόντα ἀναγνωρίζονται. Τοῦτον καὶ Δημήτριος ὁ Σκήψιος καὶ Στράβων λέγουσιν εἶναι τὸν ὁμηρικὸν Σιμόεντα (2). Ταῦτα εἰσὶ τὰ κυριώτερα τοῦ Τρωϊκοῦ πεδίου. Ἀλλ' ἐκτὸς τούτων μνημονεύονται ἐν Ἰλιάδι καὶ ἕτερα ἔχοντα σχέσιν τῇ τοπογραφίᾳ καὶ τῇ στρατηγικῇ τοῦ Ποιήματος διατάξει. Ἔρχομαι οὖν καὶ περὶ αὐτῶν εἰπεῖν ἀρχόμενος ἀπὸ τῆς Βατιείας.

---

(2) Μόνον ἐπὶ τοῦ Γεωγραφικοῦ τῆς Τρωάδος πίνακος τοῦ πλοιάρχου Spratt ἐκδοθέντος ὑπὸ Φορχάμερ, ὁ ποταμὸς οὗτος λέγεται Ἄνδριος! Ὀνομάζεται δὲ Καμάρα ὑπὸ τῶν ἐγχωρίων διὰ τὸ διέρχεσθαί ποτε ὑπὸ ἀψίδα ἀρχαίαν τοξοειδῆ. Ὁ δὲ Στράβωνος Θύμβριος, ξένος ὢν τῇ Ἰλιάδι, ῥέει ἀνωτέρω.

ΒΑΤΙΕΙΑ Η ΣΗΜΑ ΜΥΡΙΝΗΣ.

Παρὰ τὸν κολωνὸν τοῦτον, ὃν λέγει ὁ Ποιητὴς περίδρομον καὶ κείμενον πρὸ τῆς πόλεως ἐν τῷ πεδίῳ, οἱ Τρῶες ἐξελθόντες τοῦ ἄστεως παρετάχθησαν πρὸ τῆς ἀρχῆς τῆς Πρώτης Μάχης· ὁ ἐπὶ τοῦ ἐμοῦ Πίνακος Β ὁρώμενος λόφος, κάτωθι τῆς κώμης Βουνάρ-βασί, ἀνταποκρίνεται κάλλιστα τῇ περιγραφῇ.

» ἔστι δέ τις προπάροιθε πόλιος αἰπεῖα κολώνη,
» ἐν πεδίῳ ἀπάνευθε, περίδρομος ἔνθα καὶ ἔνθα
» τὴν ἤτοι ἄνδρες Βατίειαν κικλήσκουσιν
» ἀθάνατοι δέ τε σῆμα πολυσκάρθμοιο Μυρίνης ».
Β, 811-.

ΣΚΑΙΑΙ ΠΥΛΑΙ.

Αἱ Σκαιαὶ Πύλαι καλούμεναι καὶ Δαρδάνιαι εἰσὶν αἱ μόναι πύλαι Ἰλίου ὀνομαστὶ μνημονευόμεναι ἐν Ἰλιάδι (Ε, 789. Ι, 354. Χ, 5.). δι' αὐτῶν συνήθως οἱ Τρῶες ἐξήρχοντο καὶ εἰσήρχοντο ὡς ἀσφαλεστέρων ἢ εὐχρηστοτέρων οὐσῶν. Εἶχε δὲ καὶ ἑτέρας πύλας τὸ Ἴλιον, ὡς φαί-

νεται ἔκ τε τῆς πρώτης μετὰ τὴν μῆνιν Ἀχιλλέως γενομένης ἐξόδου τῶν Τρώων, ὅτε πᾶσαι αἱ πύλαι ἀνεῴχθησαν·

« πᾶσαι δ' ὠΐγνυντο πύλαι ἐκ δ' ἔσσυτο λαός ».
B, 809.

καὶ ἐκ τῆς Δευτέρας Μάχης ὅτε πάλιν πᾶσαι ἠνεώχθησαν (Θ, 58.). Ἂν ἡ Ἴλιος εἶχε μίαν μόνην Πύλην, ὡς λέγει Ἀρίσταρχος, τότε περιττὸν ἦν τὸ ἔπος

« Σκαιάς (τῇ γὰρ ἔμελλε διεξίμεναι πεδίον δε) ».
Z, 393.

Ὁ Ἕκτωρ εἰσῆλθεν εἰς ἄστυ διὰ τῶν Σκαιῶν Πυλῶν, ἐπειδὴ δὲ ὑπῆρχον καὶ ἕτεραι δι' ὧν ἠδύνατο ἐξελθεῖν, ὁ Ποιητὴς ἀκριβολογῶν λέγει ὅτι διὰ τῶν αὐτῶν πυλῶν ἔμελλεν ἐξελθεῖν.

Ἐν τοῖς λεχθεῖσι περὶ Σκαμάνδρου ἴδομεν ὅτι αἱ Σκαιαὶ Πύλαι ἦσαν πρὸς τὸ Τρωϊκὸν πεδίον, κατὰ τὸν περίβολον τῆς πόλεως τὸν μεταξὺ Σκαμάνδρου καὶ Δύω Πηγῶν, οὐχὶ πέραν αὐτῶν, ὡς εἶπον οἱ νομίσαντες Σκάμανδρον τὸν ἐκ τῶν Πηγῶν ῥύακα καὶ οἱ ἐξηγοῦντες τὸ Σκαιάς, δυτικάς. Ὁ Ἕκτωρ ἐν τῇ Τρίτῃ Μάχῃ διώξας τοὺς Ἕλληνας μέχρι τῆς τάφρου διέβη αὐτὴν καταφρονήσας τοῦ ἐπ' ἀριστερὰ φανέντος οἰωνοῦ καὶ εἰπὼν μὴ φροντίζειν ἂν οἱ οἰωνοὶ διευθύνωνται ἐπὶ τὰ δεξιὰ πρὸς Ἀνατολάς, ἢ ἐπ' ἀριστερὰ πρὸς Δύσιν.

« Εἴτ' ἐπὶ δεξι' ἴωσι πρὸς Ἠῶ τ' Ἠέλιόν τε,
» Εἴτ' ἐπ' ἀριστερὰ τοίγε ποτὶ ζόφον ἠερόεντα (1) ».
M, 239 - 240.

Οἱ προσέξαντες τοῖς λεχθεῖσι περὶ λιμένος καὶ Τρωϊκοῦ πεδίου ἀνακαλύπτουσι ῥαδίως τὴν τοπογραφικὴν ἔννοιαν τῶν στίχων. Ὁ Ποιητὴς καίτοι περιγράφων πολεμικὰ ἔργα συμβάντα ἐν χώρᾳ καλῶς ἐγνωσμένῃ ὑπὸ τῶν συγχρόνων αὐτῷ, οὐδὲν ὅμως παραλείπει δυνάμενον χειραγωγῆσαι τὸν ἀναγνώστην, ἀλλὰ φροντίζει παντὶ σθένει ὅπως ἡ χώρα ἐφ' ἧς τὰ περιγραφόμενα ἐνεργοῦνται γίνῃ γνωστὴ καὶ τοῖς μὴ ἰδοῦσι τὴν Τρωάδα.

Ὁ οὖν Ἕκτωρ ἱστάμενος πρὸ τῆς τάφρου καὶ θέλων διαβῆναι καὶ εἰσελθεῖν εἰς τὸ Ἑλλήνων στρατόπεδον, ἦν ἐστραμμένος πρὸς Ἄρκτον, εἶχε δέ, ὡς εἰκός, ἐπὶ μὲν τὰ δεξιὰ τὴν Ἀνατολὴν ἐπὶ δὲ τ' ἀριστερὰ τὴν Δύσιν. Ἀλλ' οἱ ἀγνοοῦντες τὴν στρατηγικὴν ἀξίαν τῶν περιγραφῶν τῆς Ἰλιάδος καὶ νομίζοντες τὰς ἐν τῷ Ποιήματι κινήσεις τῶν πολεμούντων γίνεσθαι ἐν τῷ αἰθέρι, ἐν χώρᾳ φαντασιώδει οὐχὶ δὲ ἀληθινῇ, ἐξέλαβον ἀεὶ καὶ πάντοθι τὸ μὲν «ἐπὶ δεξιὰ» ἔχειν σχέσιν πρὸς τὴν Ἀνατολὴν τὸ τὸ δ' « ἐπ' ἀριστερὰ » πρὸς τὴν Δύσιν καὶ ἀπεφάνθησαν τὸν μὲν «δεξιὸν» σημαίνειν ἐν τοῖς Ὁμηρικοῦς Ποιήμα-

(1) Ἄς ἐφαρμώσῃ ὁ ἀναγνώστης ἐπὶ τοῦ Πίνακος Β, τὰ ἔπη καὶ τὴν Ἕκτορος θέσιν πρὸ τῆς Τάφρου, ἵνα ἐννοήσῃ τὰς διευθύνσεις καὶ τὴν Ὁμήρου ἀκρίβειαν.

σιν ἀνατολικόν, τὸν δὲ «ἀριστερὸν ἢ σκαιὸν» δυτικόν. Ἐκ τῆς ἀλλοκότου δὲ ταύτης ἐξηγήσεως προῆλθε καὶ ὁ δῆθεν ἐπὶ Ὁμήρου νόμος τῆς Μαντικῆς καθ' ὃν οἱ οἰωνιζόμενοι ἦσαν ἀεὶ πρὸς Ἄρκτον ἐστραμμένοι, καθ' ὃν δεξιοὶ μὲν οἰωνοὶ ἦσαν οἱ πρὸς Ἀνατολὰς διευθυνόμενοι, ἀριστεροὶ δὲ οἱ πρὸς Δυσμάς· ὡς ἂν ὁ Ἕκτωρ ἵστατο κεχηνὼς πρὸ τῆς τάφρου περιμένων οἰωνούς, αὐτὸς ὁ καταφρονῶν τοῦ οἰωνοῦ καὶ μόνον τοὺς πολεμίους καταπολεμῆσαι βουλόμενος· ἢ ὡς ἂν τὰ πτηνὰ μόνον ἀπ' Ἀνατολῶν εἰς Δύσιν ἢ ἀπὸ Δύσεως εἰς Ἀνατολὰς ἵπταντο. Ἀλλ' ἵνα καταφανέστερον γίνῃ τὸ ἄτοπον τῶν ἐξηγήσεων καὶ τοῦ ὑποτεθέντος τῇ Μαντικῇ νόμου ἃς ἐξετάσωμεν τὸν δεξιὸν οἰωνὸν ὃν οἰωνίσθησαν Διομήδης καὶ Ὀδυσσεὺς πορευόμενοι διὰ νυκτὸς ἀπὸ τοῦ Ἑλληνικοῦ εἰς τὸ Τρωϊκὸν στρατόπεδον ἐπὶ κατασκοπείαν. Οἱ Τρῶες μετὰ τὴν Δευτέραν Μάχην λήξασαν ἕνεκα τῆς ἐπελθούσης νυκτός, ἔμειναν ἐν μέσῳ πεδίῳ, στρατοπεδευσάμενοι παρὰ τῷ πόρῳ Σκαμάνδρου (Θ, 485-565)· Διομήδης ἄρα καὶ Ὀδυσσεὺς ἀπὸ τῆς Τάφρου κινηθέντες (Κ, 194-298) καὶ πρὸς τὴν Ἴδην ἐστραμμένοι ὄντες, ὥδευον πορείαν ἀντίθετον τῇ πορείᾳ Ἕκτορος διαβαίνοντος τὴν Τάφρον καὶ πρὸς τὸν Ἑλλήσποντον διευθυνομένου· καὶ ὅμως οἰωνίσθησαν, μὴ ἰδόντες μὲν ἕνεκα τοῦ σκότους, τὸν ἐπὶ τὰ δεξιὰ αὐτῶν πτάντα ἐρωδιὸν ἀλλ' ἀκούσαντες τῆς κλαγγῆς.

« τοῖσι δὲ δεξιὸν ἧκεν ἐρωδιὸν ἐγγὺς ὁδοῖο
» Παλλὰς Ἀθηναίη· τοὶ δ' οὐκ ἴδον ὀφθαλμοῖσιν
» νύκτα δ' ὀρφναίην ἀλλὰ κλάγξαντος ἄκουσαν ».

Κ, 274-.

Εἰ οὖν Ἕκτωρ πρὸς Ἄρκτον ἦν ἐστραμμένος, ἐξ ἀνάγκης ὅτε Διομήδης καὶ Ὀδυσσεὺς ἦσαν ἐστραμμένοι πρὸς Μεσημβρίαν· ὁ οἰωνὸς ἄρα ὁ δεξιός, τῷ μὲν Ἕκτορι ἔχοντι τὴν δεξιὰν πρὸς Ἀνατολὰς ἦν ἀνατολικός, τοῖς δὲ Διομήδει καὶ Ὀδυσσεῖ ἔχουσι τὴν δεξιὰν πρὸς Δυσμάς, ἦν δυτικός. Οὕτως αἱ ἐξηγήσεις καὶ ὁ τῆς οἰωνοσκοπικῆς νόμος τῶν Choiseul καὶ Gladestone διὰ μιᾶς καταρρέουσιν. Οὐδεὶς νόμος μαντικῆς ἐξέταζε, κατά γε τὴν Ἰλιάδα, τὴν θέσιν τοῦ οἰωνιζομένου, ἐπειδὴ πολλάκις οἱ οἰωνοὶ ἐφαίνοντο αὐτόκλητοι, ἐνίοτε δὲ καὶ ἀκόντων τῶν ἀνθρώπων, ὡς συνέβη τῷ Ἕκτορι· ἦσαν δὲ δεξιοὶ μὲν ὅταν ἐφαίνοντο ἢ ἠκούοντο ἐπὶ τὰ δεξιά, ἀριστεροὶ δὲ ὅταν ἐπὶ τ' ἀριστερὰ τοῦ οἰωνιζομένου ἐφαίνοντο ἢ ἠκούοντο· ἀδιάφορον δὲ ἦν ἂν ὁ οἰωνιζόμενος ἑώρα πρὸς Ἄρκτον ἢ πρὸς Μεσημβρίαν, πρὸς Ἀνατολὰς ἢ πρὸς Δύσιν.

Καὶ αἱ Σκαιαὶ τοίνυν Πύλαι ἀτόπως Δυτικαὶ ὠνομάσθησαν καὶ ὑπό τινων κατὰ τὴν δυτικὴν ὅλως πλευρὰν τοῦ Ἰλίου ἐσημειώθησαν. Κατ' ἐμὲ αἱ Σκαιαὶ Πύλαι ὠνομάσθησαν σκαιαί, ὡς οὖσαι ἐπ' ἀριστερὰ τοῦ ἱσταμένου

ἐν τῷ μέσῳ τῆς πόλεως ἢ διὰ μέσου τῆς πόλεως εἰς τὰ τείχη ἐρχομένου καὶ ὁρῶντος πρὸς τὸ Τρωϊκὸν πεδίον. Αὐτὸς ὁ Ὅμηρος διὰ δραματικοῦ τρόπου καταμετρῶν τὸν χρόνον καὶ τὰ διαστήματα ἐξηγεῖ ὅτι αἱ Σκαιαὶ Πύλαι ἀπεῖχον μείζονα ἀπόστασιν ἀπὸ τοῦ Σκαμάνδρου ἢ ἀπὸ τῶν Δύο Πηγῶν. Ὡς ἀνωτέρω εἴδομεν ὁ Ἀχιλλεὺς διέτρεξεν ἅπασαν τὴν μεταξὺ Σκαμάνδρου καὶ Δύω Πηγῶν γραμμὴν τὴν ὑπὸ τὴν πόλιν παρερχομένην (Χ, 14-148). Ἡ μὲν δὴ ἀπὸ τοῦ Ποταμοῦ πρὸς τὸ ἄστυ τοῦ Πηλείδου πορεία, ἄρχεται ἀπὸ τοῦ 21ου στίχου τῆς Ραψωδ. Χ,

« Ὡς εἰπὼν προτὶ ἄστυ μέγα φρονέων ἐβεβήκει »·

ἡ δὲ εἰς τὰς Σκαιὰς Πύλας ἄφιξις δηλοῦται ἐν στίχῳ 131ῳ τῆς αὐτῆς Ραψωδίας·

« Ὣς ὥρμαινε μένων· ὁ δέ οἱ σχεδὸν ἦλθεν Ἀχιλλεύς ».

ἤγουν ὁ Ποιητὴς καταναλίσκει ἕνδεκα καὶ ἑκατὸν στίχους, εἰσάγων τοὺς μετὰ δακρύων λόγους Πριάμου καὶ Ἑκάβης πρὸς τὸν υἱόν, ἔτι δὲ τὴν Ἕκτορος πρὸς ἑαυτὸν ἀποστροφήν, ἐπισόδεια συμβαίνοντα ἐν ᾧ χρόνῳ Ἀχιλλεὺς ὥδευεν ἀπὸ Σκαμάνδρου εἰς Σκαιὰς Πύλας καὶ μετροῦντα, οὕτως εἰπεῖν, τὴν ἀπόστασιν. Διὰ δὲ τὴν ἀπὸ

Σκαιῶν Πυλῶν εἰς Δύο Πηγὰς τῶν δύο ἀντιπάλων ἡρώων ἄφιξιν, μόνον δέκα στίχοι καταναλίσκονται, ἀπὸ τοῦ 137ου

» . . . . ὀπίσω δὲ πύλας λίπε, βῆ δὲ φοβηθείς ».

μέχρι τοῦ 147ου

» κρουνὼ δ' ἵκανον καλλιρρόω, ἔνθα δέ πηγαί ».

Ἐπὶ τοῦ Πίνακος Β σημειοῦμεν τὴν πιθανὴν τῶν Σκαιῶν Πυλῶν θέσιν, τιθέμενοι πρὸ αὐτῶν καὶ τὴν Φηγὸν δένδρον περὶ οὗ μετ' οὐ πολὺ ποιησόμεθα λόγον.

Ἵνα δὲ μὴ καὶ πάλιν ἐπανέλθωμεν περὶ τὰ τοιαῦτα ἐπιτραπήτω μοι εἰπεῖν ὀλίγα καὶ περὶ τῶν ἐξηγήσεων ἃς Γλάδστων ἀπονέμει ταῖς λέξεσι « δεξιὸς καὶ ἀριστερὸς ἢ σκαιὸς » καὶ τῷ ἐπιρρήματι « ἐνδέξια ἢ ἐπιδέξια ».

Οἱ ἀναγνόντες τὰς « περὶ Ὁμήρου καὶ τῶν Ὁμηρικῶν χρόνων μελέτας » αὐτοῦ, ἴσασιν ὅτι ὁ ἔνδοξος οὗτος πολιτικὸς ἅμα δὲ καὶ Ὁμηριστὴς νομίζει τὴν Ὀδυσσέως πλάνην γενέσθαι οὐχὶ πρὸς Δυσμὰς ἀλλὰ πρὸς Ἀνατολὰς τῆς Ἑλλάδος· γνώμη καὶ πάλαι ὑπό τινων ἐκφρασθεῖσα καὶ μετ' ἐπιστασίας ἐν τοῖς Γεωγγραφικοῖς ὑπὸ Στράβωνος βασανιζομένη. Κατὰ Γλάδστωνα τοίνυν ἡ Ὠγυγία νῆσος ἔκειτο πρὸς Βορρᾶν, ἐπὶ γραμμῆς διαβαινούσης διὰ Πετρουπόλεως καὶ Κερκύρας (1).

(1) Ὅρα τὸν ὑπ' αὐτοῦ ἰχνογραφηθέντα πίνακα ἐν τῇ εἰρημένῃ συγγραφῇ·

Ἐπειδὴ δὲ ὁ ἐπὶ τῆς γραμμῆς ταύτης πλέων, ἀπὸ Ὠγυγίας εἰς Ἰθάκην, ἔχει τὴν Ἄρκτον ἐπὶ δεξιὰ καὶ οὐχὶ ἐπ᾽ ἀριστερὰ ὡς ἡ Καλυψὼ παραγγέλλει τῷ Ὀδυσσεῖ ἀναχωροῦντι ἀπ᾽ Ὠγυγίας,

» τὴν γὰρ (Ἄρκτον) δή μιν ἄνωγε Καλυψὼ δῖα θεάων
» ποντοπορευέμεναι ἐπ᾽ ἀριστερὰ χειρὸς ἔχοντα.

Ὀδ., Ε, 276».

ὁ Γλάδστων θέλει διὰ πολυμόχθων ἐξηγήσεων πεῖσαι ἡμᾶς ὅτι ἐπὶ Ὁμήρου αἱ φράσεις « ἐπιδεξιὰ » « ἐπ᾽ ἀριστερὰ » εἶχον ἔννοιαν ἐναντίαν τῆς ἐννοίας ἣν ἀπέδιδον αὐταῖς οἱ μετὰ τὸν Ὅμηρον καὶ ἡμεῖς οἱ νῦν Ἕλληνες. Κατὰ Γλάδστωνα ἡ θεὰ παρήγγειλε τῷ Ὀδυσσεῖ βουλομένῳ εἰς Ἰθάκην ἐλθεῖν, πλέειν ἔχοντι τὴν Ἄρκτον ἐπὶ δεξιά. Οἴεται δέ, πρὸς τούτοις, τὰς ῥηθείσας φράσεις ἔχειν ἀεὶ ἔννοιαν κινήσεως σχετικῆς πρὸς ἀλλήλας· ἡ μὲν φράσις « ἐπὶ δεξιὰ » κίνησιν ἀπ᾽ ἀριστερῶν πρὸς τὰ δεξιὰ καὶ τ᾽ ἀνάπαλιν ἡ « ἐπ᾽ ἀριστερὰ » κίνησιν ἀπὸ δεξιῶν πρὸς τὰ ἀριστερά. Ἀποφαίνεται δέ, ὅπερ καὶ ἄλλοι πρὸ αὐτοῦ εἶπον, πάσας τὰς εὐτυχεῖς κινήσεις γίνεσθαι ἀπὸ δεξιῶν πρὸς τ᾽ ἀριστερά· οἷον οἱ οἰνοχόοι οἰνοχοοῦντες. Ἀποδίδει δὲ ἰδέαν εὐτυχοῦς κινήσεως καὶ τῷ ἐπιρρήματι « ἐπιδέξια ἢ ἐνδέξια » ἤτοι κίνησιν ἀπὸ τῆς δεξιᾶς ἀρχομένην (1).

(1) Γλάδστων. Περὶ Ὁμήρου καὶ τῶν Ὁμηρικῶν χρόνων. Τόμος 3ος σελ. 349.

Οὐ μὴν ἀλλὰ τὸ « ἐπ' ἀριστερὰ » καὶ τότε καὶ νῦν, τὴν αὐτὴν εἶχεν ἔννοιαν παρὰ τοῖς Ἕλλησιν, ὡς μαρτυρεῖ ἡ Ὀδύσσεια ἐν τοῖς ἑξῆς ἔπεσιν ἐν οἷς μνημονεύονται χῶραι γνωσταὶ ἡμῖν, χῶραι ἐν τῇ αὐτῇ θέσει μένουσαι ἀπὸ Ὁμήρου καὶ ἐξηγοῦσαι ἐναργῶς τὴν ἔννοιαν τοῦ « ἐπ' ἀριστερά ».

Οἱ Ἕλληνες ὄντες ἐν Λέσβῳ ἐσκέπτοντο ποίαν τῶν εἰς Ἑλλάδα ὁδῶν λαβεῖν· τὴν ὑπεράνω Χίου, διευθύνοντες τὴν πρώραν ἐπὶ τῆς νήσου Ψυρίης (Ψαρῶν) καὶ ἔχοντες αὐτὴν τὴν Χίον ἐπ' ἀριστερά, ἢ τὴν κάτωθεν τῆς Χίου ὁδόν, παρά τὸ ὄρος Μίμαντα·

» ἢ καθύπερθε Χίοιο νεοίμεθα παιπαλοέσσης,
» νήσου ἐπὶ Ψυρίης, αὐτὴν ἐπ' ἀριστερὰ ἔχοντες,
» ἢ ὑπένερθε Χίοιο, παρ' ἠνεμόεντα Μίμαντα ».

Ὀδ., Γ, 170.

Ὁ μὲν δὴ ἀπὸ Λέσβου εἰς Ἑλλάδα πλέων καὶ λαβὼν τὴν ὁδὸν τὴν μεταξὺ ἠπείρου καὶ Χίου (« ὑπένερθε Χίοιο, παρ' ἠνεμόεντα Μίμαντα »), ἔχει τὴν Χίον ἐπὶ δεξιά· ὁ δὲ πλέων ὑπεράνω Χίου καὶ διευθύνων τὴν πρώραν ἐπὶ τῶν Ψαρῶν (« καθύπερθε Χίοιο, νήσου ἐπὶ Ψυρίης ») ἔχει τὴν Χίον ἐπ' ἀριστερά. Ἄρα ἡ ἔκφρασις « ἐπ' ἀριστερὰ » καὶ ἐπὶ Ὁμήρου τὴν αὐτὴν εἶχεν ἔννοιαν ἣν ἀεὶ ἔχει ἐν Ἑλλάδι.

Ἀπατῶνται ὁμοίως, κατά γε τὴν ἐμὴν γνώμην, οἱ

τοῦ Ὁμήρου σχολιασταὶ καὶ μεταφρασταὶ οἱ λέγοντες τὸν Ἥφαιστον οἰνοχοεῖν ἀρχόμενον ἀπὸ τῆς δεξιᾶς, ἢ ἐκ δεξιῶν, ἐν τοῖς δε·

» αὐτὰρ ὁ τοῖς ἄλλοισι θεοῖς ἐνδέξια πᾶσιν
» οἰνοχόει, γλυκὺ νέκταρ ἀπὸ κρατῆρος ἀφύσσων »
'Ιλ., Α, 597.

Καὶ τὸν κήρυκα ἀρχόμενον ἐκ δεξιῶν δεικνύειν τοῖς Ἕλλησι τὸν ἐκ τῆς περικεφαλαίας ἐξελθόντα κλῆρον·

» . . . κήρυξ δὲ φέρων ἀν' ὅμιλον ἁπάντη,
» δεῖξ' ἐνδέξια πᾶσιν ἀριστήεσσιν 'Αχαιῶν ».
'Ιλ., Η, 183.

Καὶ τὸν 'Οδυσσέα ὑποκρινόμενον τὸν πτωχόν, ἕπεσθαι τῷ αὐτῷ δῆθεν νόμῳ εὐτυχοῦς κινήσεως, καὶ αἰτεῖν ἀρχόμενον ἀπὸ δεξιῶν·

» Βῆ δ' ἴμεν αἰτήσων ἐνδέξια φῶτα ἕκαστον.
'Οδ., Ρ, 365.

Καὶ τὸν 'Αντίνοον κατὰ τὴν αὐτὴν διεύθυνσιν κελεύειν ἀναστῆναι τοὺς μνηστῆρας·

» ὄρνυσθ' ἑξείης ἐπιδέξια πάντες ἑταῖροι
» ἀρξάμενοι τοῦ χώρου ὅθεν τε οἰνοχοεύει ».
'Οδ., Φ, 141.

Κατ᾽ ἐμὲ τὸ ἐπίρρημα ἐνδέξια ἢ ἐπιδέξια ἐν τοῖς Ὁμηρικοῖς ἔπεσι, σημαίνει ὅ,τι καὶ νῦν παρ᾽ ἡμῖν, ἐπιδεξίως, ἐπιτηδείως, κομψῶς, τεχνηέντως. Οἷον ὁ Ἥφαιστος ᾠνοχόει τοῖς θεοῖς κομψῶς καὶ μετὰ τέχνης (1). Οὕτω καὶ ὁ κήρυξ ἐδείκνυεν ἐπιτηδείως καὶ μετὰ χάριτος τοῖς ἀρχηγοῖς τὸν κλῆρον· ἦσαν δὲ τότε οἱ ἀρχηγοὶ ἀναμεμιγμένοι τῷ ὁμίλῳ οὐχὶ παρατεταγμένοι ἐν τάξει·

» κήρυξ φέρων ἀν ὅμιλον ἁπάντῃ »

πῶς οὖν ἠδύνατο τηρῆσαι ὁ κήρυξ τὴν ὑποτιθεμένην διεύθυνσιν;

Ὁμοίως ὁ Ὀδυσσεὺς ὑποκρίνεται τὸν πτωχὸν καὶ αἰτεῖ ἐπιτηδείως παρ᾽ ἑκάστου

» βῆ δ᾽ ἴμεν αἰτήσων ἐνδέξια φῶτα ἕκαστον »

ἐνταῦθα μάλιστα ὁ ἑπόμενος στίχος ἐξηγεῖ τὸ ἐνδέξια·

» πάντοσε χεῖρ᾽ ὀρέγων, ὡς εἰ πτωχὸς πάλαι εἴη »

ἤγουν τόσον ἐνδέξια, τόσον ἐπιτηδείως ᾔτει, ὡς ἂν πρὸ

(1) Οὕτω λέγει καὶ Ξενοφῶν ἐν Κύρου Παιδείᾳ — « Οἱ δὲ τῶν βασιλέων τούτων οἰνοχόοι κομψῶς τε οἰνοχοοῦσι καὶ καθαρίως ἐγχέουσι, καὶ διδόασι τοῖς τρισὶ δακτύλοις ὀχοῦντες τὴν φιάλην καὶ προσφέρουσιν, ὡς ἂν ἐνδοῖεν τὸ ἔκπωμα εὐληπτότατα τῷ μέλλοντι πίνειν ». — Βιβλ. Α΄. Κεφ. γ΄.

πολλοῦ ἦν ἠσκημένος εἰς τὸ τοῦ πτωχοῦ ἐπιτήδευμα.

Ὁμοίως ὁ Ἀντίνοος ἑξῆς καὶ ἐν τάξει συμβουλεύει ἀναστῆναι τοὺς μνηστῆρας·

» ὄρνυσθ' ἑξείης ἐπιδέξια πάντες ἑταῖροι »

εὐθὺς δὲ ἐξηγεῖ αὐτοῖς καὶ πόθεν ἔδει ἄρξεσθαι τῆς ἀναστάσεως, πρὸς ἀποφυγὴν ἀταξίας·

» ἀρξάμενοι τοῦ χώρου ὅθεν τε οἰνοχοεύει »

στίχος ὅλως περιττός, ἐπεξήγησις πάντη ματαία, ἂν τὸ ἐπιδέξια ἐσήμαινεν ἀπὸ δεξιῶν.

ΠΕΡΙ ΔΥΟ ΠΗΓΩΝ.

Ὡς οὖν πρὸ μικροῦ εἴπομεν αἱ παρὰ τῇ κώμῃ Βουνάρβασὶ δύο πηγαὶ εἰσὶν αἱ τῆς Ἰλιάδος « δοιαὶ πηγαὶ Σκαμάνδρου ». Τοῦτο μαρτυροῦσιν ἥ τε θέσις καὶ ἡ ἀλλοία αὐτῶν φύσις· τῆς μὲν γὰρ πλησιεστέρας τῷ πεδίῳ τὸ ὕδωρ, εἴτε ἀπὸ βαθυτέρου ἐν τῇ γῇ φυσικοῦ ὀχετοῦ ῥέον, εἴτε δι' ἄλλην αἰτίαν, ἐν ὥρᾳ χειμῶνος καὶ ψύχους ἰσχυροῦ, ἔτι καὶ νῦν, ὡς ἐπὶ τῶν Τρωϊκῶν, περικαλύπτεται

ἀτμῷ ἤ, ὡς λέγει ὁ Ποιητής, καπνῷ, συμπυκνουμένου τοῦ περὶ τὴν πηγὴν ἀέρος·

» ἀμφὶ δὲ καπνὸς
» γίγνεται ἐξ αὐτῆς ὡσεὶ πυρὸς αἰθομένοιο ».

τῆς δ' ἑτέρας, τῆς ἀνωτέρωθεν ρεούσης, τὸ ὕδωρ οὐ περιβάλλεται ἀτμῷ.

« Τὴν δεκάτην Φεβρουαρίου 1787, λέγει Choiseul » Gouffier, τῆς ἀτμοσφαίρας οὔσης θερμῆς κατὰ » δέκα βαθμοὺς ὑπεράνω τοῦ πάγου, τὸ θερμόμετρον » Réaumur ἀνέβη ἐν μὲν τῇ θερμῇ πηγῇ εἰς τὸν εἰκο- » στὸν δεύτερον βαθμόν, ἐν δὲ τῇ ἑτέρᾳ εἰς τὸν ὄγδοον » μόνον, ἤγουν τὸ ὕδωρ ταύτης ἦν κατά τι ψυχρότε- » ρον τῆς ἀτμοσφαίρας » (1). Ἀλλ' ἐπειδὴ οὐδεὶς πρὸ αὐτοῦ οὐδὲ μετ' αὐτὸν εὗρε θερμοκρασίαν τόσον μὲν ὑψηλὴν ἐν τῇ χαμηλῇ πηγῇ, τόσον δὲ ψυχρὰν ἐν τῇ ἑτέρᾳ, βεβαίως ἔσφαλεν ἢ ἐπελάθετο γράφων ταῦτα ὁ Choiseul Gouffier. Ὁ μὲν Clarke ἐν μηνὶ Μαρτίῳ εὗρε τὴν θερμοκρασίαν ἐν ἀμφοτέραις ταῖς πηγαῖς 62° Fahrenheit. Ὁ δε Hobhouse ἐν μηνὶ Ἀπριλίῳ 64°. Ὁ δὲ Barker Webb ἐν μηνὶ Σεπτεμβρίῳ 63°. Ὁ δε Forchammer 63°-64°. Ὁ δὲ Rudolf Virchow 16°-17° ἑκατοβάθμου θερμομέτρου. Ὥστε κατὰ τὰς μέχρι τοῦδε

(1) Voyage Pittoresque de la Grèce, Tome 2e Σελ. 269.

γενομένας καταμετρήσεις ἡ τῶν Πηγῶν θερμοκρασία εὑρέθη οὖσα περὶ τοὺς 62° Fahrenheit (16° ἑκατοβάθμ. ἢ 14° Réaumur). Καί τινες μὲν εὗρον κατὰ ἕνα βαθμὸν θερμοτέραν τὴν χαμηλὴν πηγήν, ἕτεροι δὲ οὐδεμίαν εὗρον διαφοράν.

Τὰ μὲν οὖν τῶν πηγῶν τούτων ὕδατα, ὡς καὶ πάντα τὰ ὕδατα, πηγαῖα, φρεάτεια ἢ θαλάσσια, ἔχοντα θερμοκρασίαν περὶ τοὺς 14° Réaumur, κατὰ μὲν τὸ θέρος, ὅτε τὸ θερμόμετρον τοῦτο παρ' ἡμῖν ἀναβαίνει μέχρι 30°, ἐν δὲ τῷ ἡλίῳ μέχρι 45°, εἰσὶν ἢ φαίνονται ψυχρότατα· τὸν δὲ χειμῶνα, ὅτε τὸ θερμόμετρον πλησιάζει τῷ μηδενί, ἤτοι τῇ πήξει τῶν ὑδάτων, φαίνονται χλιαρά.

Διατί δὲ μόνον ἡ χαμηλὴ τῶν πηγῶν περικαλύπτεται ἀτμῷ κατὰ τὰ σφοδρὰ ψύχη; Βεβαίως διὰ τὸ εἶναι αὐτὴν θερμοτέραν τῆς ἑτέρας, ἔστω καὶ κατὰ ἕνα βαθμὸν ὥς τινες τῶν περιηγητῶν εὗρον· ἀδύνατον ἄλλως ἐξηγῆσαι τὸ φαινόμενον ἐν τῇ πηγῇ ταύτῃ. Πιθανὸν δὲ καὶ πλέον ἑνὸς βαθμοῦ εἶναι θερμοτέραν ταύτην κατά τε τὰς θερμοτέρας τοῦ ἔτους ἡμέρας καὶ κατὰ τὰς ψυχροτέρας, ἰδίᾳ δὲ ὅταν ἀναφαίνεται περὶ αὐτὴν ὁ ἀτμός. Ἀλλ' οὐδεὶς μέχρι τοῦδε κατεμέτρησε τὴν θερμοκρασίαν τῶν πηγῶν ἐν χειμῶνι κατὰ τὴν ἀναφάνισιν τοῦ ἀτμοῦ ἐπὶ τῆς εἰρημένης πηγῆς.

Οἱ δὲ λέγοντες μὲν ὁμοίαν εἶναι τὴν θερμοκρασίαν ἀμφοτέρων τῶν πηγῶν, ἐξηγοῦντες δὲ τὴν ἀναδρομὴν

καὶ αἰώρησιν τοῦ ἀτμοῦ ἐν τῇ χαμηλῇ μόνον, διὰ τὸ ἀναβλύζειν αὐτὴν ἐν βόθρῳ καὶ ἐκτείνεσθαι ἐν τῇ δεξαμενῇ διατηροῦσαν τὴν ἀρχικὴν αὐτῆς θερμοκρασίαν, προφανῶς ἀντιφάσκουσι πρὸς ἑαυτούς· ἔδει γὰρ διὰ τὴν αὐτὴν αἰτίαν ψυχροτέραν εἶναι τὴν πηγὴν ταύτην ἐν θέρει. Ἡ τοῦ ἀτμοῦ ἐμφάνισις ἐν τῇ χαμηλῇ μόνον πηγῇ ὑποτίθησιν ἐξ ἀνάγκης, ἢ ὅτι τὸ ὕδωρ ταύτης ἐστὶν ἐκ φύσεως θερμότερον, ἢ ὅτι οὐκ ἔστι μὲν θερμότερον τοῦ ὕδατος τῆς ἑτέρας πηγῆς, ἀλλ' ἀναβλύζον ἐν βόθρῳ καὶ ἐκτεινόμενον ἐν τῇ δεξαμενῇ ἐπηρεάζεται ὑπὸ τοῦ ψύχους καὶ θάλπους οὐχὶ ὡς ἐπηρεάζεται τὸ ὕδωρ τῆς ἑτέρας, ἀλλὰ κατὰ τρόπον ἀλλοῖον μὴ ἐξηγηθέντα μέχρι τοῦδε.

Σφάλλουσι δὲ οἱ εἰπόντες μὴ εἶναι ταύτας τὰς Δοιὰς πηγὰς Ὁμήρου, διὰ τὸ μὴ μόνον δύω ἀλλὰ πολλὰς ῥέειν ἐνταῦθα πηγάς. Ὁ ποιητὴς ἔχρῃζε σημείων τοπογραφικῶν ὅπως ὁρίσῃ τὸν χῶρον καθ' ὃν Ἕκτωρ ἐφονεύθη· εὑρίσκων οὖν ἐκεῖ παρὰ τὴν ἁμαξιτὸν τὰς δύω πρώτας πηγὰς τὰς τῷ Ἰλίῳ πλησιεστέρας, ταύτας περιέγραψε μὴ φροντίζων περὶ τῶν λοιπῶν ὧν οὐκ ἐδεῖτο. Ἄλλως τε δὲ καὶ νῦν, αἱ αὐταὶ πηγαὶ ἃς ὁ Ποιητὴς περιέγραψε, Βουνὰρ-βασὶ καλοῦνται ὑπὸ τῶν ἐγχωρίων, ἤτοι πρῶται, κύριαι πηγαί, ἀφ' οὗ ὀνόματος οἵ τε παρακείμενοι λόφοι καὶ ἡ Ὀθωμανικὴ κώμη Βουνὰρ-βασὶ ὠνομάσθησαν· αἱ δὲ λοιπαὶ καὶ πολλαὶ Κιρκόζε λέγονται.

Οὐ μόνον δὲ κατὰ τοὺς ἡμετέρους χρόνους ἀλλὰ καὶ τὸ πάλαι πολλὰ ἐλέχθησαν ἄτοπα περὶ τῶν Δύω Πηγῶν τῆς Ἰλιάδος, μὴ ἐξηγηθέντων καλῶς τῶν ἐπῶν τῶν περιγραφόντων αὐτάς. Ἐνομίσθη, καὶ νομίζεται ἔτι ὑπὸ πολλῶν, τὴν μίαν τῶν πηγῶν θερμὴν εἶναι καθ' Ὅμηρον. Οὕτως ἐνόμιζε καὶ ὁ ἐκ Σκήψιος Δημήτριος· μὴ εὑρὼν δὲ πηγὴν θερμὴν παρὰ τῷ Ἰλίῳ, ὑπέθεσεν ἀφανισθῆναι αὐτὴν ὑπὸ σεισμοῦ (1). Οἱ πλεῖστοι δὲ μετὰ τὸν Σκήψιον τὴν αὐτὴν ἀπεφήναντο γνώμην, ὡς καὶ ἐγὼ ἐν τῇ Γαλλιστὶ ἐκδοθείσῃ Τοπογραφίᾳ Ἰλιάδος, ἀποδοὺς τὸν ἀφανισμὸν τοῦ θερμοῦ ὕδατος εἰς γεωλογικὸν πάθημα τῆς χώρας ἣν ὑπογείως διήρχετο (2). Μόνον δὲ πρὸ μικροῦ ἀναγινώσκων καὶ πάλιν τὰ ἐν Ἰλιάδι περὶ τῶν Δύο Πηγῶν, αἴφνης ἡ λέξις θέρεϊ ὑπέδειξέ μοι τὴν ἀληθῆ τῶν ἐπῶν ἔννοιαν. Ἐν Ἰλιάδι οὐδεὶς γίνεται λόγος περὶ θερμῆς πηγῆς ἢ ζέοντος καὶ ὡς πῦρ καίοντος ὕδατος, ἀλλὰ περιγράφεται πιστῶς πάθημα φυσικὸν σύνηθες κατὰ τὰ σφοδρὰ ψύχη καὶ ἐν ἄλλαις πηγαῖς.

(1) «Τὰ μὲν οὖν θερμὰ ἐκλελεῖφθαι εἰκός. τὸ δὲ ψυχρὸν κατὰ διάδυσιν ὑπεκρέον ἐκ τοῦ Σκαμάνδρου κατὰ τοῦτ' ἀνατέλλειν τὸ χωρίον» Στραβ· Γεωγρ· ΙΓ. ΙΓ· 602. Ἐξ ὧν δῆλον ἐρημοτάτην εἶναι τότε τὴν Τρωϊκήν· οὔτε γὰρ ἐν χειμῶνι εἶδεν ὁ Σκήψιος τὰς πηγάς, οὔτε παρ' ἄλλου ἤκουσε περὶ πηγῆς καλυπτομένης ὑπὸ ἀτμοῦ κατὰ τὰ σφοδρὰ ψύχη.

(2) Topographie et Stratigique de l'Iliade Paris 1867. Ἔνθα πρὸς τοῖς ἄλλοις ἐσφαλμένως ἐλέχθη ἀμφοτέρας τὰς πηγὰς καλύπτεσθαι ὑπ' ἀτμοῦ ἐν χειμῶνι· τούτου τῇ μιᾷ μόνον συμβαίνοντος, τῇ ἐν τῇ δεξαμενῇ ῥεούσῃ.

« κρουνὼ δ' ἵκανον καλλιρρόω, ἔνθα δὲ πηγαὶ
» δοιαὶ ἀναΐσσουσι Σκαμάνδρου δινήεντος·
» ἡ μὲν γάρ θ' ὕδατι λιαρῷ ῥέει, ἀμφὶ δὲ καπνὸς
» γίνεται ἐξ αὐτῆς, ὡσεὶ πυρὸς αἰθομένοιο·
» ἡ δ' ἑτέρη θέρεϊ προρέει εἰκεῖα χαλάζῃ
» ἢ χιόνι ψυχρῇ ἢ ἐξ ὕδατος κρυστάλλῳ. »

X, 147-.

Τὸ μὲν οὖν « ὡσεὶ πυρὸς αἰθομένοιο » ἀναφέρεται ἐναργῶς εἰς τὸ « καπνός ». Ὁ Ὅμηρος λέγει τὸν περὶ τὴν πηγὴν καπνὸν εἶναι ὅμοιον τῷ καπνῷ τοῦ καιομένου πυρός. Ἀλλ' ὁ Barker Webb (Topographie de la Troade Σελὶς 31) καὶ ἕτεροι, ἔσφαλον νομίσαντες τὸ « πυρὸς αἰθομένοιο » ἀναφέρεσθαι εἰς τὸ « ὕδατι λιαρῷ » καὶ ἐξηγήσαντες μίαν τῶν πηγῶν καίειν δίκην πυρός· « l'une d'elles brûlante comme le feu ».

Ἀξιοσημείωτος δὲ καὶ ἡ διπλῆ ἔννοια τοῦ ἐπιθέτου δοιαὶ ἐνταῦθα, ἔννοια ἀριθμητικὴ ἅμα δὲ καὶ ποιότητος· οὐ περὶ δύω ἁπλῶς πηγῶν ὁ λόγος, ἀλλὰ περὶ δύο πηγῶν ἀνομοίων πρὸς ἀλλήλας. Τοῦτο σαφηνίζει ὁ ἐπερχόμενος αἰτιολογικὸς σύνδεσμος γὰρ καὶ ἡ περιγραφὴ τῶν πηγῶν. Τὴν αὐτὴν ἔννοιαν ἔχουσιν ἐν Ὀδυσσείᾳ αἱ δοιαὶ πύλαι τῶν ὀνείρων.

« δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων·
» αἱ μὲν γὰρ κεράεσσι τετεύχαται, αἱ δ' ἐλέφαντι »

Τ, 562-.

Ὁμοίως ἄξια προσοχῆς δοκοῦσι μοι τὰ ῥήματα οἷς χρῆται Ὅμηρος ἐν τῇ περιγραφῇ τῶν Δύο Πηγῶν, λέγων τὴν μὲν ῥέειν, τὴν δ' ἑτέραν προρέειν. Ἔτι γὰρ καὶ νῦν ἡ μὲν κατωτέρω κειμένη καὶ ἀφανῶς ἐν τῇ δεξαμενῇ ἀναβλύζουσα, ῥέει ἡσύχως καὶ ἄνευ θορύβου· περὶ αὐτὴν δὲ μόνην ἐν ὥρᾳ χειμῶνος καὶ ψύχους σφοδροῦ ἀναφαίνεται ἀτμός. Ἡ δ' ἑτέρα, ἡ ἀνωτέρω τῆς πρώτης, ῥέει ζωηρὰ καὶ μετὰ φλοίσβου ἀμέσως ἀπὸ τῆς πέτρας. Ἴσως οὖν διὰ τοῦτο ὁ Ποιητὴς εἶπε ταύτην προρέειν.

Τελευταῖον δὲ καὶ σπουδαιότερον φαίνεταί μοι, ἡ ἐσφαλμένη ἐξήγησις τοῦ ἐπιθέτου λιαρὸς («ἡ μὲν γάρ θ' ὕδατι λιαρῷ ῥέει»), ὡς ἴσου ὄντος τῷ θερμός. Ὁ ἐκ Σκήψιος Δημήτριος, ὡς πρὸ μικροῦ ἔλεγον, μὴ ἰδὼν τὰς Δύω Πηγὰς ἐν ὥρᾳ παγετοῦ, ὅτε ἡ μία αὐτῶν περιβάλλεται ἀτμῷ, καὶ μὴ ἐννοήσας καλῶς τὰ ἔπη, ἐνόμιζε τὸν Ὅμηρον λέγειν τὴν μὲν τῶν Πηγῶν ἀεὶ θερμὴν εἶναι, τὴν δ' ἑτέραν ψυχράν. Ἐμμένων τοίνυν ἐν τῇ ἀπάτῃ, λέγει «ἡ μὲν γάρ θ' ὕδατι λιαρῷ ῥέει» ὅ ἐστι θερμῷ». Ὁ δὲ Στράβων μὴ περιελθών, ὡς εἰκός, οὐδ' αὐτὸς τὴν ἔρημον Τροίαν ἐν ὥρᾳ χειμῶνος καὶ ἀγνοῶν τὸ συμβαῖνον ἐπὶ τὴν μίαν τῶν πηγῶν κατὰ τὰ σφοδρὰ ψύχη, ἐᾷ ἀνεξέλεγκτον κατά γε τοῦτο τὸν Σκήψιον (1).

Τὸ λιαρὸς ἐν Ἰλιάδι τε καὶ Ὀδυσσείᾳ ἔστιν ἶσον

(1) Στραβ. Γεωγρ. Βιβλ. ΙΓ'. Κεφ. 602. Οἱ πλεῖστοι ὅμως τῶν μεταφραστῶν ἐξηγοῦσι τὸ λιαρὸν οὐχὶ θερμὸν ἀλλὰ χλιαρόν.

τῷ ἡμετέρῳ «χλιαρὸς» (tepidus), σημαῖνον θερμοκρασίαν ἐν τοῖς ὑγροῖς κατά τι ἀνωτέραν τῆς τοῦ ἀέρος. Οἷον ἡ θάλασσα, τὰ φρεάτεια καὶ πηγαῖα ὕδατα, ἔχοντα θερμότητα 12°-15° Réaumur, φαίνονται (τῇ ἀφῇ) καὶ λέγονται χλιαρὰ κατὰ τὸν χειμῶνα, ὅταν ὁ ἀὴρ ἔχῃ θερμότητα, μόνον 5°-8°. Τ' αὐτὰ ὕδατα, τὴν αὐτὴν περίπου ἔχοντα θερμότητα, φαίνονται καὶ λέγονται ψυχρὰ κατὰ τὸ θέρος, ὅταν ὁ ἀὴρ ἔχῃ θερμότητα 20° ἢ καὶ πλέον. Διὰ χλιαροῦ ὕδατος ἔπλυνον, ὡς καὶ νῦν, τὰ τραύματα καὶ τὰς πληγάς.

Οὕτω Πάτροκλος πλύνει τὸν Εὐρυπύλου μηρόν·

« . . . ἀπ' αὐτοῦ δ' αἷμα κελαινὸν
» νίζ' ὕδατι λ ι α ρ ῷ· ἐπὶ δὲ ῥίζαν βάλε πικρήν ».

Ἰλ, Λ. 845-.

Ὁμοίως διὰ χλιαροῦ ὕδατος ἔπλυνον τοὺς νεκρούς·

« κάτθεμεν ἐν λεχέεσσι καθήραντες χρόα καλὸν
» ὕδατι τε λιαρῷ καὶ ἀλείφατι ».

Ὀδ., Ω, 44-.

Κατὰ μεταφορὰν δὲ λέγεται λιαρὸς καὶ ὁ γλυκὺς καὶ εὐάρεστος ὕπνος·

« . . . τῷ δ' ὕπνον ἀπήμονά τε λιαρόν τε
» χεύῃ ἐπὶ βλεφάροισιν. . .

Ἰλ., Ξ. 164-.

Καὶ ὁ ἐλαφρὸς καὶ γλυκὺς οὔριος ἄνεμος

« οὖρον δὲ προέηκεν ἀπήμονά τε λιαρόν τε ».
'Οδύσ. Ε, 268.

Καὶ τὸ αἷμα δὲ τὸ λιαρὸν τοῦ βεβλημένου ἐλάφου χλιαρὸν ἐξηγητέον διὰ τὴν ἀπώλειαν θερμότητος ἐκ τῆς πληγῆς βαθμηδὸν προελθοῦσαν.

« φεύγων (ὁ βεβλημένος ἔλαφος) ὄφρ' αἷμα λιαρὸν καὶ γούνατ' ὀρώρῃ ».
'Ιλ. Λ, 477.

Μετὰ τὴν παρέκβασιν ταύτην ἂς ἐπανέλθωμεν εἰς τὴν περιγραφὴν τῶν Δύο Πηγῶν.

Ἡ μὲν οὖν ῥέει χλιαρῷ ὕδατι καὶ ἐξ αὐτῆς γίνεται καπνὸς περὶ αὐτήν, ὅμοιος καπνῷ πυρὸς καιομένου. Πότε δὲ τοῦτο συνέβαινεν; ἐν ὥρᾳ χειμῶνος, ὡς καὶ νῦν, ψυχραινομένης τῆς ἀτμοσφαίρας (ἢ ἀέρος), τοῦ δὲ ὕδατος τῆς πηγῆς διατηροῦντος σχεδὸν ἀμετάβλητον τὴν θερμοκρασίαν, ὡς ῥέοντος ὑπογείως διὰ φυσικοῦ ὀχετοῦ ὀλίγον ἐπιρρεαζομένου ὑπὸ τῶν ἐπὶ γῆς μεταβολῶν ψύχους καὶ θάλπους. Καὶ τὴν μὲν χλιαρότητα αἰσθανόμεθα καὶ ἐν τοῖς ὕδασι τῶν φρεάτων κατὰ τὸν χειμῶνα καὶ ἐν τῇ θαλάσσῃ, ὡς οὐ ῥᾳδίως ἐν αὐτοῖς εἰσχωροῦντος τοῦ ψύχους, τὸν δὲ ἀτμὸν βλέπομεν περί τινας πηγὰς κατὰ τὰ μεγάλα ψύχη, συμπυκνουμένου τοῦ περὶ αὐτὰς ἀέρος ὡς πολὺ θερμοτέρου ὄντος τῆς ἄλλης ἀτμοσφαίρας. Διὰ τὴν

αὐτὴν αἰτιαν καὶ ἡ ἀναπνοὴ ἡμῶν κατὰ τὰ σφοδρὰ ψύχη συμπυκνοῦται περὶ τὸ στόμα εἰς ἀτμόν, ἢ ὡς λέγει Ὅμηρος εἰς καπνὸν ὅμοιον πυρὸς καιομένου.

Ὅτι δὲ τοῦτο συνέβαινε τὸν χειμῶνα σαφηνίζει ὁ Ποιητὴς περιγράφων τὴν ἑτέραν τῶν Πηγῶν καὶ λέγων εὐθύς, ἐν ὥρᾳ θέρους προρέειν αὐτὴν ψυχρὰν ὡς χάλαζαν, χιόνα ἢ πάγον.

« Ἡ δ' ἑτέρη θέρεϊ προρέει εἰκυῖα χαλάζῃ ».

Οὐδεὶς μέχρι τοῦδε ἀναγινώσκων τὰ ἔπη ταῦτα, ἐσκέφθη ὅτι ἐπὶ χλιαροῦ ὕδατος, μόνον ἐν ὥρᾳ χειμῶνος καὶ σφοδροῦ ψύχους φαίνεται ἀτμός, οὐδ' ἐννόησε τὴν δι' ἀντιθέσεως ἐξήγησιν τοῦ ἐν τῇ πρώτῃ πηγῇ παθήματος ὡς συμβαίνοντος ἐν ὥρᾳ χειμῶνος. Οὐδεὶς ἐπέστησε τὴν προσοχὴν ἐπὶ τῆς λήξεως θέρεϊ ἐν τῇ περιγραφῇ τῆς ἑτέρας τῶν πηγῶν, λέξεως ὑπεννοούσης κατ' ἀντίθεσιν τὴν λέξιν χειμῶνα ἐν τοῖς προηγουμένοις ἔπεσι τοῖς περιγράφουσι τὴν περιώνυμον πηγήν. Αἴτιον δὲ ἥ τε παλαιόθεν κακὴ ἐξήγησις τῶν ἐπῶν καὶ ἡ ἐρημία τῆς χώρας σπανίως ἐν χειμῶνι περιοδευομένης ὑπὸ τῶν ἀναγινωσκόντων τὴν Ἰλιάδα. Καὶ ἐγὼ αὐτὸς ἐν ἔαρι ἐπισκεφθεὶς τὴν Τρωϊκὴν καὶ μὴ φέρων μετ' ἐμοῦ θερμόμετρον, οὐ διέκρινα μὲν τὴν διαφορὰν ἐν τῇ θερμοκρασίᾳ τῶν Πηγῶν, πιὼν μόνον ἀπὸ τῆς μετὰ φλοίσβου ρεούσης

ὕδωρ διαυγὲς καὶ ψυχρόν, περὶ τὰ τέλη Μαΐου. Ἤκουσα δὲ παρὰ τῶν ἐκεῖ οἰκούντων διηγουμένων τὴν ἐμφάνισιν ἀτμοῦ ἐν χειμῶνι ἐπὶ τῆς ἑτέρας πηγῆς τῆς ἠρέμα ἀναβλυζούσης ἐν τῇ ταπεινῇ λιθίνῃ δεξαμενῇ, ἐν ᾗ καὶ τὰ κτήνη πίνουσι καὶ αἱ γυναῖκες τοῦ χωρίου πλύνουσι τὰ αὐτῶν ἱμάτια. Καίτοι δ' ἔκτοτε πολλάκις ἀνέγνων τὴν Ἰλιάδα, μόνον ἐσχάτως (τῷ 1879) ἡ λέξις θέρεϊ ἐπέσυρε τὴν ἐμὴν προσοχὴν καὶ ἀνεκάλυψα τὴν ἀληθῆ τοῦ Ποιητοῦ ἔννοιαν.

Παραπλήσιον φαινόμενον ἐθεάθη ἐν τῇ πολυύδρῳ Ῥώμῃ περὶ τὰ τέλη τοῦ 1881 ἐν ταῖς ὡραίαις κρήναις τῶν πλατειῶν Τρεβίου (Trevi) καὶ Ναβόνας (Navona) ὧδε περιγραφόμενον ἐν τῇ ἐφημερίδι «Ἡ Ἰταλία» (L'Italie) τῆς εἰκοστῆς ἕκτης Ἰανουαρίου τοῦ αὐτοῦ ἔτους. «Ὁ » διαβαίνων πρὸ τῶν κρηνῶν τῶν τρεφομένων ὑπὸ τοῦ » ὕδατος τοῦ καλουμένου παρθενικοῦ (vergine) (1), ἑώρα » πυκνὸν ἀτμὸν ὑψούμενον ἐπὶ τὸ ὕδωρ ὡς ἂν αἱ κρῆναι » προέχεον θερμὸν ὕδωρ. Ἐξηγεῖται δὲ τὸ φαινόμενον, » ἀφικνουμένου τοῦ ὕδατος εἰς Ῥώμην σὺν τῇ ἀρχικῇ » τῆς πηγῆς θερμοκρασίᾳ. Ὀχετευόμενον γὰρ ἐν κτιστοῖς » ὀχετοῖς κακοῖς τῆς θερμότητος ὁδηγοῖς, οὔτ' ἐν χει-

(1) Ἀπέχει μὲν ἡ πηγὴ τοῦ ὕδατος ἀπὸ τῆς πόλεως δύο περίπου μυριόμετρα· ὠνομάσθη δ' οὕτω ἀπὸ παρθένου ὁδηγησάσης ποτὲ ἐκεῖσε στρατιώτας διψῶντας· μετωχετεύθη δ' εἰς Ῥώμην δι' ὀχετοῦ ὑπογείου ὑπὸ Ἀγρίππα, γαμβροῦ Αὐγούστου, πρὸς χρῆσιν βαλανίου κειμένου παρὰ τῷ Πανθέῳ.

» μῶνι ψύχεται, οὔτ' ἐν θέρει θερμαίνεται· ὥστε ἐν ὥρᾳ
» χειμῶνος, τοῦ ψύχους σφοδροῦ ἐπερχομένου, τὸ ὕδωρ
» ἐστὶ θερμότερον τοῦ ἀέρος, ὅθεν ἡ ἀναδρομὴ τοῦ
» ἀτμοῦ ». (1).

ΠΕΡΙ ΤΥΜΒΩΝ.

Ὁ ἐπισκεπτόμενος τὴν Τρωϊκὴν χώραν εὑρίσκει πολλαχοῦ ὄγκους γαιώδεις, γυμνούς, κωνοειδεῖς, δίκην λοφίσκων ὑψουμένους. Οὗτοι εἰσὶ τῆς ἡρωϊκῆς ἐποχῆς τάφοι, λεγόμενοι καὶ σήματα, τύμβοι, σωροί, ἐν Ἰλιάδι.

Ὁ Ὅμηρος ὧδε περιγράφει τὴν ἀνίδρυσιν αὐτῶν. Ὁ νεκρὸς τεθεὶς ἐπὶ πυρᾶς ἐκαίετο,μαρανθείσης δὲ τῆς πυρᾶς ἡ τοῦ τύμβου βάσις κυκλοτερὴς περιεγράφετο καὶ διὰ λίθων τῶν παρατυχόντων ἡ τέφρα ἐκαλύπτετο, ἐπὶ δὲ

(1) En passant devant les fontaines alimentées par l'eau Vergine place Trevi ou place Navona on pouvait remarquer qu'une épaisse vapeur s'élevait audessus de l'eau. On aurait dit que ces fontaines jetaient de l'eau chaude.

Le phénomène s'explique par ce fait que l'eau Vergine arrive à Rome avec sa température initiale. Amenée dans des aqueducs en maçonnerie, mauvais conducteurs de la chaleur, elle ne se refroidit pas en hiver et ne s'echauffe pas en été. Il en résulte qu'en hiver lorsque la température s'abaisse brusquement, l'eau se trouve plus chaude que l'air et de là provient ce dégagement de vapeur. «L'Italie» 26 Janv. 1881.

τῶν λίθων ἐχύνετο γῆ ποιοῦσα ὑψηλὸν καὶ κανονικὸν κῶνον. Ἐνίοτε τὰ κεκαυμένα ὀστᾶ συλλεγόμενα ἐτίθεντο ἐν λάρνακι ἢ φιάλῃ πρὶν ἢ καλυφθῶσιν ὑπὸ λίθων καὶ γῆς.

« κλαίοντες δ᾽ ἑτάροιο ἐνηέος ὀστέα λευκὰ
» ἄλλεγον ἐς χρυσέην φιάλην καὶ δίπλακα δημόν·
» ἐν κλισίῃσι δὲ θέντες ἑανῷ λιτὶ κάλυψαν
» τορνώσαντο δὲ σῆμα, θεμείλιά τε προβάλοντο
» ἀμφὶ πυρήν· εἶθαρ δὲ χυτὴν ἐπὶ γαῖαν ἔχευαν ».

Ψ, 164 - 256.

Οὗτος ἐστὶν ὁ Πατρόκλου τύμβος ὁ καὶ τὰ Ἀχιλλέως ὀστᾶ καλύψας. Ἕνεκα τούτου ἡ φιάλη ἐν ᾗ μίγδην τὰ τῶν δύο φίλων ὀστᾶ ἔμελλον εἶναι μετὰ τὸν Ἀχιλλέως θάνατον ἐτέθη ἐν ταῖς σκηναῖς (1).

Ὁ δ᾽ Ἕκτορος τάφος ὧδε περιγράφεται· Καείσης τῆς πυρᾶς, τὰ ὀστᾶ ἐτέθησαν ἐν λάρνακι, ἡ λάρναξ ἐκαλύφθη ὑπὸ πετρῶν καὶ ἐν σπουδῇ ἐπὶ τῶν πετρῶν ἐχύθη γῆ.

(1) Ὁ Choiseul Gouffier κατὰ τὸ 1787 λαβὼν τὴν ἄδειαν παρὰ τῶν ἀρχῶν Κωνσταντινουπόλεως ἀνέσκαψεν ἕνα τῶν Σιγείου τύμβων, ἰσοπεδοθέντα εἰς τὸ μετέπειτα καὶ γενόμενον νεκροταφεῖον. Ὁ δ᾽ ἐν Ἑλλησπόντῳ οἰκῶν Κάλβαρτ ἀνέσκαψε πρὸ ὀλίγων ἐτῶν ἕνα τῶν Περγάμου (Βουνάρβασὶ) καὶ ἕνα τῶν Σιγείου. Ἀμφότεροι ἀνεσκάφησαν διὰ τομῆς ἀπὸ τῆς κορυφῆς καθέτως εἰς τὴν βάσιν ἀγούσης καὶ ἀπὸ τῆς περιφερείας μέχρι τοῦ κέντρου ἀφικνουμένης. Ἐν τῷ τοῦ Περγάμου, ἀνεωχθέντι οὐ πολὺ πρὸ τῆς ἐκεῖσε ἀφίξεώς μου, εἶδον ἀνθρακιὰν καὶ μικρὰ τεμάχια κεραμικῶν ἀγγείων.

« αἶψ δ' ἄρ' ἐς κοίλην κάπετον θέσαν, αὐτὰρ ὕπερθεν
» πυκνοῖσιν λάεσσι κατεστόρεσσαν μεγάλοισιν·
» ρίμφα δὲ σῆμ' ἔχεαν ».

Ω, 786-799.

Ὁ τοὺς ἐν Τρωάδι τύμβους ἰδὼν μέμνηται τῶν ἐπὶ τοῦ Περγάμου τριῶν ὡς μὴ ὄντων ὁμοίων τοῖς ἄλλοις ἀλλ' ἐχόντων ὀλίγην γῆν ἐπ' αὐτῶν, μὴ καλύπτουσαν πάντας τοὺς ἐπὶ τῆς τέφρας συσσωρευθέντας λίθους· αἴτιον δὲ τούτου ἴσως οὐ μόνον ἡ ἐν σπουδῇ ἀνέγερσις, πολιορκουμένης τῆς Τροίας, ἀλλὰ καὶ ἡ ἐπὶ Περγάμου σπάνις γῆς. Πρὸ πάντων δὲ διατηρεῖ τὸ ἀρχικὸν σχῆμα καὶ τὴν ἐπ' αὐτοῦ πρὸ τριάκοντα αἰώνων χυθεῖσαν γῆν ὁ πανταχόθεν ὁρώμενος τύμβος τοῦ Οὐτζὲκ-τεπέ, κοινῶς τοῦ Ἴλου λεγόμενος, μένων ἄθικτος καὶ μόνον ἐπὶ τῆς κορυφῆς μικρόν τι κοίλωμα ἔχων προελθὸν ἐκ τῆς ὑποχωρήσεως τοῦ κώνου κατὰ τὸ κέντρον. Ἐξηγεῖ δὲ τὴν ὑποχώρησιν ἡ ἐν τῷ κέντρῳ τῆς βάσεως συσσωρευμένη τέφρα καὶ τὸ σχῆμα τοῦ κώνου πιεζομένου ἰσχυροτέρως κατὰ τὸ κέντρον (1). Φαίνεται δὲ καὶ ἐπὶ τοῦ Ροιτείου ἀκρωτηρίου εὐρεία βάσις τύμβου μεγάλου ἀπέναντι τῆς εἰσόδου τοῦ Ἑλλησπόντου. Οὗτος ὑπὸ μὲν Στράβωνος καλεῖται Αἰάντειον καὶ Αἴαντος τάφος, νῦν δὲ ὑπὸ τῶν Ὀθωμανῶν Ἰν-τεπέ. Εἰσὶ δὲ καὶ ἕτεροι ἀλλ' ἀφανέστε-

(1) Ἀνεσκάφη καὶ οὗτος ἐσχάτως ὑπὸ Σχλῆμαν.

ροι τύμβοι ἐπὶ τῶν λόφων τῶν περικυκλούντων τὸ Τρωϊκὸν πεδίον. Ἐπειδὴ δὲ τὴν ἀναγνώρισιν τῶν ἐν Ἰλιάδι μόνον τύμβων προτιθέμεθα, ἕνεκα τούτου τοὺς ἀξιολογωτέρους καὶ τοὺς ἔχοντας τὰ ὑπὸ τοῦ Ποιητοῦ διδόμενα χαρακτηριστικὰ περιγράψομεν.

ΤΥΜΒΟΣ ΑΙΣΥΗΤΟΥ.

Ἐπὶ τοῦ τύμβου τούτου καθήμενος ὁ τῶν Τρώων σκοπός, ὁ τοὺς πόδας ταχὺς Πολίτης, ἐφώρα τὰς ἀπὸ τῶν πλοίων τῶν Ἀχαιῶν κινήσεις.

« ὅς Τρώων σκοπὸς ἷζε ποδωκείῃσι πεποιθώς,
» τύμβῳ ἐπ' ἀκροτάτῳ Αἰσυήταο γέροντος,
» δέγμενος ὁππότε ναῦφιν ἀφορμηθεῖεν Ἀχαιοί ».

Ἰλ. Β, 792 -.

Ὁ μετὰ προσοχῆς ἐξετάσας τὴν Τρωϊκὴν οἶδεν ὅτι, καίτοι καταφανοῦς οὔσης τῆς παραλίας ἀπὸ τῶν λόφων Βουνὰρ-βασί, πολλάκις ἕνεκα τῆς χθαμαλότητος τοῦ πεδίου, ὁ μὲν ὁρίζων συντέμνεται ὑπὸ τῶν ἀναθυμιάσεων ἢ τῆς ἀντανακλάσεως τῶν ἡλίου ἀκτίνων, ἡ δὲ παραλία ἀμυδρῶς φαίνεται, ὥστε ἀσφαλεστέρα ἦν ἡ σκοπιὰ

ἀπὸ τόπου πλησιεστέρου ταῖς ναυσίν. Ἐξηγεῖ δὲ καὶ ἡ τοῦ Πολίτου ἀγγελία, ὡς οὐχὶ ἁπλῶς τὰς κινήσεις τῶν Ἑλλήνων ἐσκόπευεν ἀλλ' ἔκρινε καὶ περὶ τοῦ ἀριθμοῦ τῶν κινουμένων ὅπερ ἦν δυσχερέστερον ἀπὸ τῆς πόλεως.

« ἀλλ' οὔπω τοιόνδε τοσόνδε τε λαὸν ὄπωπα
» λίην γὰρ φύλλοισιν ἐοικότες ἢ ψαμάθοισιν,
» ἔρχονται πεδίοιο μαχησόμενοι περὶ ἄστυ ».

Ἰλ. Β, 799 -·

Ὁ διελθὼν οὖν τὸ Τρωϊκὸν πεδίον καὶ ἐξετάσας τοὺς ἑκατέρωθεν λόφους καὶ τὰς ἀποστάσεις αὐτῶν ἀπό τε τοῦ ἄστεως καὶ τοῦ Ἑλληνικοῦ στρατοπέδου, ῥαδίως ἀναγνωρίζει ὡς κατάλληλον πρὸς ἐνίδρυσιν Τρωϊκῆς σκοπιᾶς τὸν μέγαν καὶ ὑψηλὸν τύμβον τοῦ Οὐτζὲκ-τεπέ, τὸν ἐπ' ἀριστερὰ τῷ κατιόντι ἀπ' Ἰλίου εἰς Ἑλλήσποντον κείμενον, ἐπὶ ὑψώματος ἀπέναντι τοῦ ναυστάθμου ἢ λιμένος, καὶ ἀπέχοντα ἀπὸ μὲν τοῦ Ἰλίου πεντάκις χίλια μέτρα ἀπὸ δὲ τῶν Ἑλληνικῶν πλοίων περὶ τὰ ἑπτάκις χίλια (1). Ἐντεῦθεν τό τε Ἑλληνικὸν στρατόπεδον ἦν ἅπαν κάτοπτον καὶ ἡ τοῦ σκοποῦ εἰς ἄστυ ἐπιστροφὴ σύντομος καὶ ἀσφαλεστάτη ἕνεκα τῆς ἀνωμαλίας

(1) Ἐπὶ τοῦ τύμβου τούτου οἱ τὰ πέριξ χωρία κατοικοῦντες Ἕλληνες δοξολογοῦσι κατ' ἔτος τὸν Προφήτην Ἠλιοῦ, συνήθως ἐπὶ τῶν κορυφῶν ὀρέων ἢ λόφων ὑμνούμενον, τὴν εἰκοστὴν Ἰουλίου, 1ην Αὐγούστου μηνός. Ἴσως οὖν ἀπὸ τῆς ἐτησίας τῷ Προφήτῃ τελετῆς, ὁ τύμβος καλεῖται ὑπ' αὐτῶν τοῦ Ἴλου, διὰ τὴν ὁμοιότητα τῶν ὀνομάτων Ἴλου καὶ Ἠλιοῦ.

τῶν λόφων οὓς διέτρεχε πεζός, μὴ φοβούμενος τὴν τῶν ἁρμάτων καταδίωξιν. Καὶ ὁ Lechevalier τοῦτον λέγει εἶναι τύμβον Αἰσυήτου, οἱ δὲ Choiseul Gouffier καὶ Mauduit ἐπὶ τῶν λόφων Καλλικολώνης βούλονται αὐτόν, εὑρόντες ἴχνη τύμβου πρὸς νότον τοῦ Νέου Ἰλίου. Ἀλλὰ πρῶτον μὲν ἡ ἀπὸ τούτου ἀπόστασις ἀπὸ τῆς πόλεως ἔσοιτο μείζων τῆς ἀπὸ τοῦ Ἑλληνικοῦ στρατοπέδου. Εἶτα δὲ τῶν λόφων Καλλικολώνης ὄντων κεχωρισμένων ἀπὸ τοῦ Ἰλίου ὑπὸ τῶν κοιλάδων Σκαμάνδρου καὶ Σιμόεντος, ἡ ἐπιστροφὴ τοῦ πεζοῦ τῶν Τρώων σκοποῦ ἦν ἀβέβαιος, τῶν Ἑλλήνων δυναμένων προαφιχθῆναι ἐφ' ἁρμάτων ὑπὸ τὴν πόλιν καὶ κωλῦσαι αὐτὸν τοῦ διαβῆναι τὸν Σκάμανδρον, ἐν ὥρᾳ δ' ὑετῶν ἀδύνατος, ὄντων χειμαρροειδῶν ἀμφοτέρων τῶν ποταμῶν.

ΣΗΜΑ ΙΛΟΥ.

Ἐκ τῶν δευτερευόντων τοπογραφικῶν σημείων τοῦ Τρωϊκοῦ πεδίου, ὁ τοῦ Ἴλου τάφος ἀσφαλεστέρως ὁρίζεται, ἕνεκα τῆς παρ' αὐτὸν παρελάσεως τῶν ἀνιόντων καὶ κατιόντων διὰ τοῦ πεδίου. Διέφερε δὲ τῶν λοιπῶν τύμβων ἔχων στήλην ἐπὶ τῆς κορυφῆς.

« στήλῃ κεκλιμένος ἀνδροκμήτῳ ἐπὶ τύμβῳ
» Ἴλου Δαρδανίδαο . . »

Λ, 371-.

Ἔκειτο δέ, ὡς ἐκ τῶν στρατηγικῶν κινήσεων φαίνεται, περὶ τὰ μέσα τοῦ πεδίου, μᾶλλον δὲ τῇ πόλει πλησιέστερος ἢ τῷ Ἑλλησπόντῳ, ἄτερ πέραν τῆς διαβάσεως Σκαμάνδρου ὤν. Εἶχε δὲ αὐτὸν μὲν ἐπὶ δεξιά, τὸν δὲ Ποταμὸν ἐπ' ἀριστερὰ ὁ ἀπὸ τοῦ Ἑλληνικοῦ στρατοπέδου εἰς Ἴλιον ὁδεύων καὶ διαβὰς τὸν γνωστὸν ἡμῖν πόρον· οἷον οἱ Τρῶες κατὰ τὴν Δευτέραν Μάχην, δύσαντος τοῦ ἡλίου, ἀπεμακρύνθησαν τῶν Ἑλληνικῶν πλοίων, ἐστρατοπεδεύσαντο ἐπὶ τοῦ Σκαμάνδρου, ἐπὶ τῆς περὶ τὰ μέσα τοῦ πεδίου καμπῆς, καὶ ἧναψαν πυρά.

« νόσφι νεῶν ἀγαγὼν ποταμῷ ἔπι δινήεντι ».

Θ, 489-511.

Τὴν αὐτὴν δὲ νύκτα Ἕκτωρ μετὰ τῶν γερόντων ἀπομακρυνθέντες τοῦ ὄχλου καὶ τοῦ θορύβου ἐποιήσαντο βουλὴν παρὰ τῷ τύμβῳ τοῦ Ἴλου.

« βουλὰς βουλεύει θείου παρὰ σήματι Ἴλου
» νόσφιν ἀπὸ φλοίσβου. »

Κ, 415-.

Ἐπειδὴ δὲ αἱ βουλαὶ ἀεὶ ἐν χώρῳ ἡσύχῳ καὶ ἀπροσίτῳ τοῖς πολλοῖς ἐγίνοντο, ἡ λέξις «φλοῖσβος» ἐνταῦθα ἐστὶν ἀξία σημειώσεως. Σημαίνουσα κυρίως μὲν τὸν ἤπιον ἦχον τῶν θαλασσίων κυμάτων καὶ τῆς ταπεινῆς ῥοῆς ποταμοῦ, μεταφορικῶς δὲ θόρυβον, ψιθύρισμα πολλοῦ ὄχλου, παρίστησιν εἰκόνα ζωηρὰν τοῦ χώρου ἐφ' οὗ οἱ Τρῶες ἦσαν ἐστρατοπεδευμένοι. Ὁ Ποιητὴς εἶπε μὲν πρὸ πολλοῦ (Θ, 489-) ὅτι ἐπὶ τοῦ Σκαμάνδρου ἔφερεν αὐτοὺς ὁ Ἕκτωρ, νῦν δὲ διὰ μόνης τῆς λέξεως « φλοῖσβος » ὑπομιμνήσκει ἡμῖν τὴν θέσιν, ὑποβάλλει πρὸ τῶν ἡμετέρων ὀφθαλμῶν τὸ Τρωϊκὸν στρατόπεδον κινούμενον καὶ ζῶν ὡς καὶ τὸν δι' αὐτοῦ ῥέοντα ποταμόν. Ἀλλὰ τῶν πλεονεκτημάτων τούτων, τὸ μὲν ἀπὸ τῆς τελειότητος τῆς Ἑλληνικῆς γλώσσης προερχομένων, τὸ δὲ ἀπὸ τῆς προσοχῆς καὶ εὐφυΐας τοῦ Ποιητοῦ, στεροῦνται οἱ μὴ ἔχοντες ἐν τῇ αὐτῶν διαλέκτῳ λέξιν ἀντιστοιχοῦσαν τῇ λέξει φλοίσβῳ (1).

Μόνον δὲ ἅπαξ, ἐν τῇ ἑσπέρᾳ ταύτῃ μόνον, ὁ Ἕκτωρ ποιεῖται β ο υ λ ὴ ν παρὰ τῷ τάφῳ Ἴλου ἕνεκα τῆς ἐπὶ τὸν Σκάμανδρον διανυκτερεύσεως τοῦ Τρωϊκοῦ στρατοπέδου. Λέγω δὲ τοῦτο ἐπειδή τινες ἐν οἷς καὶ Chena-

(1) Ὁ Giguet μεταφράζων τὰ ἔπη ὡς ἑξῆς. « Hector parmi les chefs qui assistent au conseil, delibère h o r s d u t u m u l t e, auprès du tombeau du divin Ilos », αἰνίττεται, νομίζω, τὸν τοῦ στρατοῦ μόνον θόρυβον, ἀφαιρῶν ἀπὸ τῆς εἰκόνος τὸ ἐπιφανέστερον σημεῖον, τὸν Σκάμανδρον, καὶ τὸν φλοῖσβον, ἤτοι τὴν ψυχὴν τοῦ Σκαμάνδρου.

vard (1) γάλλος ἀρχιτέκτων, ἐνόμισαν ὅτι ἐνταῦθα ὁ Ἕκτωρ ἀεὶ τὴν Βουλὴν συνεκάλει. Ἐπὶ τοῦ ἐμοῦ Πίνακος Β, ἡ ἐρυθρᾶ γραμμὴ ΖΗ δεικνύει τὴν ἀπὸ τοῦ Τρωϊκοῦ στρατοπέδου εἰς τὸ σῆμα Ἴλου μετάβασιν Ἕκτορος καὶ γερόντων.

Ἐν δὲ τῇ Τρίτῃ Μάχῃ οἱ Τρῶες διωκόμενοι ὑπ᾽ Ἀγαμέμνονος φεύγουσι παρὰ τὸν τάφον Ἴλου διὰ μέσου τοῦ πεδίου ποθοῦντες τὴν πόλιν.

« Οἱ δὲ παρ᾽ Ἴλου σῆμα παλαιοῦ Δαρδανίδαο
» μέσσον καπ πεδίον παρ᾽ ἐρινέον ἐσσεύοντο
» ἱέμενοι πόλιος (2) ».

Ἰλ., Λ, 166·

Ἐν τῇ αὐτῇ Μάχῃ οἱ Ἕλληνες ὑποχωροῦντες ἀνθίστανται ἐπί τινα χρόνον πρὶν ἢ διαβῶσι τὸν Ποταμόν (3)· ὁ δὲ Πάρις κεκλιμένος ὄπισθεν τῆς στήλης τοῦ τάφου τοῦ Ἴλου βάλλει διὰ βέλους τὸν Διομήδη Ἰλ. Λ. 369-.

Ὁ δὲ Πρίαμος καταβαίνων ἀπὸ τῆς πόλεως εἰς τὸ Ἑλληνικὸν στρατόπεδον παρέλασε τὸν Ἴλου τάφον καὶ ἀφίκετο εἰς τὸν πόρον Σκαμάνδρου·

(1) Voyage en Grèce et dans le Levant Page 14.

(2) Ἐπὶ τοῦ Πίνακος Β, ἡ τῶν Τρώων φυγὴ σημειοῦται διὰ τῆς γραμμῆς ΚΛΛ′ ἐφ᾽ ἧς γράφονται καὶ τά ἔπη.

(3) Κέντρον τῆς μερικῆς ταύτης μάχης ἦν περὶ τὸ Μ, ἐξετάθη δὲ ἐπὶ μὲν τὰ δεξιὰ μέχρι τοῦ τύμβου Ἴλου, ἐπὶ δὲ τ᾽ ἀριστερὰ μέχρι Σκαμάνδρου· Ὅρα Πίνακα Β.

« Οἱ δ' ἐπεὶ οὖν μέγα σῆμα παρὲξ Ἴλοιο ἔλασσαν,
» στῆσαν ἄρ ἡμιόνους τε καὶ ἵππους ὄφρα πίοιεν
» ἐν ποταμῷ . . . . »

Ἰλ., Ω, 349.

Ἦν οὖν ὁ Ἴλου τάφος, ὡς ἐκ τῶν λεχθέντων φαίνεται, ἐπὶ τοῦ Τρωϊκοῦ πεδίου, ἄνωθεν, πέραν τοῦ συνήθους πόρου τοῦ Σκαμάνδρου· ὁ δ' ἀπὸ Ἑλλησπόντου εἰς Ἴλιον διὰ τοῦ πεδίου ὁδεύων, διαβὰς τὸν πόρον εἶχε τὸν τάφον ἐπὶ δεξιά. Ἐπὶ τοῦ Πίνακος Β, σημειοῦμεν τὴν πιθανὴν αὐτοῦ θέσιν. Ἡ δ' ἔλλειψις τάφου κατὰ τὸ μέρος τοῦτο τοῦ πεδίου οὐδόλως ἐκπλήττει ἡμᾶς· οἱ μὲν γὰρ ἐκ γῆς τύμβοι διετηρήθησαν μέχρι τοῦδε ἕνεκα τῆς εὐτελείας, μὴ παρέχοντες οὐδεμίαν ὠφέλειαν τοῖς ἀλλεπαλλήλως πολιζομένοις ἐπὶ τῆς Τρωϊκῆς χώρας· ὁ δὲ τοῦ Ἴλου τάφος, ὤν, πιθανῶς, κτιστὸς καὶ στήλην ἔχων, ὑπέστη τὴν μοίραν τῶν λίθων καὶ τῶν στηλῶν τοῦ ἀρχαίου Ἰλίου, τοῦ Νέου Ἰλίου, τοσούτων ἄλλων πόλεων ὧν ἡ ὕλη μετηνέχθη εἰς νεωτέρων πόλεων ἀνίδρυσιν. Τινές, ὡς καὶ πρότερον εἴπομεν, λέγουσι τὸν Οὐτζέκ-τεπὲ εἶναι τὸν Ἴλου τύμβον, ἀλλ' ἡ ἀπόστασις αὐτοῦ ἀπὸ τοῦ Σκαμάνδρου οὖσα μεγάλη, ἄτοπον ἐμφαίνει τὴν ἐκεῖσε μετάβασιν Ἕκτορος καὶ γερόντων διὰ νυκτός, ὑπὲρ τὰ τρισχίλια μέτρα μακρὰν τοῦ ἑαυτῶν στρατεπέδου, ὅπως β ο υ λ ὴ ν ποιήσωσι.

ΤΑΦΟΣ ΕΚΤΟΡΟΣ.

Ὁ Πρίαμος, μετὰ τοὺς θρήνους ἐπὶ τῷ νεκρῷ Ἕκτορι, ἄξετε νῦν ξύλα ἄστυδε, λέγει πρὸς τοὺς Τρῶας (Ω, 778) ἄρα ὁ Ἕκτορος τάφος ἐντὸς τῶν τειχῶν Ἰλίου ἐγένετο. Καέντος τοῦ νεκροῦ τὰ ὀστᾶ συλλεγέντα ἐτέθησαν ἐν λάρνακι, ἡ δὲ λάρναξ ἐν κοιλώματι καὶ ἐκαλύφθη ὑπὸ πολλῶν λίθων, ἐπὶ δὲ τῶν λίθων μετὰ σπουδῆς ἐχύθη γῆ.

« αἶψα δ' ἄρ ἐς κοίλην κάπετον θέσαν αὐτὰρ ὕπερθεν
» πυκνοῖσιν λαέσσι κατεστόρεσαν μεγάλοισιν·
» ρίμφα δὲ σῆμ' ἔχεαν, περὶ δὲ σκοποὶ εἵατο πάντη,
» μὴ πρὶν ἐφορμηθεῖεν ἐϋκνήμιδες Ἀχαιοί.

Ω, 786-.

Ὁ Ὅμηρος ὡς ἐπὶ τὸ πολὺ περιγράφει ὁμοιομόρφως, ἐνίοτε αὐτολεξεί, τὰ ὅμοια πράγματα. Ἡ κατ' ἐξαίρεσιν οὖν μνεία τῶν πυκνῶν μεγάλων λίθων ἐπὶ τῆς Ἕκτορος πυρᾶς, λίθων ἔτι καὶ νῦν φαινομένων μόνον ἐπὶ τῶν τύμϐων Περγάμου, πιθανολογεῖ ἕνα τῶν τριῶν Ἕκτορος εἶναι. Ἔφερον δ' ἔκτοτε καὶ οἱ τρεῖς ὀλίγην γῆν διά τε τὴν σπάνιν γῆς ἐν τῇ Ἀκροπόλει, μάλιστα δὲ διὰ τὴν σπουδὴν ἐν ᾗ ὅγε Ἕκτορος τάφος ἐγένετο. Τὶς δὲ οἶδεν ἂν οἱ δύω ἕτεροι οὐ καλύπτουσι τὰ ὀστᾶ Μήστορος καὶ Τρωΐλου, ἀδελφῶν Ἕκτορος ἀμφοτέρων ὄντων,

καὶ ὀνομαστὶ ὑπὸ Πριάμου ἀναμιμνησκομένων σὺν τῷ Ἕκτορι θανόντι; (Ω, 257 -). Εἰσὶ δὲ οἱ λέγοντες ἐκτὸς τῆς πόλεως γενέσθαι τὸν Ἕκτορος τάφον, διὰ τὸ πανταχοῦ πέριξ τεθῆναι σκοποὺς κατὰ τὴν ταφήν·

« . . . περὶ δὲ σκοποὶ εἵατο πάντῃ,
» μὴ πρὶν ἐφορμηθεῖεν Ἀχαιοί ».

ἀλλά, κατ' ἐμὴν γνώμην, καὶ ἐντὸς τῆς πόλεως γενομένου τοῦ τάφου, οἱ σκοποὶ ἦσαν χρήσιμοι ὅπως, ἐφορμηθέντων τῶν Ἀχαιῶν πρὸ τῆς ὁρισθείσης ἡμέρας οἱ εἰς τὴν ταφὴν ἀσχολούμενοι, ἐγκαίρως καταλάβωσι τὰς φυλακὰς καὶ τὰς ἐπισφαλεῖς τοῦ περιβόλου θέσεις.

ΚΟΙΝΟΙ ΤΑΦΟΙ.

Οὕτως ὀνομάζομεν τοὺς τύμβους, τοὺς ὑπὸ Ἑλλήνων καὶ ὑπὸ Τρώων ποιηθέντας τοῖς ἑκατέρωθεν πεσοῦσιν ἐν τῇ Πρώτῃ Μάχῃ. Μέχρι τοῦδε μόνον τὸν κοινὸν τῶν Ἑλλήνων τάφον σημειοῦσιν ἐπὶ τῶν Πινάκων οἱ γεωγραφήσαντες τὸ Τρωϊκὸν πεδίον, ἐπονομάζοντες οὕτω τὸν ἄλλοτε φαινόμενον κατὰ τὴν κώμην Κοὺμ-Κιοΐ

τύμβον, κείμενον καταλλήλως καὶ συνῳδὰ τῇ Ἰλιάδι, τοῦ Νέστορος συμβουλεύσαντος πρὸ τῶν πλοίων γενέσθαι αὐτόν·

« . . . . ἀτὰρ κατακήομεν αὐτοὺς
» τυτθὸν ἀποπρὸ νηῶν . . . . .
» τύμβον δ' ἀμφὶ πυρὴν ἕνα χεύομεν ἐξαγαγόντες (1) ».
Η, 333-.

Ἡ δὲ κώμη Κοὺμ-Κιοϊ (ἄμμου κώμη) ἀπέχουσα νῦν περὶ τὰ τετράκις χίλια μέτρα ἀπὸ τῆς παραλίας, ἀπεῖχε μόνον περὶ τὰ χίλια ἐπὶ τῶν Τρωϊκῶν, ἀπόστασις συμφωνοῦσα τῇ Ἰλιάδι ὡς καὶ ἐν τῇ περιγραφῇ τοῦ Ἑλληνικοῦ στρατοπέδου φανήσεται.

Περὶ δὲ τοῦ κοινοῦ τάφου τῶν Τρώων πρό τινων ἐτῶν ἐγένετο λόγος, τοῦ Κάλβαρτ ἀνακαλύψαντος σωρὸν ὀστέων ἐπὶ τῶν λόφων τῶν ἐκτεινομένων ὡς ὑποτείνουσα τῆς γωνίας τῆς σχηματιζομένης ἐκ τοῦ σύρρου Σκαμάνδρου καὶ Σιμόεντος. Ἡ θέσις φαίνεταί μοι κατάλληλος πρὸς ταφὴν τῶν πεσόντων Τρώων ἐν τῇ Πρώτῃ Μάχῃ γενομένῃ ὑπὸ Ἴλιον, ἐπεκταθείσῃ δὲ μέχρι Σιμόεντος καὶ τὸ πλεῖστον μεταξὺ τῶν δύω ποταμῶν πολεμηθείσῃ (2).

---

(1) Ἐπὶ τοῦ Πίνακος Α, σημειοῦται ὁ κοινὸς Ἑλλήνων τάφος μεταξὺ Τείχους καὶ πλοίων.

(2) Ὅρα τὴν περιγραφὴν τῆς Πρώτης Μάχης καὶ τὸν Πίνακα Β, ἐφ' οὗ δηλοῦται ἡ τῆς μάχης ἐπέκτασις. Ἕνεκα δὲ τῶν στενῶν ὁρίων οἱ εἰρημένοι λόφοι οὐκ ἐμπεριέχονται ἐν τῷ Πίνακι.

ΠΑΤΡΟΚΛΟΥ ΚΑΙ ΑΧΙΛΛΕΩΣ ΤΑΦΟΣ.

Μόνος τάφος ἀρχηγοῦ Ἕλληνος μνημονευόμενος ἐν Ἰλιάδι ἐστὶν ὁ Πατρόκλου τύμβος, ὁ τὰ Ἀχιλλέως ὀστᾶ εἰς τὸ μετέπειτα ἀμφικαλύψας καὶ μεγαλυνθεὶς κατὰ παράκλησιν τῆς ψυχῆς Πατρόκλου·

« μὴ ἐμὰ σῶν ἀπάνευθεν τιθήμεναι ὀστέ' Ἀχιλλεῦ,
» ἀλλ' ὁμοῦ ὡς ἐτράφημεν ἐν ὑμετέροισι δόμοισι·
. . . .
» ὡς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι,
» χρύσεος ἀμφιφορεὺς τόν τοι πόρε πότνια μήτηρ ».

Ψ, 83-92.

Ὁ Ἀχιλλεὺς ὑπεσχέθη τῷ Πατρόκλῳ τὴν ἐκτέλεσιν τῶν αἰτουμένων·

« . . . . αὐτὰρ ἐγώ τοι
» πάντα μάλ' ἐκτελέω καὶ πείσομαι ὡς σὺ κελεύεις ».

Ψ, 95.

Τὰ ξύλα φέρονται ἐπὶ τῆς ἀκτῆς ἣν ἐξελέξατο ὁ Πηλείδης διὰ τὸν αὐτοῦ καὶ Πατρόκλου τάφον·

« κὰδ δ' ἄρ' ἐπ' ἀκτῆς βάλλον ἐπισχερώ, ἔνθ' ἄρ' Ἀχιλλεὺς
» φράσσατο Πατρόκλῳ ἠρίον ἠδὲ οἷ αὐτῷ ».

Ψ, 125-.

Καείσης δὲ τῆς πυρᾶς Ἀχιλλεὺς διατάττει τὰ μὲν

ὀστᾶ Πατρόκλου συλλεγέντα ἐν χρυσῇ φιάλῃ, μένειν ἄταφα μέχρι τοῦ ἑαυτοῦ θανάτου· μικρὸν δὲ νῦν ἐπὶ τῆς πυρᾶς ὑψῶσαι τὸν τύμβον, ἔπειτα δέ, ἀποθανόντος καὶ αὐτοῦ, εὐρὺν καὶ ὑψηλὸν ποιῆσαι·

« καὶ τὰ μὲν ἐν χρυσέῃ φιάλῃ καὶ δίπλακι δημῷ
» θείομεν εἰσόκεν αὐτὸς ἐγὼν Ἄϊδι κεύθωμαι·
» τύμβον δ' οὐ μάλα πολλὸν ἐγὼ πονέεσθαι ἄνωγα
» ἀλλ' ἐπιεικέα τοῖον· ἔπειτα δὲ καὶ τὸν Ἀχαιοὶ
» εὐρὺν θ' ὑψηλόν τε τεθήμεναι ».

Ψ, 243-.

Ἡ τοῦ Ἀχιλλέως διαταγὴ ἐκτελεῖται, τὰ ὀστᾶ τίθενται ἐν φιάλῃ, ἡ δὲ φιάλη ἐν ταῖς σκηναῖς· εἶτα δὲ διαγραφείσης τῆς βάσεως, ὁ τύμβος ὑψοῦται χυτῇ γῇ. (Ἰλ. Ψ, 252-).

Ὁ περιγραφόμενος οὖν ἐν Ἰλιάδι τύμβος Πατρόκλου, ἐστὶ κενὸς τάφος ἢ μᾶλλον εἰπεῖν τὸ ἔμβρυον τοῦ τάφου τοῦ ἀμφικαλύψαντος μετὰ τὸν θάνατον Ἀχιλλέως τὰ ὀστᾶ τῶν δύο ἐνδόξων φίλων καὶ μεγαλυνθέντος. Ἐπειδὴ δὲ αἱ Ἰλιάδος πράξεις λήγουσι πρὸ τοῦ θανάτου Ἀχιλλ ως, ἡ αὔξησις, ἡ μεγάλυνσις τοῦ τύμβου οὐ περιγράφεται. Ἀλλὰ τὰ περὶ κηδείας Πατρόκλου λεγόμενα ἀποδεικνύουσι τὴν ἐκτέλεσιν τῆς ἐπιθυμίας τῶν δύω φίλων. Λαλῶν γὰρ διηγηματικῶς ὁ Ὅμηρος καὶ εἰπὼν τεθῆναι τὰ ξύλα ἐπὶ τῆς ἀκτῆς ἣν ἐξελέξατο Ἀχιλλεὺς διὰ τὸν Πατρόκλου καὶ ἑαυτοῦ μεγάλον

τύμβον, ὑποδεικνύει ἑωρακέναι τετελεσμένον τὸν ἀμύμονα καὶ ὑψηλὸν τάφον τῶν δύω Ἡρώων.

Ἐπιβεβαιοῖ δὲ καὶ ἡ Ὀδύσσεια κατὰ πάντα ὁμοίως τῇ Ἰλιάδι τὴν μετὰ τὸν θάνατον Ἀχιλλέως ἐκτέλεσιν τῶν διαταγῶν αὐτοῦ·

« ἠῶθεν δή τοι λέγομεν λεύκ' ὀστε', Ἀχιλλεῦ,
» οἴνῳ ἐν ἀκρήτῳ καὶ ἀλείφατι· δῶκε δὴ μήτηρ
» χρύσεον ἀμφιφορῆα· Διωνύσοιο δὲ δῶρον
» φάσκ' ἔμεναι, ἔργον δὲ περικλυτοῦ Ἡφαίστοιο·
» ἐν τῷ τοι κεῖται λεύκ' ὀστέα, φαίδιμ' Ἀχιλλεῦ,
» μίγδα δὲ Πατρόκλοιο Μενοιτιάδαο θανόντος
» χωρὶς δ' Ἀντιλόχοιο· τὸν ἔξοχα τῖες ἁπάντων
» τῶν ἄλλων ἑτάρων, μετὰ Πάτροκλόν γε θανόντα·
» ἀμφ' αὐτοῖσι δ' ἔπειτα μέγαν καὶ ἀμύμονα τύμβον
» χεύαμεν Ἀργείων ἱερὸς στρατὸς αἰχμητάων,
» ἀκτῇ ἔπι προὐχούσῃ ἐπὶ πλατεῖ Ἑλλησπόντῳ,
» ὥς κεν τηλεφανὴς ἐκ ποντόφιν ἀνδράσιν εἴη.

Ὀδ., Ω, 72-84.

Ὥστε κατ' Ὀδύσσειαν καὶ τ' Ἀντιλόχου ὀστᾶ ὑπὸ τὸν αὐτὸν τύμβον ἐτάφησαν. Ἐν τῷ αὐτῷ δὲ ἀμφορεῖ καὶ τῶν τριῶν τὰ ὀστᾶ ἐτέθησαν, ἀλλὰ τὰ μὲν Ἀχιλλέως καὶ Πατρόκλου ἀναμεμιγμένα, τὰ δ' Ἀντιλόχου κεχωρισμένα· ἡ δὲ κατάταξις τῶν ὀστέων ἐξηγεῖ τὸν δευτερεύοντα βαθμὸν τῆς πρὸς Ἀντίλοχον φιλίας τοῦ Πηλείδου. Σφάλλει ἄρα ὁ Giguet μεταφράζων ὧδε τὰ Ὀδυσσείας ἔπη·

« C'est là noble Achille, que reposent tes ossements confondus » avec ceux de Patrocle mais à quelque distance d'Antiloque »

ὑποτιθέμενος ἕτερον τάφον Ἀντιλόχου, κεχωρισμένον ἀπὸ τοῦ τάφου Ἀχιλλέως καὶ Πατρόκλου. Σφάλλουσι δὲ ἢ τοὐλάχιστον ἀντιφάσκουσι τῷ Ὁμήρῳ καὶ οἱ ὀνομάζοντες Ἀχιλλέως μὲν τάφον ἕνα τῶν τριῶν τοῦ Σιγείου τύμβων, Πατρόκλου δὲ τάφον τὸν ἕτερον, τὸν δὲ τρίτον Ἀντιλόχου. Σφάλλουσι δὲ οὐ μόνον διὰ τὸ χωρίζειν τὰ ὀστᾶ τῶν δύο καὶ μετὰ θάνατον ἀχωρίστων φίλων, ἀλλὰ καὶ διὰ τὸ νομίζειν τάφον Ἀχιλλέως ἕνα τῶν πρὸς Σίγειον τάφων τῶν μὴ ἐχόντων οὐδὲν τῶν χαρακτηριστικῶν ἅπερ Ὅμηρος ἀπονέμει αὐτῷ· οὐδεὶς γὰρ τῶν τριῶν κεῖται ἐπὶ τῷ Ἑλλησπόντῳ, ἐπὶ ἀκτῆς προεχούσης.

Αἰτία δὲ δι' ἣν καὶ ἐπὶ τῶν Ἀλεξανδρινῶν καὶ νῦν ὁ Ἀχιλλέως τάφος ἐνομίσθη εἶναι κατὰ τὸ Σίγειον, ἐστὶν ἡ ἀσύγνωστος πλάνη ἣν ἐπλανήθησαν οἱ νομίσαντες τὸν Ἀχιλλέα καὶ τοὺς Μυρμιδόνας παρατετάχθαι κατὰ τὸ δεξιὸν κέρας τοῦ Ἑλληνικοῦ στρατοπέδου, καίτοι ἡ Ἰλιάς, ὡς μετ' οὐ πολὺ δῆλον γενήσεται, λέγει αὐτὸν καὶ τοὺς μετ' αὐτοῦ τὸ ἀριστερὸν ἔχειν κέρας (1).

(1) Ὁ τῷ Αἰγαίῳ πελάγει πλησιέστερος τύμβος νῦν δὲ νεκροταφεῖον καὶ μόλις ὑπὲρ τὴν γῆν φαινόμενος, ἣν ἄλλοτε ὁρατὸς ἀπὸ τῆς θαλάσσης καὶ ἐλέγετο Ἀχιλλέως. Ἀλλ' ὁ Choiseul Gouffier ἀνεώξας αὐτὸν καὶ εὑρὼν μεταλλικά τινα ἔργα Ρωμαίων χρόνων, εἶπε, τοῦ Φήστου τάφου εἶναι, τὸν δ' ἕτερον, τὸν πρὸς τὸν Σκάμανδρον, Ἀχιλλέως· νομίσας καὶ αὐτὸς τὸν Ἀχιλλέα τὸ δεξιὸν ἔχειν κέρας ἐν τῷ Ἑλληνικῷ στρατοπέδῳ.

Κατ' ἐμὲ ὁ Πατρόκλου καὶ Ἀχιλλέως τύμβος ἐστὶν ὁ ἐπὶ τῆς ἄκρας Ῥοιτείου ἠκρωτηριασμένος μὲν ἀλλὰ μεγαλοπρεπής, ἀπὸ πολλῶν δὲ αἰώνων Αἴαντος τάφος λεγόμενος· οὗτος κεῖται ἐπὶ Ἑλλησπόντῳ, ἐπὶ ἀκτῆς ἀφ' ἧς ἅπαν τὸ στόμιον τοῦ Ἑλλησπόντου ἐστὶν ὁρατόν, ἐπὶ ἀκτῆς προεχούσης μὲν καὶ νῦν, πολὺ δὲ πλέον ἐπὶ τῶν Τρωϊκῶν ὅτε ὁ λιμὴν προυχώρει εἰς τὸ πεδίον. Καὶ ἀλλοιωθέντος μὲν καὶ ταπεινωθέντος τοῦ τύμβου, τὸ ἀπολειπόμενον μέρος συγχεόμενον τῷ ἀκρωτηρίῳ οὐχ ὁρᾶται πόρρωθεν ὑπὸ τῶν εἰς Ἑλλήσποντον πλεόντων, ἀλλ' ὁ ἐπὶ τῆς εὐρείας αὐτοῦ βάσεως καθήμενος περιηγητής, ἔχων ἄντικρυ τὴν εἴσοδον τοῦ Ἑλλησπόντου καὶ μεμνημένος τῆς εἰσχωρήσεως τοῦ λιμένος εἰς τὸ πεδίον καὶ τῆς τῶν Ἑλληνικῶν ἐθνῶν διασκευῆς καὶ κατατάξεως ἐπὶ τῆς παραλίας, ἀναγνωρίζει τοῦτον εἶναι τὸν τύμβον τῶν δύω ἢ τῶν τριῶν φίλων, Πατρόκλου, Ἀχιλλέως καὶ Ἀντιλόχου. Καταδικάζουσι δὲ τοὺς λέγοντας τὸν Πατρόκλου καὶ Ἀχιλλέως τύμβον πρὸς τὸ Σίγειον εἶναι καὶ οἱ τεθέντες μετὰ τὴν ταφὴν ἀγῶνες·

« χεύαντες δὲ τὸ σῆμα πάλιν κίον· αὐτὰρ Ἀχιλλεὺς
» αὐτοῦ λαὸν ἔρυκε καὶ ἵζανεν εὐρὺν ἀγῶνα
» νηῶν δ' ἔκφερε ἄεθλα, λέβητάς τε τρίποδάς τε ».

Ἰλ., Ψ, 257-.

Τὰ ἔπη ταῦτα δεικνύουσι τὸν ἀγῶνα γινόμενον ἐν χώρῳ οὐ πολὺ ἀπέχοντι τοῦ τε τύμβου καὶ τῶν νηῶν Ἀχιλ-

λέως. Πρὸς δὲ τούτοις Ὅμηρος παρακολουθῶν τοῖς ἅρμασι θέουσι, παρίστησι πᾶσαν τὴν περιφέρειαν τοῦ ἱπποδρόμου ὁμαλὴν καὶ ἐπίπεδον (Ψ, 260-535)· τοιαύτη δ' ἐστὶν ἡ πρὸς τὸ Ροίτειον χώρα ἡ παρὰ τὸν τύμβον, ὡς καὶ ἐπὶ τοῦ Πίνακος Β, φαίνεται.

Τοὐναντίον δὲ οἱ μὲν τρεῖς τύμβοι Σιγείου εἰσὶ πέραν τοῦ Σκαμάνδρου ὃν οὐκ ἦν ράδιον ἐν παντὶ χρόνῳ διαβῆναι, ἡ δὲ περὶ αὐτοὺς χώρα τόσον ἀνώμαλός ἐστιν, ὥστε ὁ τῶν ἁρμάτων δρόμος οὐχὶ δυσχερὴς ἀλλ' ἀδύνατος· αἱ δ' Ἀχιλλέως σκηναὶ κείμεναι πρὸς τὸ ἀριστερὸν κέρας τοῦ στρατοπέδου, ἀπέχοιεν πολὺ τοῦ τε τύμβου καὶ τῶν ἀγώνων. Ὁ Mauduit ἐξετάσας λεπτομερῶς τὸν τάφον ἀποκαλεῖ τὰ ἐν τῇ κορυφῇ φαινόμενα κτίρια, ρωμαϊκῆς πάντη ἐποχῆς ἔργα, καὶ λέγει τοῦτον Φήστου τάφον εἶναι, ποιηθέντα αὐτῷ ὑπὸ Καρακάλα βουλομένου τὸν Ἀχιλλέα μιμηθῆναι, ὡς Ἡρωδιανὸς ἱστορεῖ (Ρωμαϊκῶν ἱστοριῶν Βιβλ. 4ον). Τί οὖν ἐκώλυε τὸν τὰς φρένας οὐχ ὑγιᾶ Αὐτοκράτορα θάψαι τὸν φίλον Φῆστον ἐν τῷ αὐτῷ τύμβῳ ἐν ᾧ Ἀχιλλεὺς τὸν Πάτροκλον ἔθαψε;

ΠΕΡΙ ΦΗΓΟΥ ΚΑΙ ΕΡΙΝΕΟΥ.

Ὁ Ὅμηρος πρὸς τοῖς ἄλλοις τοπογραφικοῖς σημείοις τοῦ Τρωϊκοῦ πεδίου μνημονεύει καὶ δένδρων γνωστῶν τοῖς ἐγχωρίοις διὰ τὴν θέσιν, τὴν ὡραιότητα ἢ τὸ μέγεθος. Οὕτως εἶχον αἱ νῦν Ἀθῆναι τὸν ἐπὶ τῆς ὁδοῦ Ἑρμοῦ φοίνικα τὸν πρό τινων ἐτῶν πεσόντα. Ἐκ τούτων ἡ μὲν Φηγὸς ἦν πρὸ τῶν Σκαιῶν Πυλῶν, ὡς φαίνεται ἐκ τῆς πορείας Ἕκτορος ἀπὸ τοῦ πεδίου εἰς τὴν πόλιν

« Ἕκτωρ δ' ὡς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανεν ».

Ζ. 237.

ἐλέχθη δὲ κατὰ σχῆμα πρωθύστερον ἀντὶ τοῦ « φηγόντε ἵκανε καὶ Σκαιὰς πύλας ».

Ἐπὶ τῆς φηγοῦ Ἀθηνᾶ καὶ Ἀπόλλων καθήμενοι ἐφώρων τὴν Ἕκτορος καὶ Αἴαντος μονομαχίαν γινομένην ὑπὸ τὴν πόλιν (Η, 58 -). Ὑπ' αὐτὴν ἐτέθη Σαρπηδὼν τρωθεὶς κατὰ τὴν Πρώτην Μάχην (Ε, 692 -). Κατὰ δὲ τὴν Τετάρτην Μάχην πλησιάσαντος Ἀχιλλέως τῇ πόλει, ὁ Ἀπόλλων πέμπει μὲν τὸν Ἀγήνορα πρὸ τοῦ Πηλείδου αὐτὸς δὲ μένει παρὰ τῇ φηγῷ ἵνα ἐφορᾷ τὰ γινόμενα καὶ σώσῃ τὸν Ἀγήνορα (Φ, 544 -).

Ὁ δ' Ἐρινεὸς ἔκειτο ἀπωτέρω τῆς πόλεως, παρὰ τοὺς λόφους ἀφ' ὧν αἱ Πηγαὶ ῥέουσιν. Ἡ ἐν τῇ Τρίτῃ Μάχῃ φυγὴ τῶν Τρώων διωκομένων ὑπὸ Ἀγαμέμνονος ὁρίζει τὴν θέσιν τοῦ Ἐρινεοῦ.

« Οἱ δὲ παρ' Ἴλου σῆμα παλαιοῦ Δαρδανίδαο,
» μέσσον καπ' πεδίον παρ' ἐρινεὸν ἐσσεύοντο,
« ἱέμενοι πόλιος ».

Ὡς καὶ ἡ ἐν τῇ Τετάρτῃ Μάχῃ πορεία Ἀχιλλέως καὶ Ἕκτορος ὑπὸ τὴν πόλιν·

« Οἱ δὲ παρὰ σκοπιὴν καὶ ἐρινεὸν ἠνεμόεντα
» τείχεος αἰὲν ὑπὲκ κατ' ἀμαξιτὸν ἐσσεύοντο ».

X, 145-.

Ἡ ἐπὶ τοῦ Πίνακος Β, θέσις τοῦ ἐρινεοῦ ἀνταποκρίνεται πρὸς ἀμφοτέρας τὰς διευθύνσεις· οἵ τε γὰρ Τρῶες, φεύγοντες διὰ τοῦ πεδίου πρὸς τὴν πόλιν, παρὰ τὸν ἐρινεὸν διαβαίνουσιν, ἐπὶ δεξιὰ αὐτὸν ἔχοντες, καὶ οἱ περὶ τὴν πόλιν θέοντες Ἕκτωρ καὶ Ἀχιλλεὺς ὁμοίως. Δημήτριος δὲ ὁ Σκήψιος, ἕνεκα τῶν ἐρινεῶν τῶν ἔτι καὶ νῦν φυομένων ἐπὶ τῶν λόφων ἀφ' ὧν αἱ Πηγαὶ ἀναβρύουσι λέγει τὸν Ποιητὴν αἰνίττεσθαι φυτείαν ἐρινεῶν οὐχὶ ἕνα μόνον.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

ΠΕΡΙ ΣΤΡΑΤΩΝ.

ΠΕΡΙ ΕΛΛΗΝΙΚΟΥ.—ΣΦΑΛΜΑ ΚΑΤΑΛΟΓΟΥ.—ΠΕΡΙ ΤΡΩΪΚΟΥ ΣΤΡΑΤΟΥ.

ΕΛΛΗΝΙΚΟΥ ΣΤΡΑΤΟΥ ΔΙΑΤΑΞΙΣ.

Ἀναγνωρισθέντος οὖν τοῦ Τρωϊκοῦ πεδίου μεταβαίνομεν εἰς τὴν τῶν Στρατῶν περιγραφὴν ἀρχόμενοι, ὡς ὁ Ποιητής, ἀπὸ τοῦ Ἑλληνικοῦ. Οἱ Ἕλληνες ἀποβιβασθέντες εἰς τὸν ἐν Ἑλλησπόντῳ γνωστὸν ἡμῖν αἰγιαλὸν καὶ ἀποκρούσαντες τοὺς Τρῶας στρατοπεδεύονται ἀνελκύσαντες τὰ πλοῖα· τεκμήριον δὲ τῆς κατὰ τὴν ἀπόβασιν προσβολῆς ἐστὶν ὁ θάνατος τοῦ ἐν τοῖς πρωτίστοις ἀποβάντος Πρωτεσιλάου·

« τὸν δ' ἔκτανε Δάρδανος ἀνήρ,
» νηὸς ἀποθρώσκοντα πολὺ πρώτιστον Ἀχαιῶν ».

Β, 701-.

Καίπερ δὲ εὐρὺς ὢν ὁ αἰγιαλὸς οὐκ ἠδύνατο περιλαβεῖν πάντα τὰ πλοῖα ἐπὶ μιᾶς σειρᾶς τιθέμενα· ἕνεκα

τούτου οἱ Ἕλληνες διὰ τῶν πρώτων ἀνελκυσθέντων ἐποίησαν τὴν ἀπωτέρω τοῦ αἰγιαλοῦ σειρὰν πλοίων, κτίσαντες πρὸ αὐτῶν, (ἢ ὡς λέγει Ὅμηρος πρὸ τῶν πρυμνῶν οὐσῶν ἐστραμμένων πρὸς τὸ πεδίον) τεῖχος· διὰ δὲ τῶν μετὰ ταῦτα ἀνελκυσθέντων ἐποίησαν δευτέραν σειρὰν παράλληλον τῇ πρώτῃ καὶ οὕτω καθεξῆς μέχρι τῆς πρὸς τῷ αἰγιαλῷ τελευταίας σειρᾶς·

« . . . . τὰς γὰρ πρώτας πεδίονδε
» εἴρυσαν, αὐτὰρ τεῖχος ἐπὶ πρύμνησιν ἔδειμαν.
» οὐδὲ γὰρ οὐδ' εὐρύς περ ἐὼν ἐδυνήσατο πάσας
» αἰγιαλὸς νῆας χαδέειν· στείνοντο δὲ λαοί·
» τῷ ρα προκρόσσας ἔρυσσαν καὶ πλῆσαν ἁπάσης
» ἠϊόνος στόμα μακρὸν ὅσον συνεέργαθον ἄκραι (1) ».

Ξ, 31-36.

Ὄντων δὴ τῶν πλοίων χιλίων καὶ ἑκατὸν ὀγδοήκοντα ἕξ, τοῦ δὲ αἰγιαλοῦ ἔχοντος πλάτος περὶ τὰ διακόσια καὶ τρισχίλια μέτρα, εὑρήσομεν τέσσαρας εἶναι ἢ πέντε

(1) Ἐπὶ τοῦ Πίνακος Β, ἐγγεγραμμένοι εἰσὶν οἱ ἄνω στίχοι κατὰ τὴν παραλίαν, φέροντες πρὸ αὐτῶν τὸ τῆς Τρίτης Μάχης σημεῖον *. Τὸ δὲ τεῖχος ὅπερ μετὰ τὴν ἀπόβασιν ἐκτίσθη πρὸ τῶν πλοίων ἀποσιωπᾶται σχεδὸν ἐν τῷ Ποιήματι ἢ ὡς μικρὰν ἔχον ἀμυντικὴν σημασίαν ἢ ἵνα ἔτι μᾶλλον ἀνυψωθῇ ἡ Ἀχιλλέως ἀνδρία· κατὰ τὰς μάχας, μόνον τοῦ μετὰ τὴν μῆνιν Ἀχιλλέως γενομένου τείχους μνημονεύει ὁ Ποιητής. Σημειοῦμεν δ' ἐπὶ τοῦ Πίνακος τὸ ταπεινὸν τοῦτο τεῖχος δι' ἁπλῆς γραμμῆς ἔνθεν τοῦ ὑψηλοῦ καὶ πύργους ἔχοντος.

τὰς πάσας τῶν πλοίων σειράς, ἂν ὑποθέσωμεν δώδεκα μέτρα τὸ πλάτος τῆς ὑφ' ἑκάστου πλοίου κατεχομένης ἐκτάσεως μετὰ τῶν ἀναγκαίων διόδων. Ὅτι δὲ τὰ ἑλληνικὰ πλοῖα ἐπὶ πλειόνων σειρῶν ἦσαν διατεταγμένα μαρτυροῦσιν ὅτε μέγας τῶν πλοίων ἀριθμὸς πρὸς τὸ λιμένος πλάτος καὶ οἱ ἑξῆς Ἀγαμέμνονος πρὸς Μενέλαον λόγοι περὶ τῆς ῥαδίας ἀποπλανήσεως ἐν τῷ στρατοπέδῳ ἕνεκα τῶν πολλῶν ὁδῶν·

« αὖθι μένειν μήπως ἀβροτάξομεν ἀλλήλοιν
» ἐρχομένω· πολλαὶ γὰρ ἀνὰ στρατόν εἰσι κέλευθοι ».

Κ, 65-.

Αἱ δὲ σκηναὶ ἔκειντο ὁμοίως κατὰ σειρὰς παραλλήλους τοῖς πλοίοις, τῆς πρώτης σειρᾶς τῶν σκηνῶν ἐκτεινομένης μετὰ τὴν πρώτην πρὸς τὸ πεδίον σειρὰν πλοίων, ὡς δηλοῦται ἐν τῇ κατὰ τὴν Τρίτην Μάχην ὑποχωρήσει τῶν Ἑλλήνων·

« Ἀργεῖοι δὲ νεῶν μὲν ἐχώρησαν καὶ ἀνάγκῃ
» τῶν πρωτέων, αὐτοῦ δὲ παρὰ κλισίῃσιν ἔμειναν ».

Ο. 655-.

Μηνίσαντος δὲ τοῦ Ἀχιλλέως καὶ τῶν Τρώων τολμηροτέρων γενομένων, τὸ Ἑλληνικὸν στρατόπεδον κατὰ

συμβουλὴν Νέστορος ἐνισχύθη διὰ τείχους ὑψηλοῦ, διὰ πύργων ἐχόντων πύλας πρὸς τὴν τῶν ἁρμάτων διάβασιν καὶ διὰ τάφρου ἔξωθεν τοῦ τείχους ὀρυχθείσης. Γ' ἀμυντικὰ ταῦτα ἔργα ἐγένοντο μετὰ τὴν ἀνίδρυσιν τοῦ τύμβου τοῖς πεσοῦσι κατὰ τὴν Πρώτην Μάχην·

« ποτὶ δ' αὐτὸν (τὸν τύμβον) τεῖχος ἔδειμαν,
» πύργους θ' ὑψηλούς, εἶλαρ νηῶν τε καὶ αὐτῶν
» ἐν δ' αὐτοῖσι πύλας ἐνεποίεον εὖ ἀραρείας,
» ὄφρα δι' αὐτάων ἱππηλασίη ὁδὸς εἴη·
» ἔκτοσθεν δὲ βαθεῖαν ἐπ' αὐτῷ τάφρον ὄρυξαν
» εὐρεῖαν, μεγάλην, ἐν δὲ σκόλοπας κατέπηξαν (1) ».

Ἰλ. Η. 436-441.

Κατὰ δὲ τὴν ἡμέραν τῆς Τρίτης Μάχης ἡ μόνη ἀνεῳγμένη πύργου πύλη δι' ἧς οἱ ἀπὸ τοῦ πεδίου φεύγοντες Ἕλληνες εἰσήρχοντο εἰς τὸ ἑαυτῶν στρατόπεδον, ἦν κατὰ τὸ Ἀριστερὸν κέρας. Δι' αὐτῆς ὁ Ἄσιος Ὑρτακίδης εἰσῆλθεν ἐφ' ἅρματος εἰς τὸ Ἑλληνικὸν Στρατόπεδον·

« Εἴσατο γὰρ νηῶν ἐπ' ἀριστερά. τῇπερ Ἀχαιοὶ
» ἐκ πεδίου νίσσοντο σὺν ἵπποισιν καὶ ὄχεσφιν·
» τῇ ῥ ἵππους τε καὶ ἅρμα διήλασεν, οὐδὲ πύλῃσιν
» εὗρ' ἐπικεκλιμένας σανίδας καὶ μακρὸν ὀχῆα·

(1) Ὅρα τόν τε κοινὸν Τύμβον καὶ τ' ἀμυντικὰ ἔργα ἐπὶ τῶν Πινάκων, πρὸ τοῦ Ἑλληνικοῦ Στρατοπέδου. Τὰ δὲ πλοῖα καὶ τὰς σκηνὰς ἐπὶ τοῦ Πίνακος Α. ἰδίως.

» ἀλλ' ἀναπεπταμένας ἔχον ἀνέρες εἴ τιν' ἑταίρων
» ἐκ πολέμου φεύγοντα σαώσειαν μετὰ νῆας (1) ».

M, 118-123.

Δι' αὐτῆς ὀλίγον πρότερον διέβη Νέστωρ φέρων εἰς τὴν ἑαυτοῦ σκηνὴν τὸν βεβλημένον Μαχάονα (2). Καίτοι δ' εὐκρινῶς λέγεται ἕκαστον πύργον ἔχειν τὰς αὐτοῦ πύλας,

« πύργους θ' ὑψηλούς, εἶλαρ νηῶν τε καὶ αὐτῶν·
» ἐν δ' αὐτοῖσι πύλας ἐνεποίεον εὖ ἀραρείας ».

H, 437-.

Ἀρίσταρχος ἐπιμένει λέγων μίαν πύλην μόνον ἔχειν τὸ Ἑλληνικὸν στρατόπεδον, μὴ προσέχων οὔτε τοῖς ἄνω ἔπεσιν οὔτε τῇ Τρίτῃ Μάχῃ, ἔνθα ἕτεραι μὲν λέγονται αἱ πύλαι αἱ ἀναπεπταμέναι δι' ὧν εἰσήλασεν Ἄσιος ἐφ' ἅρματος (M, 110-194), ἕτεραι δὲ αἱ λίθῳ ὑφ' Ἕκτορος ῥηχθεῖσαι (M, 195-470).

(1) Ἡ πύλη αὕτη σημειοῦται ἐπὶ τοῦ Πίνακος B, μεταξὺ κέντρου καὶ τοῦ Σώματος Μυρμιδόνων κατὰ τὸ M''. Ἡ δ' ἐρυθρὰ γραμμὴ M' M'', θλωμένη κατὰ τὸν πύργον δεικνύει τὴν Ἀσίου Ὑρτακίδου εἰσέλασιν.

(2) Λ, 597-615. Ἡ ἐστιγμένη γραμμὴ ἡ ἀπὸ τοῦ N, ἀρχομένη (ἔνθα Μαχάων τρωθεὶς ἐτέθη ἐφ' ἅρματος), διερχομένη δὲ διὰ τοῦ πύργου καὶ λήγουσα εἰς N', δεικνύει τὴν ἀπὸ τοῦ πεδίου τῆς μάχης εἰς τὴν αὐτοῦ σκηνὴν πορείαν Νέστορος.

Ὁ μηνίων Ἀχιλλεὺς χλευάζει τὸν Ἀγαμέμνονα διὰ τὰ ἔργα ταῦτα ὡς ὄντα περιττὰ ἐν ᾧ χρόνῳ αὐτὸς ἐπολέμει μετὰ τῶν Ἀχαιῶν (Ἰλ., 348-355), ὁ δὲ Θουκυδίδης εἴτε συγχέων τὰ δύο ἐν Ἰλιάδι τείχη, εἴτ' ἐξελέγχων τὸν Ὅμηρον οἷα πλάσαντα τὸ δεύτερον τεῖχος, λαλεῖ μόνον περὶ τοῦ μετὰ τὴν ἀπόβασιν κατασκευασθέντος· «ἐπειδὴ »δὲ ἀφικόμενοι μάχῃ ἐκράτησαν, δῆλον δὲ τὸ γὰρ ἔρυμα »τῷ στρατοπέδῳ οὐκ ἂν ἐτειχίσαντο». (Βιβλ. Α. § 11.)

Ἡ Ἰλιάς, καθὰ καὶ ἀρχόμενοι εἴπομεν, ἐξιστορεῖ κυρίως τὰς μετὰ τὴν Ἀχιλλέως μῆνιν μάχας μέχρι τοῦ θανάτου Ἕκτορος. Ὡς δὲ οἱ ἱστορικοὶ οἱ πολέμους διηγούμενοι, περιγράφουσι τὰ στρατόπεδα καὶ τὰς χώρας ἵνα ὦσι καταληπτοί, οὕτω καὶ Ὅμηρος, πρῶτος ἡμῶν ἱστορικὸς καὶ πατὴρ τῆς στρατηγικῆς, παρέχει πάντα τὰ ἀπαιτούμενα βοηθήματα ἵνα καλῶς ἐννοήσωμεν τὰ ἐξιστορούμενα. Τὸ δὲ ἀξιολογώτερον πάντων τῶν βοηθημάτων ἐστίν, ἡ ἀπαρίθμησις καὶ διάταξις τῶν πολεμούντων, γενομένη πρὸ τῶν ἐχθροπραξιῶν καὶ ὀνομασθεῖσα Κατάλογος ἢ Κατάλογος νηῶν ὑπὸ τῶν ἀγνοούντων τὴν ἀληθῆ ἀξίαν τῆς μικρᾶς ταύτης μερίδος τοῦ Ποιήματος (1). Βεβαίως καὶ ὡς ἁπλῆ ἀπαρίθμησις ἐξεταζομένη μεγίστην παρέχει τὴν ὠφέλειαν ἕνεκα τῶν ἐν αὐτῇ γεωγραφικῶν καὶ ἱστορικῶν γνώσεων, ἐχουσῶν κῦρος ἀναμ-

(1) Ἡρόδοτος δ' ἐμιμήθη καὶ κατὰ τοῦτο τὸν Ὅμηρον περιγράψας τὰ ἔθνη, Περσικά τε καὶ Ἑλληνικά, τὰ πολεμήσαντα πρὸς ἄλληλα.

φισβήτητον. Ἀλλ' αὐτὸ μὲν καθ' ἑαυτὸ ἄχαρι καὶ βαρὺ ἀποβαίνει, αἱ δὲ μάχαι φαντασιώδεις, ἡ χώρα ἐφ' ἧς ἐκτελοῦνται ἀμφίβολος, τῷ ἀγνοοῦντι τὸν προορισμὸν τοῦ λεγομένου Καταλόγου, ἐξηγοῦντος οὐ μόνον τὸν ἀριθμὸν ἀλλὰ καὶ τὴν διάταξιν τῶν στρατῶν, ἤγουν τὴν τάξιν ἣν κατεῖχεν ἕκαστον ἔθνος, τὴν σχετικὴν βαρύτητα τῶν ἐθνῶν καὶ τῶν ἀρχηγῶν, τὴν εἰς κέρατα καὶ κέντρον διαίρεσιν.

Ἐπειδὴ δὲ οἱ μὲν Τρῶες εἰσήρχοντο συνήθως εἰς τὴν πόλιν μετὰ τὰς μάχας, οἱ δ' Ἕλληνες ἦσαν μονίμως ἐστρατοπεδευμένοι παρὰ τὸν Ἑλλήσποντον, ὁ Ὅμηρος καταταχθέντων τῶν Ἑλληνικῶν ἐθνῶν κατὰ τοὺς μέχρι τοῦδε διέποντας τὴν στρατηγικὴν κανόνας, λαμβάνει τὸ Ἑλληνικὸν στρατόπεδον ὡς βάσιν τῶν διευθύνσεων καὶ ἑλιγμῶν οὐ μόνον τῶν Ἑλλήνων ἀλλὰ καὶ τῶν Τρώων. Μὴ θαυμάσῃ οὖν ὁ ἀναγνώστης ἂν ἀνωτέρω ἡ Ἀσίου Ὑρτακίδου διεύθυνσις «νηῶν ἐπ' ἀριστερὰ» ἐφαρμόζεται τῷ Ἑλληνικῷ στρατοπέδῳ, ὡς ἂν ἐγίνετο λόγος περὶ Ἕλληνος ἀρχηγοῦ.

Συνελόντι δὲ εἰπεῖν ὁ νηῶν Κατάλογος ἐστιν ἡ ἰχνογράφησις, ἡ εἰκὼν τοῦ ἐπὶ τῆς παραλίας Ἑλληνικοῦ στρατοπέδου, ἣν ἀδιακόπως εἶχε πρὸ τῶν ὀφθαλμῶν ὁ Ὅμηρος συγγράφων τὴν Ἰλιάδα· ἄνευ αὐτῆς οὐδεμία ἀνθρωπίνη μνήμη ἐκράτει τὸν ἀριθμὸν καὶ τὴν σχετικὴν τάξιν τῶν ἐθνῶν, τῶν ἀρχηγῶν, τῶν πλοίων· οὐδὲ παρη-

κολούθει ἄνευ ἀποπλανήσεως τοῖς ἀπείροις ἑλιγμοῖς τοῖς ἔχουσι σχέσεις πρός τε ἀλλήλους καὶ πρὸς τὴν χώραν. Ἵνα δὲ κάλλιον συνδεθῇ μετὰ τοῦ λοιποῦ ποιήματος ἡ τῶν Στρατῶν περιγραφή, ὁ Ποιητὴς δίδει αὐτῇ μορφήν τινα γενικῆς ἐπιθεωρήσεως γενομένης πρὸς τῶν ἐχθροπραξιῶν ἀλλ' ἡ ἐν τῷ Καταλόγῳ μνεία τῶν Μυρμιδόνων πολεμησάντων μόνον κατὰ τὴν τελευταίαν Μάχην, καὶ ἡ τῶν μαχῶν ἐφαρμογὴ μαρτυροῦσιν ὅτι ὁ Ὅμηρος διὰ τοῦ Καταλόγου ἐξηγεῖ καὶ δεικνύει πρῶτον μὲν τὴν ἐπὶ τῆς Τρωϊκῆς παραλίας μόνιμον τῶν Ἑλληνικῶν ἐθνῶν διάταξιν, ἔπειτα δὲ καὶ τὸν ἀριθμὸν τῶν πλοίων, τῶν ἐθνῶν, τῶν ἀρχηγῶν ἀμφοτέρων τῶν στρατῶν καὶ τελευταῖον τὴν σχετικὴν τῶν ἐθνῶν καὶ ἀρχηγῶν ἀξίαν.

Καταταχθήτωσαν οὖν ἐπὶ τοῦ αἰγιαλοῦ τὰ Ἑλληνικὰ ἔθνη καθ' ὑπαγόρευσιν τοῦ Ποιητοῦ ἵνα ἴδωμεν τὸ ἀποβησόμενον.

Ἡ μὲν δὴ τοῦ στρατοπέδου περιγραφὴ ἄρχεται ἀπὸ Βοιωτῶν διαιρουμένων εἰς δύω Σώματα ἐξ ὧν τὸ Πρῶτον ἔχει ἀρχοὺς πέντε πλοῖα δὲ πεντήκοντα· τὸ Δεύτερον ἀρχοὺς δύω πλοῖα δὲ τριάκοντα·

1ον. « Βοιωτῶν μὲν Πηνήλεως καὶ Λήϊτος ἦρχον,
» Ἀρκεσίλαός τε Προθοήνωρ τε Κλονίος τε·
» τῶν μὲν πεντήκοντα νέες κίον . . . ».

2ον. « Οἱ δ' Ἀσπληδόνα ναῖον ἰδ' Ὀρχομενὸν Μινύϊον,
» τῶν ἦρχ' Ἀσκάλαφος καὶ Ἰάλμενος υἷες Ἄρηος·
. . . .
» τοῖς δὲ τριήκοντα γλαφυραὶ νέες ἐστιχόωντο ».

Ποίαν δὲ θέσιν κατεῖχον οἱ Βοιωτοὶ ἐν τῷ Στρατοπέδῳ, ὁ Ποιητὴς εὐθὺς σαφηνίζει περιγράφων τὸ Τρίτον Σῶμα τὸ τῶν Φωκέων ἐχόντων δύο ἀρχοὺς πλοῖα δὲ τεσσαράκοντα καὶ παρακειμένων ἐπ' ἀριστερὰ τῶν Βοιωτῶν.

3ον. « Αὐτὰρ Φωκήων Σχεδίος καὶ Ἐπίστροφος ἦρχον,

. . . .

» τοῖς δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο . .

» Βοιωτῶν δ' ἔμπλην ἐπ' ἀριστερὰ θωρήσσοντο ».

Ὁ τελευταῖος τῶν στίχων ἐστιν ὁ ἀριάδνιος μῖτος ὁ ἀσφαλῶς ὁδηγήσων ἡμᾶς διὰ τοῦ μέχρι τοῦδε ἀδιεξόδου λαβυρίνθου, ἐξηγῶν πρὸς τοῖς ἄλλοις ὅτι ὁ Ποιητὴς περιγράφει τὸ Ἑλληνικὸν στρατόπεδον ἀρχόμενος ἀπὸ τοῦ δεξιοῦ κέρατος. Οἱ Φωκεῖς, λέγει, ἦσαν παρατεταγμένοι ἐπὶ τ' ἀριστερὰ τῶν Βοιωτῶν, ἄρα οἱ Βοιωτοὶ κατεῖχον τὴν ἐσχατιὰν τοῦ δεξιοῦ κέρατος, ὄντες παρὰ τὴν δεξιὰν ὄχθην τοῦ Σκαμάνδρου ἤ, ὡς ἀσφαλεστέρως εἶπεν Ὅμηρος, παρὰ τὴν ἄκραν (1) τὴν ἀνώνυμον μὲν τότε, Σίγειον δὲ κληθεῖσαν ἐν τοῖς ἔπειτα χρόνοις. Ἀπὸ Ὁμήρου μέχρι τοῦ νῦν κατὰ τὸν αὐτὸν τρόπον κατατάττονται οἱ στρατοί· ὁ Ἡρόδοτος περιγράφων τὸν εἰς Πλαταιὰς Ἑλληνικὸν στρατόν, ἀπὸ τοῦ δεξιοῦ ὁμοίως κέρα-

(1) « . . . . . καὶ πλῆσαν ἁπάσης

» ἠϊόνος στόμα μακρόν, ὅσον συνεέργαθον ἄκραι »· Ξ, 35-36.

τος ἄρχεται κατεχομένου ὑπὸ τῶν Λακεδαιμονίων καὶ λήγει εἰς τὸ ἀριστερὸν ὃ εἶχον οἱ Ἀθηναῖοι. Καὶ ὁ μὲν ἱστορικὸς ἕνεκα τῆς ἀξιώσεως τῶν Τεγεατῶν διαφιλονεικησάντων πρὸς τοὺς Ἀθηναίους τὸ ἀριστερὸν κέρας, ἐξηγεῖ τὴν σχετικὴν τῶν κεράτων βαρύτητα καὶ τὴν ὑπεροχὴν τοῦ δεξιοῦ κατεχομένου ὑπὸ Λακεδαιμονίων πρωτευόντων τότε ἐν τοῖς Ἕλλησιν. Ὁ δὲ Ποιητὴς περὶ πολεμικῶν ἐπίσης πράξεων λαλῶν, διασπείρει τεχνηέντος ἐν τῷ Ποιήματι τὰς περὶ τὰ τοιαῦτα ἐξηγήσεις καὶ οὐδὲν ἀμφίβολον ἐᾷ.

Κατατάξαντες τοίνυν ἐπὶ τὰ δεξιὰ τοῦ λιμένος, παρὰ τὸ Σίγειον, τὰ δύω τῶν Βοιωτῶν Σώματα, εἶτα ἐπ' ἀριστερὰ αὐτῶν τὸ Φωκήων Τρίτον, ἐξακολουθοῦμεν (1).

Παρὰ τοῖς Φωκεῦσιν, ἐννοεῖται ἐπ' ἀριστερὰ αὐτῶν, ἦν τὸ Λοκρῶν Σῶμα Τέταρτον τὴν τάξιν, ἔχον ἕνα ἀρχόν, Αἴαντα τὸν Ὀϊλῆος, ναῦς δὲ τεσσαράκοντα.

Μετὰ δὲ τοὺς Λοκροὺς ἦν παρατεταγμένον Πέμπτον τὴν τάξιν τὸ Σῶμα Φυλάκης, οὐχὶ τὸ Εὐβοέων ὡς λέγει ὁ Κατάλογος. Ἐν τῇ περιγραφῇ τῆς Τρίτης μάχης εὑρήσομεν πάσας τὰς ἀποδείξεις τὰς μαρτυρούσας ὅτι τὸ Φυλάκης Σῶμα ἦν παρὰ Λοκροῖς ἐστρατοπεδευμένον, ἐπ' ἀριστερὰ αὐτῶν. Οἱ δὲ Ραψῳδοὶ ἢ οἱ ἀντιγραφεῖς,

(1) Παρακολουθείτω ὁ ἀναγνώστης τῇ διατάξει ἐπὶ τοῦ Πίνακος Α. Ἡ πρώτη πρὸς τὸ πεδίον σειρὰ ἀριθμῶν δεικνύει τὴν τάξιν ἑκάστου ἔθνους ἢ Σώματος, ἀπὸ τοῦ 1ου τῶν Βοιωτῶν μέχρι τοῦ 29ου τῶν Μαγνήτων.

ἀγνοοῦντες τὴν Ἰλιάδος στρατηγικὴν διασκευήν, ἔθεσαν τὸ Εὐβοέων Σῶμα μετὰ τοὺς Λοκρούς, ἀπατηθέντες ἴσως ἐκ τοῦ τελευταίου περὶ Λοκρῶν στίχου

« Λοκρῶν οἵ ναίουσι πέρην ἱερῆς Εὐβοίης »

καὶ νομίσαντες μετ' αὐτὸν εἰκότως τὴν Εὔβοιαν κατατάττεσθαι. Οὐ μόνον δὲ πρὸς τὰς στρατιωτικὰς τῶν μαχομένων κινήσεις ἀντιφάσκει ἡ παρὰ Λοκροῖς τῶν Εὐβοέων κατάταξις ἀλλὰ καὶ πρὸς τὴν γεωγραφικὴν τοῦ Καταλόγου τάξιν καὶ πρὸς ῥητὴν καὶ καθαρὰν ὁμολογίαν Ὁμήρου λέγοντος ἐν τῇ Τρίτῃ τῶν Μαχῶν ὅτι ὁ Ἕκτωρ, ἀφ' ἧς ὥρας ἔπεσε τὸ ὑψηλὸν τεῖχος; ἵστατο καὶ ἐπολέμει ἔνθα ἦσαν αἱ τοῦ Αἴαντος καὶ Πρωτεσιλάου νῆες·

« Ἔνθ' ἔσαν Αἴαντος τε νέες καὶ Πρωτεσιλάου ».

N. 681.

Τὸ ἔπος τοῦτο εἵλκυσεν, ὡς φαίνεται, πολλάκις τὴν προσοχὴν τῶν ἀρχαίων, εἷς δὲ τῶν σχολιαστῶν, ὁ Ἀρίσταρχος, μετα βεβαιότητος λέγει τὸν Ποιητὴν ἐνταῦθα ἐννοεῖν Αἴαντα τὸν Λοκρὸν οὗτινος αἱ νῆες ἦσαν παρὰ ταῖς ναυσὶ Πρωτεσιλάου.

« Ἔνθ' ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου,

» ἡ διπλῆ ὅτι τοῦ Λοκροῦ λέγει Αἴαντος, οὗτος

» γὰρ πλησίον ἐνεώλκει τοῦ Πρωτεσιλάου » πρὸς τὰ περὶ τοῦ Ναυστάθμου (1) ».

Ἀλλ' ἀγνοοῦντες τὴν κατὰ τὰς μάχας ἀκρίβειαν τῶν ἑλιγμῶν καὶ τὴν ἐπὶ τοῦ Ἑλληνικοῦ στρατοπέδου ἐφαρμογήν, ἴσως δὲ πρὸς τοῖς ἄλλοις ἀπατηθέντες καὶ ὑπὸ τοῦ ἐθνικοῦ ἐπιθέτου « Φθίοι » διδομένου τοῖς τε Μυρμιδόσι καὶ τοῖς τὴν Φυλάκην οἰκοῦσιν, οὐκ ἐτόλμησαν καθάψασθαι τοῦ Καταλόγου καὶ ἀνορθῶσαι τὸ ἐσφαλμένον.

Ὑπολείπεται δὲ νῦν ἡμῖν ἡ ἀνεύρεσις τῆς τάξεως ἣν κατεῖχον οἱ Εὐβοεῖς ἐν τῷ στρατοπέδῳ. Ἀλλὰ κατὰ κακὴν μοῖραν, πεσόντος τοῦ ἀρχηγοῦ αὐτῶν Ἐλεφήνορος ἐν ἀρχῇ τῆς Πρώτης Μάχης (Δ, 463-470), δύσκολος ἀποβαίνει ἡ ἀνακάλυψις τῆς ἐν τῷ Στρατοπέδῳ θέσεως τῶν Εὐβοέων διὰ τῶν στρατηγικῶν κινήσεων. Ἔχομεν ὅμως δύο ἑτέρας ὁδοὺς δι' ὧν ἀνακαλύπτεται. Πρώτη τῶν ὁδῶν ἐστιν ἡ ἀριθμητικὴ καὶ στρατηγικὴ διαίρεσις περὶ ἧς κατωτέρω λαλήσομεν· δευτέρα δὲ ἡ κατὰ τάξιν γεωγραφικὴν ἀπαρίθμησις τῶν Ἑλληνικῶν ἐθνῶν ἐν τῷ Καταλόγῳ. Καὶ κατ' ἀρχὰς μέν, ὅταν ἀνεγνώρισα τὸ τοῦ Καταλόγου σφάλμα, μετέθεσα ἐναλλὰξ τὰ δύω Σώματα, κατατάξας τὸ μὲν Φυλάκης παρὰ τοῖς Λοκροῖς

(1) Ἑνετικὰ Σχόλια, Ἔκδοσις Villoison· Οἱ πλεῖστοι θέλουσιν Ἀριστάρχου εἶναι τὰ ἐν τοῖς Σχολίοις σημεῖα, διπλῆ· — ὀβελὸς καὶ λοιπά. Πόθεν δ' ἔμαθεν ὁ Σχολιαστὴς νεωλκῆσαι τὸν Πρωτεσίλαον παρὰ τῷ Λοκρῷ Αἴαντι; οὐχὶ βεβαίως ἐκ τῆς στρατηγικῆς τοῦ Ποιήματος διασκευῆς ἣν ἠγνόει. Ἴσως οὖν ἐκ παραδόσεως ἢ ἐκ χειρογράφου ἀρχαίου τῆς Ἰλιάδος.

ὡς ἀπαιτεῖ ἡ Ἰλιάς, τὸ δ' Εὐβοέων ἐν τῇ θέσει ἣν κατεῖχεν ἡ Φυλάκη, ἤτοι μετὰ τὸ Πελασγικὸν Ἄργος, 22ον τὴν τάξιν (1). Ἀλλ' εὐθὺς εἶδον πρῶτον μὲν τὴν Εὔβοιαν, οὖσαν νῆσον, ἀποχωρίζεσθαι τῶν λοιπῶν κατὰ σειρὰν προηγουμένων νήσων, Κρήτης, Ῥόδου, Σύμης, Νισύρου, Καρπάθου κλ., δεύτερον δὲ ἡ διὰ τοῦ ἀριθμοῦ ἑπτὰ διαίρεσις τῶν ἑκατέρωθεν τοῦ Κέντρου τεσσάρων καὶ δέκα Σωμάτων ἠλλοιοῦτο, μενόντων ὀκτὼ Σωμάτων πέραν τοῦ Πελασγικοῦ Ἄργους, κατὰ τὴν ἀριστερὰν ἐσχατιὰν τοῦ Στρατοπέδου. Ἐκ τούτων οὖν ὁδηγηθεὶς εὗρον τὴν Εὐβοέων θέσιν ὁριζομένην ἀφ' ἑαυτῆς πρὸ τοῦ Πελασγικοῦ Ἄργους, ἐν τῇ σειρᾷ τῶν νησιωτῶν, ἤγουν τὸ Εὐβοέων Σῶμα ἣν 21ον τὴν τάξιν.

Μετὰ τὴν παρέκβασιν ταύτην ἂς ἐπαναλάβωμεν τὴν διακοπεῖσαν περιγραφὴν τοῦ Ἑλληνικοῦ Στρατοπέδου. Παρὰ τῇ Φυλάκῃ παρετάχθη τὸ Σῶμα τῶν Ἀθηναίων, ἕκτον τὴν τάξιν, μετὰ τούτους τὸ Σαλαμινίων ἕβδομον, ὄγδοον τὸ Ἀργείων, εἰκοστὸν ἔννατον καὶ τελευταῖον τὸ Μαγνήτων.

Ἅπας οὖν ὁ Ἑλληνικὸς στρατὸς συνέκειτο ἐξ ἐννέα καὶ εἴκοσι Ἐθνῶν ὁδηγουμένων ὑπὸ ἓξ καὶ τεσσαράκοντα ἀρχηγῶν ἐξ ὧν ὁ μὲν Πρωτεσίλαος ἐπεφόνευτο κατὰ τὴν ἀπόβασιν, ὁ δὲ Φιλοκτήτης ἔμενε πάσχων ἐν Λήμνῳ.

(1) Ἐχέτω πρὸ ὀφθαλμῶν ὁ ἀναγνώστης τοὺς Πίνακας ὅπως ἐννοῇ τὰ λεγόμενα.

῞Εκαστον ῎Εθνος εἶχεν ὡρισμένον ἀριθμὸν πλοίων, πάντα δὲ ὁμοῦ τὰ πλοῖα ἦσαν χίλια-ἑκατὸν-ὀγδοήκοντα καὶ ἕξ. Εἰπὼν δὲ ὁ Ποιητὴς τὰ μὲν τῶν Βοιωτῶν πλοῖα φέρειν εἴκοσι καὶ ἑκατὸν ἄνδρας, τὰ δὲ Φιλοκτήτου πεντήκοντα, δηλοῖ, ὡς καὶ Θουκυδίδῃ ἔδοξε, τὰ μέγιστα καὶ τὰ ἐλάχιστα (1). Λαμβάνοντες οὖν τὸν μέσον τῶν δύο ἀριθμῶν, ἔτι δὲ καὶ τοὺς ἐν τέλει ὑπολογίζοντες, εὑρήσομεν σύμπαντα τὸν Ἑλληνικὸν στρατὸν περὶ τὰς δέκα καὶ ἑκατὸν χιλιάδας ὄντα, ἤτοι ἰσάριθμον τῷ εἰς Πλαταιὰς συνελθόντι ἐπὶ τῶν Μηδικῶν. Κατὰ δὲ Ἀρίσταρχον οἱ ῞Ελληνες ἦσαν δύω καὶ τεσσαράκοντα καὶ ἑκατὸν χιλιάδες πρός δε εἴκοσι καὶ τριακόσιοι. Κατ' ἄλλους δὲ ἀρχαίους δώδεκα μυριάδες (2).

Ἃς ἐρευνήσωμεν δὲ καὶ τὰ περὶ τὴν διαίρεσιν τοῦ Στρατοπέδου. Ἀγαμέμνων κατὰ τὴν Δευτέραν Μάχην καὶ ῎Ερις ἐν ἀρχῇ τῆς Τρίτης, ἀγορεῦσαι πρὸς τοὺς ῞Ελληνας βουλόμενοι ἐκλέγουσι, λέγει ὁ Ποιητὴς « τὸ πλοῖον Ὀδυσσέως, ὃν ἐν τῷ μέσῳ τοῦ Στρατοπέδου, ἵνα ἀκούωνται ἀμφοτέρωσε, ἀφ' ἑνὸς μὲν πρὸς τὰς σκηνὰς τοῦ Τελαμωνίου Αἴαντος, ἀφ' ἑτέρου δὲ πρὸς τὰς Ἀχιλλέως (3)·

(1) Λέγει δὲ Θουκυδίδης χίλια διακόσια τὰ πλοῖα διὰ συντομίαν.

(2) Εὐσταθίου παρεκβολαὶ εἰς τὸ Βῆτα Ἰλιάδος.

(3) Ὁ Ἀγαμέμνων οὐ βούλεται εἰσακουσθῆναι μέχρι τῶν ἐσχατιῶν τοῦ στρατοπέδου, ἀδύνατον γὰρ διὰ τὴν μεγάλην ἀπόστασιν, ἀλλὰ πρὸς τὰς ἑκατέρωσε ἐσχατιάς· κακῶς οὖν μεταφράζουσιν ὁ Giguet καὶ ἕτεροι·

οὗτοι γαρ πεποιθότες τῇ ἑαυτῶν ἀνδρίᾳ κατεῖχον τὰς ἐσχατιάς ».

« Στῆ δ' ἐπ' Ὀδυσσῆος μεγακήτεϊ νηὶ μελαίνῃ,
» ἥρ' ἐν μεσσάτῳ ἔσκε γεγωνέμεν ἀμφοτέρωσε
» ἠμὲν ἐπ' Αἴαντος κλισίας Τελαμωνιάδαο·
» ἠδ' ἐπ' Ἀχιλλῆος· τοί ρ' ἔσχατα νῆας ἐΐσας
» εἴρυσαν ἠνορέῃ πίσυνοι καὶ κάρτεϊ χειρῶν ».

Θ, 222-. Λ, 5-.

Ἐφαρμόζοντες ἐπὶ τοῦ Πίνακος Α, τοὺς στίχους βλέπομεν εὐθὺς τὴν τοῦ Στρατοπέδου διαίρεσιν εἰς Κέρατα καὶ Κέντρον. Πρῶτον μὲν τὸ Ὀδυσσέως πλοῖον, ὅπερ « ἐν μεσσάτῳ ἔσκεν » ὂν ἐν τῷ μέσῳ τῶν Ἰθακησίων πλοίων, κεῖται ἐν τῷ κέντρῳ τοῦ ὅλου Στρατοπέδου· ὄντων γὰρ ἐννέα καὶ εἴκοσι ἁπάντων τῶν Σωμάτων, τὸ Ἰθάκης εὑρίσκεται ὂν δέκατον πέμπτον τὴν τάξιν, ἤτοι ἀκριβῶς ἐν τῷ μέσῳ, ἐν τῷ Κέντρῳ, ἔχον ἑκατέρωθεν Σώματα τεσσαρακαίδεκα.

Δεύτερον δὲ Αἴας ὁ Τελαμώνιος καὶ Ἀχιλλεὺς οἱ δύω ἀνδρειότεροι τῶν Ἑλλήνων, κατεῖχον τὰ Κέρατα, ὁ μὲν τὸ δεξιόν, Ἀχιλλεὺς δὲ τὸ ἀριστερόν· τοῦτο σημαίνουσι τὰ ἔπη

« pour se faire entendre jusqu'aux deux extrémités du camp »· ἀντὶ τοῦ vers les deux extrémités :

« τοί ρ' ἔσχατα νῆας ἐΐσας
» εἴρυσσαν, ἠνορέῃ πίσυνοι καὶ κάρτεϊ χειρῶν » (1).

Ἐξετάζοντες οὖν τὰ πρὸ ἡμῶν παρατεταγμένα Ἑλληνικὰ Ἔθνη βλέπομεν τωόντι ἐπὶ μὲν τὰ δεξιὰ τὸ Αἴαντος Τελαμωνίου Σῶμα εἶναι ἕβδομον τὴν τάξιν· ἐπ' ἀριστερὰ δὲ τὸ Ἀχιλλέως εἰκοστὸν δεύτερον, ἢ ἄλλως εἰπεῖν, τὰ Σώματα Αἴαντος Τελαμωνίου καὶ Ἀχιλλέως ἀπέχουσιν ἀριθμητικῶς ἀπόστασιν ἴσην ἀπό τε τοῦ Κέντρου καὶ τῶν ἀμφοτέρωθεν ἄκρων. Ὁ Ποιητής, ἢ ὁ στρατάρχης Ἀγαμέμνων, ἔχων ἐννέα καὶ εἴκοσι Ἔθνη, διαιρεῖ αὐτὰ διὰ τοῦ ἀριθμοῦ ἑπτά· ἤτοι ἀπὸ τοῦ πρώτου τῶν Βοιωτῶν εἰς τὸ Σαλαμινίων, ἢ τὸ Αἴαντος Τελαμωνίου διοικοῦντος τὸ δεξιὸν Κέρας, ἀριθμοῦνται Ἔθνη ἑπτά· μεταξὺ δὲ Σαλαμινίων καὶ Ἰθακησίων, ἢ τοῦ Κέντρου, ὁμοίως Ἔθνη ἑπτὰ ἀριθμοῦνται. Πάλιν (παραλειπομένων τῶν Ἰθακησίων) ἀπὸ τῶν Αἰτωλῶν εἰς τὸ Πελασγικοῦ Ἄργους, ἢ Ἀχιλλέως διοικοῦντος τὸ ἀριστερὸν Κέρας, ἑπτὰ Ἔθνη ἀριθμοῦνται· ἀπὸ δὲ τοῦ Ἔθνους Φερῶν εἰς τὸ Μαγνήτων ὁμως ἑπτὰ ἀριθμοῦνται Ἔθνη.

(1) Θαυμάζω πῶς ὁ Aléxis Pierron ἀπεπλανήθη τῆς ἀληθοῦς ἐννοίας εἰπὼν τάδε περὶ τῶν ἐπῶν τούτων « Plus un héros était brave et vigoureux plus il avait tenu à honneur de tirer loin ses vaisseaux. Achille et Ajax campaient à une grande distance de la mer». Ὁμήρου Ἰλιὰς par A. Pierron. Σημ. στιχ. 153 Ραψ. B.

Ἡ μὲν δὴ τοῦ Ἑλληνικοῦ Στρατοπέδου διαίρεσις εἰς Κέντρον καὶ Κέρατα ἐστὶ προφανής. Καίτοι δὲ δι' ἀριθμητικῆς ἀκριβείας διαιρουμένου τοῦ Στρατοπέδου, ἡ σχετικὴ τῶν Κεράτων βαρύτης διαμένει, ἕνεκα τῆς ἐπὶ τὰ δεξιὰ κατατάξεως τῶν σημαντικωτέρων Ἐθνῶν τῶν καὶ ναῦς καὶ ἀρχηγοὺς πλείονας καὶ ἀνδρειοτέρους ἐχόντων. Γίνεται δὲ ἡ τῶν Κεράτων διαφορὰ ἐναργεστέρα, ἂν ἀπὸ τοῦ Κέντρου εἰς δύο μερίδας, δεξιὰν καὶ ἀριστεράν, διαιρέσωμεν τὸ Στρατόπεδον.

Φαίνεται οὖν ἐκ τούτων καὶ ἐπὶ Ὁμήρου τὸ δεξιὸν Κέρας εἶναι τὸ κυριώτερον, τὸ ἐπικρατέστερον. Ὁ Πελώριος Αἴας ὁ καὶ αὐτοῦ τοῦ Ἀχιλλέως ῥωμαλαιότερος διοικεῖ αὐτό· παρὰ δὲ τῷ Αἴαντι βλέπομεν ἐπ' ἀριστερὰ μὲν τὸν Διομήδη (Σῶμα 8ον), εἶτα τὸν Ἀγαμέμνονα (Σῶμα 9ον), μετὰ ταῦτα τὸν Μενέλαον (Σῶμα 10ον). Ἐπὶ δεξιὰ δὲ τὸν Μενεσθέα (Σῶμα 6ον) καὶ τὸν μικρὸν Αἴαντα.

Δεύτερον κατὰ τὴν σημασίαν ἦν τὸ ἀριστερὸν Κέρας ὅπερ διοικεῖ Ἀχιλλεύς, μόνος διακρινόμενος ἐν τοῖς ἑκατέρωθεν ἀρχηγοῖς μὴ οὖσιν ἐκ τῶν πρωτίστων· ἦσαν γὰρ ἐπ' ἀριστερὰ μὲν Εὔμηλος (Σῶμα 23ον), Μέδων (Σῶμα 24ον)· ἐπὶ δεξιὰ δὲ Ἐλεφήνωρ (Σῶμα 21ον) Ἄντιφος (Σῶμα 20ον), Νιρεὺς (Σῶμα 19ον). Ἐν τῇ τοιαύτῃ διατάξει ὁ σκοπὸς Ὁμήρου ῥαδίως μαντεύεται· ὁ τοῦ Ποιήματος ἥρως μεγαλύνεται ἔτι μᾶλλον καὶ ἐξυψοῦται

τεθεὶς μόνος, οὕτως εἰπεῖν, ὑπερασπιστὴς τοῦ ἀριστεροῦ Κέρατος· ἡ δόξα αὐτοῦ καὶ ἡ ἀνδρία, εὑρισκομένου κατὰ τὸ δεξιὸν Κέρας, ἐπεσκιάζετο ἂν ὁπωσδήποτε ὑπὸ τῶν ἐκεῖ ἀρίστων ἀρχηγῶν καὶ τοῦ Στρατάρχου Ἀγαμέμνονος.

Τελευταῖον δὲ βλέπομεν τὸ Κέντρον κατέχεσθαι ὑπὸ τῶν φρονιμωτέρων, Ὀδυσσέως ἐν τῷ μέσῳ, Νέστορος (Σῶμα 11ον) δεξιόθεν, Θόαντος καὶ Ἰδομενέως ἀριστερόθεν (1). Κατὰ τὸ Κέντρον, πρὸς τὴν παραλίαν, ἐγίνοντο αἱ γενικαὶ συνελεύσεις (ἀγοραί), αἱ δίκαι καὶ αἱ θυσίαι·

« Ἀλλ' ὅτε δὴ κατὰ νῆας Ὀδυσσῆος θείοιο
» ἷξε θέων Πάτροκλος, ἵνα σφ' ἀγορή τε θέμιςτε
» ἤην· τῇ δε καί σφι θεῶν ἐτετεύχατο βωμοί »·

Λ, 806-.

Ὁ λεγόμενος οὖν Κατάλογος οὐδεμίαν ὑπέστη προσθήκην ἢ ἀφαίρεσιν κατά γε τὸν ἀριθμὸν τῶν Ἑλληνικῶν Ἐθνῶν, ὄντων εἴκοσι καὶ ἐννέα, τῶν μετασχόντων τοῦ τηλεκλύτου πολέμου· τεκμήριον τούτου ἡ ἀριθμητικὴ διαίρεσις τοῦ Στρατοπέδου.

Ποῖον δὲ τὸ ἐμβαδόν; πόσην ἔκτασιν κατεῖχε; Τὸ πλάτος τοῦ λιμένος ἀπὸ Σιγείου εἰς Ροίτειον ἐστὶ περὶ τὰ διακόσια καὶ τρισχίλια μέτρα, ἄρα τοσοῦτο καὶ τὸ μῆκος

(1) Ὁ Θόας ἦν τὰ μάλιστα εὔγλωτος καὶ φρόνιμος. Ἰλ. Ο, 281-285.

τοῦ Στρατοπέδου, ἅπαν γὰρ τὸ στόμα τῆς ἠϊόνος ἐπλήσθη νηῶν (Ξ, 35-). Ὁ δὲ κοινὸς τῶν Ἑλλήνων τύμβος (ἂν ὑποθέσωμεν αὐτὸν παρὰ τῇ κώμῃ Κοὺμ-Κιοϊ) ὁδηγεῖ ἡμᾶς εἰς τὴν ἀνεύρεσιν τοῦ βάθους. Οὗτος, εἴπομεν, ἀπέχει τῆς νῦν παραλίας περὶ τὰ τετράκις χίλια μέτρα· ἀφαιρουμένων δὲ τρισχιλίων διὰ τὸ ὑπὸ τῶν ποταμῶν παραχθὲν πρόσχωμα ἐν τοῖς τρισχιλίοις ἔτεσι τοῖς χωρίζουσιν ἡμᾶς ἀπὸ τῶν Τρωϊκῶν, ὑπολείπονται μέτρα χίλια ἀπὸ τοῦ Κοινοῦ τύμβου εἰς τὴν τότε παραλίαν· ταῦτα πολλαπλασιαζόμενα ἐπὶ τὰ διακόσια καὶ τρισχίλια, τὸ πλάτος μετροῦντα, παράγουσι παραλληλόγραμμον ἐμπεριέχον τρία ἑκατομμύρια καὶ χιλιάδας διακοσίας τετραγωνικῶν μέτρων. Ἐπὶ τοσούτου ἄρα ἐμβαδοῦ ἦσαν τὰ χίλια-ἑκατὸν-ὀγδοήκοντα-ἓξ πλοῖα, στρατιῶται περὶ τὰς ἕνδεκα μυριάδας, τὰ ἅρματα, αἱ σκηναί, τὰ πρὸς τροφὴν καὶ πρὸς πόλεμον ζῶα καὶ αἱ διά τε στρατηγικοὺς καὶ ὑγιεινοὺς λόγους δίοδοι. Κατ' Ἀρίσταρχον τὸ Ἑλληνικὸν στρατόπεδον, ἀπὸ θαλάσσης εἰς τεῖχος, ἐπὶ πέντε στάδια ἐξετείνετο, ἤτοι περίπου ὡς ἡμεῖς ὑπελογήσαμεν. Κατὰ δὲ Νικάνορα τὸ μεταξὺ νηῶν καὶ τείχους ἦν πλέθρου (1).

Ἐνταῦθα φαίνεταί μοι καλὸν εἰπεῖν καὶ περὶ τῶν δύω τοῦ Καταλόγου στίχων,

(1) Εὐσταθ, Παρεκβολαί· στίχ. 358 Ραψῳδ. Ψ.

« Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας·
» στῆσε δ' ἄγων, ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες ».

περὶ ὧν πολὺς ἐγένετο τὸ πάλαι λόγος, μάλιστα δὲ περὶ τοῦ δευτέρου. Ἐν μὲν οὖν τῷ πρώτῳ, ἀντὶ δυοκαίδεκα, τρὶςκαίδεκα ἔλεγον τινες εἶναι τὰς Σαλαμινίων ναῦς, τίνι δὲ τεκμηρίῳ χρώμενοι καὶ διὰ τὶ ἀγνοοῦμεν. Ὁ δὲ δεύτερος κατέστη περίφημος ἕνεκα τῆς παλαιᾶς διενέξεως Ἀθηναίων πρὸς Μεγαρεῖς περὶ νήσου Σαλαμῖνος. Ἐλέγετο γὰρ Πεισίστρατον, ἢ Σόλωνα, παρεγγράψαι τὸ ἔπος ἵν' ἀποδείξῃ ἐξ ἀρχῆς τὴν νῆσον ἀνήκειν τοῖς Ἀθηναίοις. Στράβων δὲ διέσωσε καὶ τὰ ἐπιχειρήματα τῶν κριτικῶν τῶν μὴ παραδεχομένων τὸ ἔπος ὡς γνήσιον, ἐπιχειρήματα ἀποδεικνύοντα τοὺς πρὸ τοῦ Στράβωνος κριτικοὺς καὶ τὸν Στράβωνα αὐτόν, ἀγνοεῖν τὴν ἀξίαν τοῦ Καταλόγου καὶ τὴν στρατηγικὴν διασκευὴν τῆς Ἰλιάδος. « Καὶ νῦν μεν, λέγει ὁ Γεωγράφος, ἔχουσιν » Ἀθηναῖοι τὴν νῆσον, τὸ δὲ παλαιὸν πρὸς Μεγαρέας » ὑπῆρξεν αὐτοῖς ἔρις περὶ αὐτῆς καὶ φασιν οἱ μὲν Πει- » σίστρατον οἱ δὲ Σόλωνα παρεγγράψαντα ἐν τῷ Νηῶν » Καταλόγῳ μετὰ τὸ ἔπος τοῦτο

« Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας »

ἑξῆς τοῦτο

« Στῆσε δ' ἄγων ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες »

» μάρτυρι χρήσασθαι τῷ Ποιητῇ τοῦ τὴν νῆσον ἐξ ἀρ-
» χῆς Ἀθηναίων ὑπάρξαι. Οὐ παραδέχονται δὲ τοῦθ' οἱ
» κριτικοὶ διὰ τὸ πολλὰ τῶν ἐπῶν ἀντιμαρτυρεῖν αὐτοῖς,
» Διατί γὰρ ναυλοχῶν ἔσχατος φαίνεται ὁ
» Αἴας οὐ μετ' Ἀθηναίων ἀλλὰ μετὰ τῶν
» ὑπὸ Πρωτεσιλάῳ Θετταλῶν;

« ἔνθ' ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου »

» Καὶ ἐν τῇ ἐπιπωλήσει Ἀγαμέμνων

« εὗρ' υἱόν Πετεῶο Μενεσθῆα πλήξιππον
« ἑσταότ' ἀμφὶ δ' Ἀθηναῖοι μήστωρες ἀϋτῆς
« Αὐτὰρ ὁ πλησίον ἑστήκει πολύμητις Ὀδυσσεύς·
« Πὰρ δὲ Κεφαλλήνων ἀμφὶ στίχες »

» ἐπὶ δὲ τὸν Αἴαντα καὶ τοὺς Σαλαμινίους πάλιν « ἦλθε
» δ' ἐπ' Αἰάντεσσι » καὶ παρ' αὐτοὺς « Ἰδομενεὺς δ' ἑτέ-
» ρωθεν, οὐ Μενεσθεύς ».

Κατά γε μὴν τῶν ἐπιχειρημάτων τούτων τὰ ἑξῆς ἀντιτάσσομεν. Ὁ Ὅμηρος εἰπὼν τοὺς Φωκεῖς ἐπ' ἀριστερὰ τῶν Βοιωτῶν παρατεταγμένους εἶναι,

« Βοιωτῶν δ' ἔμπλην ἐπ' ἀριστερὰ θωρήσσοντο »

ἐξήγησεν ἅπαξ διὰ παντὸς τὴν κατάταξιν καὶ καθίδρυσιν τῶν Ἑλληνικῶν Ἐθνῶν, ἀπὸ δεξιῶν πρὸς τ' ἀριστερὰ γενέσθαι, ὥστε καὶ μόνος ὁ στίχος

« Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας »

τεθεὶς ἐν τῷ Καταλόγῳ μετὰ τοὺς Ἀθηναίους, ἐξηγεῖ ἀναμφισβητήτως ὅτι οἱ Σαλαμίνιοι παρετάχθησαν παρὰ τοῖς Ἀθηναίοις, ἀπ' ἀριστερὰ αὐτῶν. Ὁ δὲ ἑπόμενος στίχος εἴτε γνήσιος εἴτε ὑποβολιμαῖος ἐστίν, οὐδεμίαν μεταβολὴν ἐπιφέρει τῇ διατάξει, ὢν πλεονασμὸς καὶ ματαία ἐπεξήγησις, προστεθεὶς ἴσως ὑπὸ τοῦ Ποιητοῦ ἵνα ἡ τοῦ ἀναγνώστου προσοχὴ παραμείνῃ ἐπί τινα ἔτι χρόνον ἐπὶ τοῦ πρώτου καὶ μόνου στίχου. Καὶ ὑποβολιμαῖος οὖν ἀποδειχθείς, ὀβελισθήσεται ὡς ἐπὶ ματαίῳ παρεισαχθείς, οὐχὶ δὲ ὡς ἐπηρεάζων τὴν τῶν Ἑλληνικῶν Ἐθνῶν διάταξιν, ἐπειδὴ καὶ ὀβελισθέντος, τὸ Σαλαμινίων Σῶμα μένει ἀδιστάκτως παρὰ τοῖς Ἀθηναίοις.

Ἠγνόει δὲ ὁ παρεισάγων αὐτὸν τὴν Ἰλιάδος στρατηγικὴν ἀξίαν· ἠγνόουν δ' αὐτὴν καὶ οἱ κριτικοὶ οἱ νομίζοντες ὅτι ὀβελίζοντες, ἐξαφανίζοντες τὸν στίχον, ἀπεχώριζον καὶ ἀπεμάκρυναν τὰς νῆας τῶν Σαλαμινίων ἀπὸ

τῶν Ἀθηναίων· μάλιστα δὲ ἀπατῶνται νομίζοντες καὶ τὸν Ὅμηρον συνομολογεῖν αὐτοῖς λέγοντα « ἔνθ' ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου καὶ ὄχι » Αἴαντός τε νέες καὶ Μενεσθέως· τεκμήριον δὲ τῆς ἀπάτης αὐτῶν τάδε. Κατὰ τὴν Τρίτην Μάχην ὁ Ἕκτωρ μετὰ τῶν Λυκίων προσβάλλει τὸν πύργον Μενεσθέως· ὁ δὲ Μενεσθεὺς φοβηθεὶς ἐκύπταζεν ἀπὸ τοῦ πύργου εἴπως ἴδοι τινα ἐκ τῶν ἀρχηγῶν· βλέπει οὖν, λέγει ὁ Ποιητής, τοὺς δύο Αἴαντας ἑστῶτας καὶ τὸν Τεῦκρον νεωστὶ ἐξερχόμενον τῆς σκηνῆς αὐτοῦ, ἐγγύθεν·

« ἐς δ' ἐνόησ' Αἴαντε δύω πολέμου ἀκορήτω,
» ἑσταότας, Τεῦκρον τε νέον κλισίηθεν ἰόντα,
» ἐγγύθεν . . . . »

Ἰλ., Μ, 335-.

ἄρα ἡ σκηνὴ Τεύκρου ἀδελφοῦ Αἴαντος τοῦ Σαλαμινίου, ἦν παρὰ τῷ Μενεσθεῖ, ἄρα καὶ τὰ πλοῖα τῶν Σαλαμινίων παρὰ τοῖς πλοίοις τῶν Ἀθηναίων ἦσαν, ὡς ἐμφαίνει καὶ ὁ Κατάλογος. Τοσοῦτον δὲ προσέχει ὁ Ποιητὴς τῇ διατάξει τοῦ Στρατοπέδου, ὥστε γινώσκων μόνον δώδεκα εἶναι τὰ Σαλαμινίων πλοῖα καὶ κατὰ συνέπειαν ὀλίγας καὶ τὰς σκηνάς, μικρὰν δὲ καὶ τὴν ἀπὸ Μενεσθέως ἀπόστασιν λέγει· « ὁ Μενεσθεὺς εἶδε μὲν τὸν Τεῦκρον ἐκ τοῦ πλησίον (ἐγγύθεν) ἐξερχόμενον τῆς σκηνῆς, ἀλλ' οὐκ

ἔκραξεν αὐτόν, ἀδύνατον ὂν τὸ ἀκουσθῆναι ἕνεκα τοῦ μεγάλου κτύπου τῶν ὅπλων καὶ τοῦ θορύβου »·

« ἀλλ' οὔπω οἱ ἔην βώσαντι γεγωνεῖν.
» τόσσος γὰρ κτύπος ἦεν, ἀϋτὴ δ' οὐρανὸν ἷκεν ».

M, 337.

ἐν τῷ στίχῳ τοίνυν,

« Ἔνθ' ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου »

ὁ Ποιητὴς ἐννοεῖ τὰς τοῦ Λοκροῦ Αἴαντος νῆας, οὔσας, ὡς καὶ ἀνωτέρω εἴπομεν, παρὰ ταῖς ναυσὶ Πρωτεσιλάου· ὁ στίχος δὴ οὗτος, συμφωνῶν πᾶσι τοῖς στρατηγικοῖς ἑλιγμοῖς τῆς Τρίτης Μάχης, ἀποδεικνύει τὸ τοῦ Καταλόγου σφάλμα περὶ οὗ ἐν ἐκτάσει λαλήσομεν ἐν τῇ περιγραφῇ τῆς Τρίτης Μάχης.

Δεύτερον ἐπιχείρημα τῶν κριτικῶν ἐστι τὰ κατὰ τὴν ἐπιπώλησιν ἢ ἐπιθεώρησιν τοῦ στρατοῦ τὴν γενομένην ὑπ' Ἀγαμέμνονος μετὰ τὴν μονομαχίαν Μενελάου καὶ Ἀλεξάνδρου. (Δ, 223 - 418). Ἐπειδή, λέγουσιν οἱ κριτικοί, ὁ Ἀγαμέμνων ἐν τῇ ἐπιπωλήσει εὑρίσκει τοὺς Σαλαμινίους οὐχὶ παρὰ τοῖς Ἀθηναίοις, ἄρα οὐδ' αἱ νῆες τῶν Σαλαμινίων ἦσαν παρὰ ταῖς ναυσὶ τῶν Ἀθηναίων! ἀπάτη καὶ σύγχυσις μεγίστη τὰ τοιαῦτα· ὁ μὲν γὰρ

Κατάλογος παρίστησι τὴν μόνιμον διάταξιν τῶν Ἑλληνικῶν Ἐθνῶν ἐπὶ τῆς παραλίας, ἡ δ' ἐπιπώλησις γίνεται ὑπὸ τὴν πόλιν ἔνθα, κατὰ φυσικὸν λόγον, τὰ διάφορα ἔθνη μετέβαλλον θέσιν κατὰ τοὺς τόπους καὶ τοὺς καιροὺς τοὺς ἐντυγχάνοντας· ἡ δὲ τῶν κριτικῶν ὑπόθεσις, οὐ μόνον τὸν Ἑλληνικὸν στρατὸν πολεμοῦντα ὑπὸ τὴν πόλιν, ἀναγκάζει εἶναι παρατεταγμένον κατὰ τὴν τάξιν ἣν μονίμως εἶχεν ἐπὶ τῆς παραλίας, ἀλλὰ καὶ τὸν Ἀγαμέμνονα ἐπιθεωρεῖν τὸν στρατὸν κατὰ διεύθυνσιν ὡρισμένην, καίτοι ὁ Ποιητὴς λέγει αὐτὸν βαίνειν ἀφ' ἑνὸς εἰς ἕτερον ἔθνος ἄνευ σειρᾶς, καὶ τυχαίως τῷ δεῖνα ἢ τῷ δεῖνα ἐντυγχάνοντα. Τοῦτο γὰρ οἶμαι σημαίνουσι τὰ ἔπη·

« Ὣς εἰπὼν τοὺς μὲν λίπεν αὐτοῦ βῆ δὲ μετ' ἄλλους
» ἔνθ' ὅγε Νέστορ' ἔτετμε . . . »

Δ, 292-.

ΠΕΡΙ ΤΟΥ ΤΡΩΪΚΟΥ ΣΤΡΑΤΟΥ.

Οἱ Τρῶες ἐνδιαιτώμενοι ὡς ἐπὶ τὸ πολὺ ἐν τῷ Ἄστει μετὰ τὰς μάχας, οὐκ εἶχον μόνιμον ἐπὶ τοῦ πεδίου στρατόπεδον· θέλων δ' ὁ Ποιητὴς ποιῆσαι γνωστὰ τὰ ἔθνη τὰ ὑπερασπιζόμενα τὸ Ἴλιον καὶ τὴν σχετικὴν ἑκάστου

ἔθνους βαρύτητα, εὑρίσκει καιρὸν πρόσφορον ἐν τῇ ἀγγελίᾳ τοῦ σκοποῦ Πολίτου ἰδόντος τοὺς Ἕλληνας ἀθρόους πρὸς τὴν πόλιν πορευομένους καὶ παρατάσσει τοὺς Τρῷας κατὰ τὸν πρὸ τῆς πόλεως λόφον τὸν καλούμενον Βατίεια.

« ἔνθα τότε Τρῶες διέκριθεν ἠδ' ἐπίκουροι ».

Ἰλ., Β, 815.

Ἅπας δὲ ὁ στρατὸς Τρωϊκός τε καὶ συμμαχικὸς σύγκειται ἐξ ἐθνῶν ἑκκαίδεκα διοικουμένων ὑπὸ ἑπτὰ καὶ εἴκοσι ἀρχηγῶν. Καὶ οἱ μὲν Τρῷες μόνοι, ἄνευ τῶν συμμάχων, περὶ τὰς δέκα χιλιάδας ὑπολογίζονται, ὡς Ἀγαμέμνων ὑποδεικνύει λέγων αὐτοὺς οὔτε τὸ δέκατον μέρος τῶν Ἑλλήνων εἶναι

« Τρῶας μὲν λέξασθαι ἐφέστιοι ὅσσοι ἔασιν
» ἡμεῖς δ' ἐς δεκάδας διακοσμηθεῖμεν Ἀχαιοί,
» Τρώων δ' ἄνδρα ἕκαστον ἑλοίμεθα οἰνοχοεύειν·
» πολλαί κεν δεκάδες δευοίατο οἰνοχόοιο ».

Β, 125.

Συναριθμουμένων δὲ καὶ τῶν συμμάχων, ὁ Τρωϊκὸς στρατὸς λέγεται περὶ τὰς πεντήκοντα χιλιάδας εἶναι·

« Χίλι' ἄρ ἐν πεδίῳ πυρὰ καίετο· πὰρ δὲ ἑκάστῳ
» εἵατο πεντήκοντα, σέλα πυρὸς αἰθομένοιο ».

Θ, 562-.

Γίνεται δὲ ἡ διάταξις αὐτοῦ παραπλησία τῇ τῶν Ἑλλήνων, ἀρχομένης τῆς περιγραφῆς ἀπὸ τοῦ δεξιοῦ Κέρατος καὶ ληγούσης εἰς τ' ἀριστερόν. Πρῶτον Ἔθνος μνημονεύεται τὸ Τρώων, δεύτερον τὸ Δαρδανίων, δέκατον ἕκτον καὶ τελευταῖον τὸ Λυκίων (1).

Ἐπὶ τῆς διασκευῆς δὲ τῶν Ἑκκαίδεκα Ἐθνῶν δύο μόνον ἀνακαλύπτομεν διαιρέσεις, τὸ δεξιὸν καὶ ἀριστερὸν Κέρας. Ἕκτωρ ὁ ἀνδρειότερος τῶν Τρώων καὶ διάδοχος τοῦ θρόνου, διοικεῖ τὸ δεξιὸν Κέρας ὢν ἀρχηγὸς τοῦ Πρώτου τὴν τάξιν Σώματος· παρ' αὐτῷ εἰσιν οἱ διασημότεροι τῶν ἀρχηγῶν, Αἰνείας (Σῶμα 2ον), Ἀρχέλοχος, Πάνδαρος. Σαρπηδὼν δὲ καὶ Γλαῦκος, ἴσοι σχεδὸν τῷ Ἕκτορι κατὰ τὴν ἀνδρίαν, ἄρχουσι τῶν Λυκίων, Ἑκκαιδεκάτου Σώματος, διοικοῦντες τὸ ἀριστερὸν Κέρας καὶ μόνοι ἐν αὐτῷ διακρινόμενοι, τῶν παρ' αὐτοῖς Καρῶν καὶ Μηόνων, μᾶλλον ἐπὶ χλυδῇ καὶ πολυτελείᾳ γνωστῶν ὄντων.

Ἔννομος, ἀρχὸς Μυσῶν (Σῶμα 12ον) καὶ Ἀμφίμαχος ἀρχὸς Καρῶν (Σῶμα 15ον), λέγονται μὲν ἐν τῷ Καταλόγῳ φονευθῆναι ὑπ' Ἀχιλλέως ἐν τῷ Σκαμάνδρῳ, οὐ μνημονεύονται δὲ κατὰ τὰς μάχας, ὡς μὴ ὄντες ἄξιοι λόγου μαχηταί· διὰ τὴν αὐτὴν αἰτίαν οὐδ' ὁ Νιρεύς, ὁ

(1) Ἕνεκα τῶν στενῶν ὁρίων τοῦ Πίνακος Β, ἡ παρὰ τὸν λόφον Βατίεια παράταξις τῶν Τρώων ἦν ἀδύνατος, διὸ παρατάττομεν αὐτοὺς πρὸς τὰ κάτω, ἐπ' ἀριστερά.

ὡραιότερος τῶν Ἑλλήνων, μνημονεύεται ἐν ταῖς μάχαις. Ῥῆσος δὲ βασιλεὺς Θρακῶν (Κ, 435-), Ἰφιδάμας (Λ, 221-), Ἀστεροπαῖος (Φ, 152-), καίτοι ἀρχοὶ Σωμάτων, οὐ μνημονεύονται ἐν Καταλόγῳ, ὡς μὴ ἀπ' ἀρχῆς τοῦ πολέμου ἀλλὰ περὶ τὰ τέλη εἰς Τροίαν ἐλθόντες.

Ταῦτα περὶ Καταλόγου ἢ περὶ Στρατῶν εἰπόντες καὶ ἐπὶ τοῦ Τρωϊκοῦ πεδίου τὴν διάταξιν αὐτῶν σημειώσαντες, ἃς ἀναγνώσωμεν τὴν Ἰλιάδα καὶ ἴδωμεν τίνι τρόπῳ αἱ περιγραφόμεναι μάχαι ἐφαρμόζονται.



ΚΕΦΑΛΑΙΟΝ Δ'.

ΙΛΙΑΔΟΣ ΣΤΡΑΤΙΩΤΙΚΟΙ ΕΛΙΓΜΟΙ.

Ὁμήρου κανὼν περὶ τὰς διευθύνσεις.—Πρώτη Μάχη.—Ἡμέραι ἀνακωχῆς. —Δευτέρα Μάχη. — Τὰ ἐν νυκτὶ συμβάντα. — Τρίτη Μάχη. — Τὰ μετὰ τὴν Μάχην. — Τετάρτη Μάχη.

Αἱ μὲν οὖν πολεμικαὶ τῆς Ἰλιάδος πράξεις, οἱ στρατιωτικοὶ ἐλιγμοί, τὴν εἰκοστὴν πρώτην ἡμέραν τοῦ Ποιήματος ἄρχονται, καὶ λήγουσι σὺν τῷ θανάτῳ Ἕκτορος (1). Ἐπαναλέγω δὲ τὸν Ὅμηρον, εἴτε διὰ τὸ Ἕλληνα εἶναι, εἴτε ἕνεκα τῆς τοῦ Ἑλληνικοῦ στρατοπέδου μονιμότητος, εἴτε τοιούτου ὄντος τοῦ ἔθους τότε, ὁρίζειν πάσας τὰς διευθύνσεις ἀμφοτέρων τῶν πολεμούντων Ἑλλήνων τε καὶ Τρώων, οὐχὶ κατὰ τὴν ἰδίαν ἑκάστου θέσιν, ἀλλὰ κατὰ τὴν τῶν Ἑλλήνων μόνον· διὰ τοῦτο δὲ αἱ ἐκφράσεις «ἐπὶ δεξιὰ» «ἐπ' ἀριστερὰ» «ἐπ' ἀριστερὰ στρατοῦ» «ἐπ' ἀριστερὰ μάχης» «ἐπ' ἀριστερὰ νηῶν» ἔχουσιν ἔννοιαν σχετικὴν πρὸς τοὺς Ἕλληνας, ἢ πρὸς τὸ Ἑλληνικὸν στρατόπεδον, ἔτι καὶ ὅταν γίνεται λόγος περὶ Τρώων. Ἔθος ἀντίθετον τοῦ νῦν ἐν χρήσει, ἐπειδὴ

(1) Ἴδε Κεφαλ. Α'. Ἰλιάδος χρονολογία.

οἱ καθ' ἡμᾶς περιγράφοντες μάχας ὁρίζουσι τὰς θέσεις καὶ διευθύνσεις κατὰ τὴν θέσιν ἣν κατέχει ἕκαστος τῶν πολεμούντων στρατῶν. Οἷον, ἐν τῇ Ραψωδίᾳ Μ, ὁ Ποιητὴς προδιηγεῖται τὸν μετ' οὐ πολὺ συμβάντα θάνατον Ἀσίου Ὑρτακίδου λέγων «ὑπὸ Ἰδομενέως φονευθῆναι αὐτὸν πορευθέντα ἐπ' ἀριστερὰ τῶν πλοίων»

« πρόσθεν γάρ μιν Μοῖρα δυσώνυμος ἀμφεκάλυψεν
» ἔγχεϊ Ἰδομενῆος ἀγαυοῦ Δευκαλίδαο·
» εἴσατο γὰρ νηῶν ἐπ' ἀριστερά . . . »

Μ, 116-.

Ὄντως δὲ μετ' οὐ πολὺ ὁ Ἰδομενεὺς εἰπὼν τῷ Μηριόνῃ «ἡμεῖς δ' ἂς πορευθῶμεν ἐπὶ τ' ἀριστερὰ τοῦ Σρατοπέδου»·

« Νῶϊν δ' ὧδ' ἐπ' ἀριστερὰ ἔχε στρατοῦ ».

Ν, 326.

καὶ προχωρήσας ἐκεῖσε φονεύει τὸν Ἄσιον

« . . . . ὁ δὲ (Ἄσιος) ἵετο θυμῷ
» Ἰδομενῆα βαλεῖν· ὁ δέ μιν φθάμενος βάλε δουρὶ
» λαιμὸν ὑπ' ἀνθερεῶνα, διαπρὸ δὲ χαλκὸν ἔλασσεν ».

Ν, 328 - 391.

Ἡ τοῦ Ἀσίου ἄρα διεύθυνσις « νηῶν ἐπ' ἀριστερὰ » καὶ ἡ τοῦ Ἰδομενέως « ἐπ' ἀριστερὰ στρατοῦ » ἐστι μία

καὶ ἡ αὐτὴ ἐφαρμοζομένη ἐπὶ τοῦ Ἑλληνικοῦ στρατοπέδου. Ἐπὶ τοῦ Πίνακος Β, ἡ ἐρυθρὰ γραμμὴ M′M″ δεικνύει τὴν τὴν Ἀσίου Ὑρτακίδου πορείαν ἀπὸ τῆς Τάφρου εἰς τὸ πρὸ τῶν νηῶν τεῖχος· ἐκεῖσε ἐλθὼν Ἰδομενεὺς ἀπὸ τῆς ἑαυτοῦ σκηνῆς (Σῶμα 17ον) ἐφόνευσε τον Ἄσιον περὶ τὸ M″ (1).

Ὁ μὲν νῦν ἐξιστορῶν μάχας παρακολουθεῖ, οὕτως εἰπεῖν, τοῖς ἑκατέρωσε ἐνεργοῦσι, μεταβαίνων ἀπὸ τοῦ ἑνὸς εἰς τὸ ἕτερον στρατόπεδον· ἀναγκάζεται δὲ καὶ ὁ ἀναγνώστης συμπαρομαρτεῖν αὐτοῖς διὰ τοῦ νοός, ἵνα καλῶς ἐννοῇ τὰς θέσεις καὶ τὰς διευθύνσεις τῶν πολεμούντων. Κατὰ δὲ τὸν Ἰλιάδος κανόνα ὁ Ὅμηρος εὑρίσκεται ἀεὶ ἐν τοῖς Ἕλλησι καὶ περιγράφει τὰς θέσεις καὶ τὰς κινήσεις, ἔχων μίαν μόνον βάσιν, τὴν θέσιν τῶν Ἑλλήνων, εἴτ' ἐν τῷ πεδίῳ πολεμούτων, εἴτ' ἐν τῷ μονίμῳ Στρατοπέδῳ ἀμυνομένων· ἐπὶ τῆς βάσεως δὲ ταύτης, ὡς εἴδομεν καὶ ἔτι ὀψόμεθα, ἐφαρμόζει καὶ τὰς τῶν ἐναντίων διευθύσεις· κανών, κατ' ἐμέ, λογικώτερος καὶ τῷ ἀναγνώστῃ ἀσπαστότερος τοῦ νῦν ἐν χρήσει. Οὐδὲν οὖν θαυμαστὸν ἂν οἱ ἀγνοοῦντες τὸν τοῦ Ποιητοῦ περὶ τὰς διευθύνσεις νόμον, εὕρισκον ἀντιφάσεις ἐν Ἰλιάδι, θέλοντες δ' ἕκαστος κατὰ τὸ δοκοῦν ἐξηγῆσαι αὐτάς, περιέπεσον εἰς περιπλοκὰς καὶ εἰς σφάλματα.

(1) Πάντα ταῦτα ἐν τῇ Τρίτῃ Μάχῃ λεπτομερῶς περιγράφονται.

ΠΡΩΤΗ ΜΑΧΗ [1].

Ἡ μὲν οὖν περιγραφὴ τῆς Πρώτης Μάχης τῆς Ἰλιάδος ἄρχεται ἀπὸ τοῦ 48ου στίχου τῆς Ραψῳδίας Βῆτα·

« Ἠὼς μέν ρα θεὰ προσεβήσατο μακρὸν Ὄλυμπον ».

λήγει δ' ἐν στίχῳ 312ῳ τῆς Ραψῳδίας Ἦτα·

« Εἰς Ἀγαμέμνονα δῖον ἄγον κεχαρηότα νίκῃ ».

Ὁ Ἀγαμέμνων ἰδὼν τὸν παρὰ τοῦ Διὸς σταλέντα Ὄνειρον καλεῖ τὸν στρατὸν εἰς ἀγορὰν ἤτοι γενικὴν συνέλευσιν· ἐν ᾧ δὲ χρόνῳ οἱ λαοὶ συνήρχοντο, ποιεῖται Βουλὴν γερόντων παρὰ τῷ πλοίῳ Νέστορος. Μετὰ δὲ τὴν τοῦ λαοῦ ἐκκλησίαν ἐν ᾗ ἀπεφασίσθη ἡ τοῦ πολέμου ἐξακολούθησις, ὁ στρατὸς προγευματίζει καὶ χύνεται εἰς Σκαμάνδριον πεδίον ὁδεύων πρὸς τὸ Ἴλιον·

« Ὡς τῶν ἔθνεα πολλὰ νεῶν ἄπο καὶ κλισιάων
» ἐς πεδίον προχέοντο Σκαμάνδριον . . . . ».

(1) Διὰ τῆς λέξεως « Μάχη » ἐννοοῦμεν πάσας τὰς ἐν μιᾷ ἡμέρᾳ πολεμικὰς πράξεις. Ἐπὶ τοῦ Πίνακος Β, ἡ ἐπέκτασις τῆς ὑπὸ τὴν πόλιν Ἰλίου πολεμηθείσης Πρώτης Μάχης σημειοῦται διὰ τῆς μελαίνης γραμμῆς ΑΒ. Αἱ δ' εἰς αὐτὴν ἀναγόμεναι περικοπαὶ Ἰλιάδος καὶ ἐπὶ τοῦ Πίνακος ἐγγεγραμμέναι, φέρουσι πρὸ αὐτῶν τὸ σημεῖον, ὅμοιον μεγάλῃ ὑποστιγμῇ.

Οἱ δὲ Τρῶες μαθόντες παρὰ τοῦ σκοποῦ Πολίτου τὴν Ἑλλήνων πρόοδον, ἐξέρχονται, διασκευάζονται παρὰ τὸν λόφον Βατίεια καὶ προχωροῦσι κατὰ τῶν Ἑλλήνων. Ἡ συνέντευξις ἄρα γίνεται πιθανῶς περὶ τὸ Λ, οὐχὶ πόρρω τῆς πόλεως· ἡ γὰρ Ἑλένη ἀπὸ τοῦ Τείχους διακρίνει καὶ περιγράφει τῷ Πριάμῳ πολλοὺς τῶν Ἑλλήνων ἀρχηγῶν (1).

Οἰκονομεῖ δὲ ὁ Ποιητὴς κάλλιστα τὴν ὑπὸ τὴν πόλιν συνέντευξιν τῶν δύο στρατῶν· ἐν ᾧ γὰρ χρόνῳ ὁ μὲν Πολίτης ἰδὼν τοὺς Ἕλληνας κινουμένους, ἤρχετο ἀπὸ

(1) Γ, 161-244. Ἡ Ἑλένη, ἵνα ἴδῃ τοὺς ὑπὸ τὴν πόλιν ἐλθόντας Ἕλληνας, προσεκλήθη ὑπὸ Λαοδίκης θυγατρὸς μὲν Πριάμου, ἀδελφῆς δὲ Πάριδος, συζύγου Ἑλένης. Οὕτως οὖν ἡ μὲν Λαοδίκη ἦν τῇ Ἑλένῃ ἀνδραδέλφη ἤ, ὡς λέγει Ὅμηρος, γαλόως, ἢ γάλως, ἡ δὲ Ἑλένη ἦν τῇ Λαοδίκῃ νύμφη, ὡς καὶ παρ' ἡμῖν ἔτι ἡ ἀδελφὴ τὴν σύζυγον τοῦ ἀδελφοῦ νύμφην καλεῖ. Διὰ ταῦτα ἡ λαοδίκη λέγει τῇ Ἑλένῃ «ἐλθέ, φίλη μου νύμφη, ἵνα ἴδῃς. . . .»

« Δεῦρ' ἴθι, νύμφα φίλη, ἵνα θέσκελα ἔργα ἴδηαι » Γ, 130.

Ὁ Εὐστάθιος (Παρεκβολαὶ Γ, 120-) ἂν καὶ συντόμως, ἐξηγεῖ τὴν συγγένειαν καὶ τὰ συγγενικὰ γάλως καὶ νύμφη· «ὅρα δὲ καὶ ὅτι σαφῶς ἑρμη» νεύων ὁ Ποιητὴς γάλων τὴν ἀνδραδέλφην λέγεσθαι, ἱστορεῖ ὡς ἡ τῇ Ἑλένῃ » γάλως Λαοδίκη, νύμφην καλεῖ τὴν Ἑλένην τῷ λόγῳ τῶν πρός τι· ἡ γά» λως τε γὰρ νύμφης ἐστὶ γάλως καὶ ἡ νύμφη γαλόῳ ἐστὶ νύμφη». Καὶ ὅμως οἱ πλεῖστοι τῶν λεξικογράφων ἀγνοοῦσι τὴν ἔννοιαν ταύτην τῆς λέξεως «νύμφη» ἣν ὁ μὲν ἐξηγεῖ «νεόγαμος γυνὴ»· ἄλλοι δὲ «νέα, νεοΰπανδρος γυνή». Ὁμοίως δὲ καὶ οἱ ἀλλοδαποὶ μεταφράζουσι τὸ «νύμφα φίλη», giovine sposa ἀντὶ τοῦ cognata· jeune femme οἱ Γάλλοι, ἀντὶ τοῦ belle soeur. Ἡ δὲ Dacier καλῶς μετέφρασε « ma chère soeur » ὡς καὶ ὁ Lord Derby « sister dear »,

τοῦ τάφου Αἰσυήτου εἰς ἄστυ, οἱ δὲ Τρῶες ἀκούσαντες τὴν ἀγγελίαν ἐξῆλθον τῆς πόλεως καὶ διεσκευάζοντο εἰς μάχην, οἱ Ἕλληνες ὥδευον πρὸς τὴν πόλιν. Μενέλαος καὶ Ἀλέξανδρος μονομαχοῦσι (Β, 786 - Γ, 382). Μετὰ δὲ τὴν μονομαχίαν ὁ Πάνδαρος παρὰ τοὺς ὅρκους τιτρώσκει τὸν Μενέλαον, οἱ δὲ Τρῶες ἐπιτίθενται τοῖς Ἕλλησιν (Γ, 383 - Δ, 221). Ὁ Ἀγαμέμνων ἐπιθεωρεῖ καὶ ἐνθαρρύνει τοὺς Ἕλληνας· ἡ μάχη ἄρχεται (Δ, 222-456). Ἥ τε ἐπιθεώρησις καὶ ἡ ἀρχὴ τῆς μάχης ὑποτίθενται γενόμεναι περὶ τὸ Α. Πρῶτος Ἀντίλοχος φονεύει τὸν Ἐχέπωλον· ὁ δ' Ἐλεφήνωρ, θέλων συλῆσαι τὰ τοῦ Ἐχεπώλου ὅπλα, φονεύεται ὑπ' Ἀγήνορος, δεινὴ δὲ σύγκρουσις γίνεται ἐπὶ τοῦ νεκροῦ Ἐλεφήνορος· ὁ Τελαμώνιος Αἴας φονεύει τὸν Σιμοείσιον, ὁ δ' Ἄντιφος ἀκοντίσας κατὰ Αἴαντος, ἁμαρτάνει μὲν αὐτοῦ φονεύει δὲ Λεῦκον, ἑταῖρον Ὀδυσσέως, ὃς χολωθεὶς φονεύει τὸν Δημοκώοντα· οἱ δ' Ἕλληνες, ὑποχωρησάντων τῶν Τρώων, σύρουσι τοὺς ἑαυτῶν νεκροὺς καὶ προβαίνουσιν (Δ, 457-507).

« Ἀργεῖοι δὲ μέγα ἴαχον, ἐρύσαντο δὲ νεκρούς·
» ἴθυσαν δὲ πολὺ προτέρω . . . ».

Δ, 506-.

Ἀπόλλων δὲ βλέπων τὰ περὶ τὴν μάχην ἐκ τοῦ Περγάμου δυσαρεστεῖται καὶ ἐποτρύνει τοὺς Τρῶας διὰ τῆς φωνῆς·

« . . . . . Νεμέσησε δ' Ἀπόλλων
» Περγάμου ἐκ κατιδών, Τρώεσσι δὲ κέκλετ' ἀΰσας (1) ».
Δ, 507-.

Ὁ Ἀμαρυγκείδης φονεύεται ὑπὸ Πειρόου ἀρχηγοῦ τῶν Θρακῶν· ὁ δὲ Θόας φονεύει τὸν Πείροον ἀλλ' ὑποχωρεῖ ἐπελθόντων τῶν Θρακῶν (Δ, 509-535). Ἀθηνᾶ δὲ σύμμαχος οὖσα τῶν Ἑλλήνων, ἐνθαρρύνει τὸν Τυδείδην ὅστις ἐφορμᾷ, φονεύει τὸν Φηγέα καὶ ἀποκρούει τὸν Ἰδαῖον. Ἐρεθισθέντων δὲ τῶν Τρώων, ἡ Ἀθηνᾶ λαμβάνει ἀπὸ τῆς χειρὸς τὸν Ἄρην, σύμμαχον τῶν Τρώων, ἐξάγει τῆς μάχης καὶ καθίζει αὐτὸν παρὰ τὸν Σκάμανδρον·

« Ὡς εἰποῦσα, μάχης ἐξήγαγε θοῦρον Ἄρηα·
» τὸν μὲν ἔπειτα καθεῖσεν ἐπ' ἠϊόεντι Σκαμάνδρῳ ».
Ε, 35

Τὸν τελευταῖον τῶν δύω στίχων ἐγγράφομεν παρὰ τὸν Σκάμανδρον. Ἐπειδὴ δὲ ἡ μάχη ὑπὸ τὴν πόλιν, ὁ Σκάμανδρος εὑρίσκεται ἐπ' ἀριστερὰ τῶν Ἑλλήνων. Ὁ οὖν Ποιητὴς ἐνταῦθα μὲν λέγει μόνον ἐπὶ τῷ Σκαμάνδρῳ καθεσθῆναι τὸν Ἄρην, κατωτέρω δὲ (Ε,

(1) Οἱ στίχοι οὗτοι σημειοῦνται ἐπὶ τοῦ Πίνακος Β, κατὰ τὸ Πέργαμον ἀναμιμνήσκοντες ἡμῖν τὴν μάχην ὑπὸ τὴν πόλιν γίγνεσθαι, μάλιστα δὲ μετὰ τὴν εἰς τὰ πρόσω τῶν Ἑλλήνων πορείαν τὴν πρὸ μικροῦ γενομένην «Ἴθυσαν δὲ πολὺ προτέρω» Δ, 507.

355 -) ἐξηγεῖ τὴν ἐπὶ τῷ Σκαμάνδρῳ θέσιν τοῦ Ἄρεως (ἐν ᾗ Ἀφροδίτη εὗρεν αὐτὸν καθήμενον) εἶναι ἐπ' ἀ ρ ι σ τ ε ρ ὰ μ ά χ η ς ἤ, ὅπερ ταὐτὸν, ἐπ' ἀριστερὰ τῶν Ἑλλήνων.

Μετὰ δὲ τὴν ἀναχώρησιν Ἄρεως « οἱ Δαναοὶ ἔκλιναν τοὺς Τρῶας »· ὁ μὲν Ἀγαμέμνων φονεύει τὸν Ὀδίον, Ἰδομενεὺς δὲ τὸν Φαῖστον, ὁ Μενέλαος τὸν Σκαμάνδριον, ὁ Μηριόνης τὸν Φέρεκλον, ὁ Μέγης τὸν Πηδαῖον ὁ Εὐρύπυλος τὸν Ὑψήνορα (Ε, 37 - 83). Διομήδης δὲ προχωρῶν κατὰ τῶν Τρώων τιτρώσκεται ἐλαφρῶς ὑπὸ Πανδάρου, ἀπομακρύνεται ἐπὶ σμικρόν, ἐξάγει τὸ βέλος ἐκ τοῦ τραύματος καὶ ἐπανέρχεται εἰς τὴν μάχην. Ἐνθαρρυνθεὶς δὲ ὑπ' Ἀθηνᾶς φονεύει Ἀστύονα, Ὑπείρονα, Ἄβαντα, Πολύϊδον, Ξάνθον, Θόωνα, Ἐχέμονα καὶ Χρόμιον (Ε, 84 - 165). Ὁ Αἰνείας λαβὼν ἐπὶ τοῦ ἑαυτοῦ δίφρου τὸν Πάνδαρον προχωρεῖ κατὰ Διομήδους· καὶ ὁ μὲν Πάνδαρος ἀφίησι κατ' αὐτοῦ πρῶτος τὸ ἔγχος, ἀλλ' ἀποτυχὼν φονεύεται ὑπὸ Διομήδους. Αἰνείας δὲ καταβὰς ἀπὸ τοῦ δίφρου βάλλεται καὶ αὐτὸς ὑπὸ Διομήδους ἀλλ' ἐκφέρεται τῆς μάχης ὑπ' Ἀφροδίτης (Ε, 166 - 318), Σθένελος δὲ ὁ Διομήδους ἑταῖρος μέμνηται τῆς δοθείσης αὐτῷ ἐντολῆς περὶ τῶν ἵππων Αἰνείου (Ε, 263-)· λαμβάνει οὖν αὐτοὺς καὶ πέμπει διὰ Δηϊπύλου εἰς τὸ Στρατόπεδον, εἶτα ἐπιβὰς τοῦ δίφρου ὁδηγεῖ τὸν Τηδείδη κατὰ Ἀφροδίτης, ἥπερ πληγεῖσα ἀναχωρεῖ λαβοῦσα τοὺς ἵππους

Ἄρεως, ὃν εὗρε καθήμενον ἐπ' ἀριστερὰ τῆς μάχης, ἤτοι ἐπὶ τῷ Σκαμάνδρῳ, ἔνθα ἡ Ἀθηνᾶ καθεῖλεν αὐτόν, ὡς ἀνωτέρω ἐλέχθη (Ε, 319 - 356).

« Εὗρεν ἔπειτα μάχης ἐπ' ἀριστερὰ θοῦρον Ἄρηα
» ἥμενον . . . »

Ε, 355 - 356.

Ἡ ἔκφρασις οὖν « μάχης ἐπ' ἀριστερὰ » γινομένου λόγου περὶ Ἄρεως καὶ Ἀφροδίτης συμμάχων τοῖς Τρωσὶ καὶ ἐχόντων τὸν Σκάμανδρον ἐπὶ δεξιά, ἀποδεικνύει τὰ ἐν τῇ ἀρχῇ τοῦ Κεφαλαίου λεχθέντα. Γινομένης γὰρ τῆς μάχης ὑπὸ τὴν πόλιν, οἱ Ἕλληνες ἐστραμμένοι ὄντες πρὸς τὸ Ἴλιον ἔχουσι τὸν Σκάμανδρον ἐπ' ἀριστερά (1).

Ὁ Ἄρης κατὰ προτροπὴν Ἀπόλλωνος ἐπανέρχεται εἰς τὴν μάχην. Ἕκτωρ καὶ Σαρπηδὼν ἐπαναφέρουσι τοὺς Τρῶας, ἀλλ' οἱ Ἕλληνες μένουσιν ἀκλόνητοι· ὁ Ἀγαμέμνων φονεύει τὸν Δηϊκόωντα, ὁ δὲ συνελθὼν ἐκ τῆς πληγῆς Αἰνείας τὸν Κρήθωνα καὶ Ὀρσίλοχον, ὁ Μενέλαος φονεύει τὸν Πυλαιμένεα ὁ δ' Ἀντίλοχος τὸν Μύδωνα (Ε, 357 - 580). Ὁ Ἄρης μετὰ τοῦ Ἕκτορος βαίνουσι κατὰ Διομήδους, ὃς φοβηθεὶς « ὑποχωρεῖτε, κράζει, ἀλλ' ἀεὶ πρὸς τοὺς Τρῶας τετραμμένοι ». Ὁ Ἕκτωρ φονεύει τὸν Μενέσθην καὶ Ἀγχίαλον, ὁ Αἴας τὸν Ἄμφιον,

(1) Ὅρα καὶ τὸν Πίνακα ἐφ' οὗ ἐστὶ γεγραμμένος ὁ στίχος.

ὁ Σαρπηδὼν τὸν Τληπόλεμον, πληγεὶς δὲ συγχρόνως ὑπ' αὐτοῦ, φέρεται ὑπὸ τὴν Φηγόν· ὁ Ὀδυσσεὺς ὁρμᾷ κατὰ τῶν Λυκίων καὶ φονεύει τὸν Κοίρανον, Ἀλάστορον, Χρόμιον, Ἄλκανδρον, Ἄλιον, Νοήμονα καὶ Πρύτανιν. Ἕκτωρ δ' ἔρχεται πρὸς βοήθειαν τῶν Λυκίων καὶ φονεύει μετὰ τοῦ Ἄρεως τὸν Τεύθραντα, Ὀρέστην, Τρῆχον, Οἰνόμαον, Ἕλενον καὶ Ὀρέβιον (Ε, 581-710).

Ἥρα δὲ καὶ Ἀθηνᾶ ὁρῶσαι τὸν Ἄρην μαινόμενον κατὰ τῶν Ἑλλήνων, λαμβάνουσι τὴν ἄδειαν παρὰ Διὸς καὶ ἔρχονται εἰς τὴν μάχην, λύσασαι τοὺς ἵππους κατὰ τὸν σύρρουν Σιμόεντος καὶ Σκαμάνδρου, ἐκεῖθεν δὲ πορευθεῖσαι πεζαὶ εἰς τὰς τῶν Ἑλλήνων τάξεις·

« Ἀλλ' ὅτε δὴ Τροίην ἷξον, ποταμώ τε ῥέοντε,
» ἧχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος,
» ἔνθ' ἵππους ἔστησε θεὰ λευκώλενος Ἥρη.
. . . .
» Αἱ δὲ βάτην τρήρωσι πελειάσιν ἴθμαθ' ὁμοῖαι
» ἀνδράσιν Ἀργείοισιν ἀλεξέμεναι μεμαυῖαι ».

Ε, 773-.

Τῆς μάχης οὖν γινομένης ὑπὸ τὴν πόλιν, ἡ τῶν δύω θεαινῶν ἐκπέζευσις μαρτυρεῖ ὅτι Σιμόεις καὶ Σκάμανδρος εἰσὶν οἱ ποταμοὶ οὓς ὡρίσαμεν. Ἡ δὲ Ἥρα ἵνα διεγείρῃ φιλοτιμίαν καὶ θάρρος ἐν ταῖς ψυχαῖς τῶν Ἑλλήνων «Αἰδώς, Ἀργεῖοι, λέγει αὐτοῖς, καθ' ὃν μὲν χρόνον ὁ Ἀχιλλεὺς ἐπολέμει, οὐδέποτε οἱ Τρῶες περιεφέροντο πρὸ

τῶν Σκαιῶν Πυλῶν, νῦν δὲ (ἤτοι μετὰ τὴν μῆνιν αὐτοῦ), οἱ Τρῶες καὶ μέχρι τῶν νηῶν ἔρχονται καὶ μάχονται ἐπ' αὐτάς» οὕτως ἐξηγητέον τὸ ἔπος

« Νῦν δ' ἑκὰς πόλιος κοίλης ἐπὶ νηυσὶ μάχονται ».

Ε, 791.

τὸ γὰρ νῦν ἐνταῦθα σημαίνει οὐχὶ τὸν χρόνον ἐν ᾧ ὡμίλει ἡ Ἥρα, οὐχὶ τὴν ἐνεστῶσαν μάχην γινομένην ὑπὸ τὸ Ἴλιον μακρὰν τῶν πλοίων, ἀλλ' ἐν γένει τὸν χρόνον καθ' ὃν ὁ Ἀχιλλεὺς μηνίων οὐκ ἐπολέμει. Ὄντως δὲ οἱ Τρῶες ἦλθον μέχρι τῶν Ἑλληνικῶν πλοίων μετὰ δύο ἡμέρας, κατὰ τὴν Δευτέραν Μάχην (Θ, 213-219), ὡς καὶ κατὰ τὴν Τρίτην Μάχην (Ν, 107-). Οὕτω καὶ ἡμεῖς λέγομεν· «Ἄλλοτε μὲν οἱ νέοι ἐν Ἀθήναις » ἦσαν ἠθικοὶ καὶ αἰδήμονες, νῦν δὲ (ἡ σήμερον δὲ) » ἀνερυθριάστως ἀκροάζονται ἐν τοῖς θεάτροις τῶν μελο- » δραμάτων Ὀφφεμβάχ»· ἐννοοῦντες οὐχὶ ἀκριβῶς τὴν ἡμέραν καθ' ἣν ὡμιλοῦμεν, ἀλλὰ καὶ τὰς πρὸ αὐτῆς καὶ τὰς μετ' αὐτὴν ἡμέρας (1).

Ἡ Ἀθηνᾶ καταβιβάζει τὸν Σθένελον ἀπὸ τοῦ δίφρου καὶ ὁδηγεῖ αὐτὴ τὸν Διομήδη κατὰ τοῦ Ἄρεως φονεύοντος κατὰ τὴν στιγμὴν ἐκείνην τὸν Περίφαντα· ὁ Διομή-

(1) Τὴν αὐτὴν περιεκτικότητα χρόνου ἔχει καὶ τὸ aujourd'hui τῶν Γάλλων, τὸ oggi τῶν Ἰταλῶν κλ.

δης τιτρώσκει τὸν Ἄρην. Οἱ δὲ θεοὶ ἀναχωροῦσιν ἀπὸ τῆς μάχης (Ε, 180 - 909). Ὁ Τελαμώνιος Αἴας φονεύει τὸν Ἀκάμαντα, ὁ Διομήδης τὸν Ἄξυλον, ὁ Εὐρύπυλος τὸν Δρῆσσον, Ὀφέλτιον, Αἴσηπον καὶ Πήδασον· ὁ Πολυποίτης τὸν Ἀστύαλον, ὁ Ὀδυσσεὺς τὸν Πιδύτην, ὁ Τεῦκρος τὸν Ἀρετάονα, ὁ Ἀντίλοχος τὸν Ἄβληρον, ὁ Ἀγαμέμνων τὸν Ἔλατον, ὁ Λήϊτος τὸν Φύλακον, ὁ Εὐρύπυλος τὸν Μελάνθιον, Μενέλαος δὲ μετ' Ἀγαμέμνονος τὸν Ἄδρηστον (Ζ, 1 - 65). Ἄρα καὶ πάλιν οἱ Ἕλληνες ἐπανέρχονται καὶ ὠθοῦσι τοὺς Τρῶας πρὸς τὴν πόλιν, ἄρα ἡ μάχη οὐκ ἐξῆλθε τῶν ὁρίων Σιμόεντος καὶ Σκαμάνδρου, ἀλλ' ἐν τῷ μεταξὺ αὐτῶν χώρῳ περιωρίσθη, ὡς ὁ Ποιητὴς λέγει·

« πολλὰ δ' ἄρ ἔνθα καὶ ἔνθ' ἴθυσε μάχη πεδίοιο,
» μεσσηγὺς Σιμόεντος ἠδὲ Ξάνθοιο ῥοάων ».

Ζ, 2-.

Ὁ Ἕκτωρ ἀναβαίνει εἰς τὸ ἄστυ ἵνα προκαλέσῃ προσευχὰς τῇ Ἀθηνᾷ· ἐν δὲ τῷ μεταξὺ χρόνῳ ἐκτελοῦνται δύο τῶν ὡραιοτέρων ἐπεισοδίων τῆς Ἰλιάδος· ἡ Γλαύκου καὶ Διομήδους συνάντησις, καὶ ἡ Ἕκτορος καὶ Ἀνδρομάχης ὁμιλία (Ζ, 66 - 503). Ὄντως γὰρ φιλόφρων καὶ γενναία ἡ πρᾶξις Διομήδους, πηγνύοντος τὸ ἔγχος ἐν τῇ γῇ ἅμα ἀκούσαντος τὴν Γλαύκου Ἑλληνικὴν καταγω-

γήν· ἡ δὲ τοῦ μικροῦ Ἀστυάναντος εἰκών ἐστιν ἀμίμητος διὰ τὴν χάριν καὶ τὴν ἀλήθειαν.

Ὁ Ἕκτωρ καταβαίνει ἀπὸ Ἰλίου εἰς τὸ πεδίον μετ' Ἀλεξάνδρου, ὅστις φονεύει τὸν Μενέσθιον, ὁ δ' Ἕκτωρ τὸν Ἠϊονῆα, ὁ δὲ Γλαῦκος τὸν Ἰφίνοον (Ζ, 504 - Η, 16). Ἡ δ' Ἀθηνᾶ ἀπὸ Ὀλύμπου ἐλθοῦσα, Ἀπόλλων δὲ ἀπὸ Περγάμου, συναντῶνται παρὰ τῇ Φηγῷ καὶ ἀποφασίζουσι τὴν παῦσιν τῆς μάχης καὶ τὴν Ἕκτορος καὶ Αἴαντος μονομαχίαν, μεθ' ἣν οἱ μὲν Τρῶες ἐπανέρχονται εἰς τὴν πόλιν, οἱ δ' Ἕλληνες εἰς τὰς ἑαυτῶν σκηνάς. Ἐπελθούσης οὖν τῆς νυκτὸς τῆς διαχωρησάσης τοὺς μονομαχοῦντας, λήγει ἡ Πρώτη Μάχη. (Η, 17 - 312). Τὸ δὲ λοιπὸν μέρος τῆς Ῥαψῳδίας Η, περιγράφει τά τε κατὰ τὴν ἑσπέραν συμβάντα καὶ τὰ κατὰ τὰς δύο ἐπιούσας ἡμέρας τῆς ἀνακωχῆς.

Ἡ μὲν τοίνυν συνάντησις τῶν δύο στρατῶν καὶ ἡ Μενελάου καὶ Πάριδος μονομαχία ἐγένοντο ὑπὸ τὴν πόλιν, ἡ δὲ μάχη, ὑποχωρησάντων ἐπὶ σμικρὸν τῶν Ἑλλήνων ἕνεκα τοῦ Ἄρεως, ἐξετάθη μέχρι Σιμόεντος, οὐχὶ δὲ καὶ πορρωτέρω, διὰ τὴν τῶν Ἑλλήνων γενναίαν ἐπίθεσιν τὴν γενομένην μετὰ τὴν ἀναχώρησιν τῶν θεῶν, ἐπίθεσιν προκαλέσασαν τὰς ἐν Ἄστει εὐχὰς τῇ Ἀθηνᾷ. Ἐν ἑνὶ λόγῳ ἡ Πρώτη Μάχη περιωρίσθη μεταξὺ τῶν δύο ποταμῶν ὡς καὶ Ὅμηρος λέγει· (Ἰλ. Ζ, 2 - 4). Ἡ δὲ κυριωτέρα συμπλοκὴ ἐπὶ τῶν ὀχθῶν Σκαμάνδρου ἐγένετο ὡς

φαίνεται καὶ ἐκ τῶν λόγων Νέστορος λαλήσαντος μετὰ τὸν δόρπον περὶ ἀναιρέσεως τῶν νεκρῶν, ὧν τὸ μέλαν αἷμα ἐχύθη ὑπ' Ἄρεως ἀμφὶ τὸν Σκάμανδρον·

« Πολλοὶ γὰρ τεθνᾶσι καρηκομόωντες Ἀχαιοί,
» τῶν νῦν αἷμα κελαινὸν ἐύρροον ἀμφὶ Σκάμανδρον
» ἐσκέδασ' ὀξὺς Ἄρης . . . . »

Η, 328-.

Ἐπαναλαμβάνω δὲ (ὅ,τι καὶ ἐν τοῖς πρότερον εἶπον ἵνα καταδείξω τὰς ὑπαρχούσας ἐσφαλμένας περὶ Ἰλιάδος ἰδέας) μόνην τὴν Πρώτην Μάχην μεταξὺ Σιμόεντος καὶ Σκαμάνδρου πολεμηθῆναι, οὐχὶ πάσας τας ἐν τῷ Ποιήματι μάχας, ὡς πολλοὶ νομίζουσι καὶ οἱ λεξικογράφοι λέγουσιν (1). Ἡ δ' Αἴαντος καὶ Ἕκτορος μονομαχία πιθανῶς συνέβη περὶ τὰ μέσα τῆς γραμμῆς ΑΒ, ἐπειδὴ Ἀθηνᾶ καὶ Ἀπόλλων ἀπὸ τῆς πρὸ τῶν Σκαιῶν Πυλῶν Φηγοῦ ἔβλεπον τοὺς μονομαχοῦντας·

« Καδ' ἄρ Ἀθηναίη τε καὶ ἀργυρότοξος Ἀπόλλων
» ἑζέσθην, ὄρνισιν ἐοικότες αἰγυπιοῖσιν,
» φηγῷ ἐφ' ὑψηλῇ πατρὸς Διὸς αἰγιόχοιο ».

Η, 58-.

Εφονεύθησαν δὲ κατὰ τὴν Πρώτην Μάχην ἐκ μὲν τῶν

(1) Ὅρα λεξικὸν τῶν Ἀρχαίων Μυθολογικῶν, Ἱστορικῶν καὶ Γεωγραφικῶν Κυρίων Ὀνομάτων Ν. Λωρέντη. « Σκάμανδρος ὁ Ποταμὸς τῆς Τρωϊ-

Ἑλλήνων ὀκτωπαίδεκα ἐν οἷς τρεῖς βασιλεῖς ἢ ἀρχοὶ ἐν τῷ Καταλόγῳ μνημονευόμενοι, ἤτοι Ἐλεφήνωρ τοῦ 21ου Σώματος, Διώρης Ἀμαρυγκείδης τοῦ 13ου καὶ Τληπόλεμος τοῦ 18ου. Ἐτρώθη δ' ἐλαφρῶς ὁ Διομήδης· ἐκ δὲ τῶν Τρώων ἐφονεύθησαν μὲν ὀκτὼ καὶ τριάκοντα, ἐν οἷς πέντε ἀρχοὶ τοῦ Καταλόγου, Πείροος καὶ Ἀκάμας τοῦ 7ου Σώματος, Ὀδίος τοῦ 11ου, Πάνδαρος τοῦ 3ου καὶ Ἄμφιος τοῦ 4ου· ἐτρώθησαν δὲ δύο, Αἰνείας καὶ Σαρπηδών, ἐκ δὲ τῶν συμμαχούντων τοῖς Τρωσὶ θεῶν, Ἀφροδίτη καὶ Ἄρης. Ὁ δὲ Πυλαιμένης, ἀρχὸς Παφλαγόνων, ὁ φονευθεὶς ὑπὸ Μενελάου (Ε, 576-), ἦν ἐκ τῶν ἀρχηγῶν τῶν δευτερευόντων οὐχὶ ὁ τοῦ Καταλόγου. Ὁ συνοδεύων μετὰ δακρύων τὸν φονευθέντα υἱὸν κατὰ τὴν Τρίτην Μάχην (Ν, 643-658), ἐστὶν, κατ' ἐμὲ, ὁ τοῦ Καταλόγου Πυλαιμένης, ὡς λεγόμενος καὶ βασιλεὺς καὶ φίλος Πάριδος.

Ἐν δὲ τῇ πρωΐᾳ τῆς ἐπιούσης ἡμέρας ὁ Ἰδαῖος ἔρχεται ἀπὸ τῆς πόλεως εἰς τὸ Ἑλληνικὸν Στρατόπεδον φέρων προτάσεις εἰρήνης καὶ ἀνακωχῆς πρὸς ἀναίρεσιν τῶν νεκρῶν· τὴν ἀνακωχὴν δὲ μόνον δεχθέντων τῶν Ἑλλήνων, ὁ Ἰδαῖος ἐπιστρέφει εἰς Ἴλιον καὶ οἱ νεκροὶ θάπτονται ἑκατέρωθεν. Οἱ δ' Ἕλληνες τὴν ἑπομένην ἡμέραν, τὸ πύργους ἔχον τεῖχος καὶ τὴν τάφρον πρὸ τοῦ

» χῆς . . . . . καὶ ὅστις πηγάζων ἐπὶ τοῦ ὄρους τῆς Ἴδης καὶ ἑνούμενος » μὲ τὸν Σιμόεντα ἐκβάλλει εἰς τὴν θάλασσαν· μεταξὺ τῶν δύο τούτων ποταμῶν ὑπῆρχε τὸ πεδίον τῆς μάχης τῶν Τρώων καὶ Ἑλλήνων ».

Στρατοπέδου κατασκευάζουσι (Ἰλ. Η, 433-451).

Πάντα τ' ἀμυντικὰ ταῦτα ἔργα σημειοῦνται ἐπὶ ἀμφοτέρων τῶν Πινάκων πρὸ τοῦ Στρατοπέδου· Οἱ δ' εἰς αὐτὰ ἀναφερόμενοι στίχοι φέρουσιν ὁμοίως πρὸ αὐτῶν τὸ σημεῖον τῆς Πρώτης Μάχης.

ΔΕΥΤΕΡΑ ΜΑΧΗ.

Ἡ δ' ἐξιστόρησις τῆς Δευτέρας Μάχης ἄρχεται ἐν τῷ πρώτῳ στίχῳ τῆς Ραψῳδίας Θ, καὶ λήγει σὺν τῷ 488ῳ στίχῳ τῆς αὐτῆς Ραψῳδίας.

Τὴν ὑστεραίαν τῆς ἀνακωχῆς ἡμέραν, οἱ δύω στρατοὶ συναντῶνται πάλιν ἐπὶ τοῦ Τρωϊκοῦ πεδίου, περὶ τὰ μέσα, οἷα συγχρόνως κινηθέντες ὁ μὲν Τρωϊκὸς ἀπὸ τῆς πόλεως, ὁ δ' Ἑλληνικὸς ἀπὸ τῶν νηῶν (Θ, 1-65) (1).

(1) Τὴν συνέντευξιν σημειοῦμεν ἐπὶ τοῦ Πίνακος Β κατὰ τὸ Γ. Τὴν δ' ἐπέκτασιν τῆς μάχης ἐμφαίνει ἡ γραμμὴ ΓΔ. Ἡ δὲ ΔΔ' δεικνύει τὴν Ἑλλήνων πρώτην ὑποχώρησιν μέχρι τῶν πλοίων, ἡ δὲ Δ'Ε τὴν ἐπάνοδον τῶν Ἑλλήνων κατὰ τῶν Τρώων μετὰ τὴν δημηγορίαν καὶ εὐχὴν Ἀγαμέμνονος ἀπὸ τοῦ πλοίου Ὀδυσσέως. Ἡ δὲ γραμμὴ ΕΔ' δεικνύει τὴν δευτέραν τῶν Ἑλλήνων ὑποχώρησιν. Ἡ δ' ἐρυθρὰ γραμμὴ ΕΖ, τὴν ἀναχώρησιν τῶν Τρώων ἐπελθούσης τῆς νυκτός. Περὶ τὸ Ζ, οἱ Τρῶες στρατοπεδευσάμενοι διανυκτερεύουσιν. Ἡ δ' ἐρυθρὰ γραμμὴ ΖΗ δεικνύει τὴν εἰς τὸ Σῆμα Ἴλου πορείαν Ἕκτορος καὶ γερόντων βουλευσομένων. Οἱ εἰς τὴν Δευτέραν Μάχην ἀναγόμενοι στίχοι φέρουσι πρὸ αὐτῶν δύο ὑποστιγμάς ».

Καὶ μέχρι μὲν μεσημβρίας ἡ μάχη ἦν ἀμφιρρεπής, κατὰ δὲ τὴν μεσημβρίαν ὁ Ζεὺς καθήμενος ἐπὶ τοῦ Γαργάρου ἀποφασίζει ὑπὲρ τῶν Τρώων. Οἱ δ' Ἕλληνες φοβηθέντες φεύγουσι· μόνον ὁ Διομήδης μένει ἵνα σώσῃ τὸν Νέστορα μὴ δυνάμενον ὑποχωρεῖν ἕνεκα τοῦ τρωθέντος ἵππου αὐτοῦ. Λαβὼν οὖν ὁ Τυδείδης τὸν γηραιὸν ἐπὶ τοῦ ἑαυτοῦ δίφρου προχωρεῖ κατὰ Ἕκτορος, φονεύει τὸν Ἠνιοπῆα καὶ ἀπωθεῖ τοὺς Τρῶας· ἀλλ' ὁ Ζεὺς ἐμποδίζει τὴν πρόοδον τοῦ Διομήδους ὅς περ ἄκων φεύγει πρὸς τὰς νῆας (Θ, 66-171). Οἱ Τρῶες προχωροῦσι μέχρι τῆς Τάφρου (εἰς Δ), οἱ δ' Ἕλληνες διαβάντες αὐτὴν φεύγουσιν εἰς τὰ πλοῖα (γραμμὴ ΔΔ'). Τότε Ἀγαμέμνων ἔρχεται εἰς τὸ Κέντρον τοῦ Στρατοπέδου καὶ ἀπὸ τῆς νηὸς Ὀδυσσέως ἐνθαρρύνει τοὺς Ἕλληνας·

« Στῆ δ' ἐπ' Ὀδυσσῆος μεγακήτεϊ νηῒ μελαίνῃ,
» ἥ ῥ' ἐν μεσσάτῳ ἔσκε γεγωνέμεν ἀμφοτέρωσε·
» ἠ μὲν ἐπ' Αἴαντος κλισίης Τελαμωνιάδαο,
» ἠδ' ἐπ' Ἀχιλλῆος· τοί ῥ' ἔσχατα νῆας εἶσας
» εἴρυσαν ἠνορέῃ πίσυνοι καὶ κάρτεϊ χειρῶν ».

Θ, 222-.

Ἐν τοῖς περὶ Στρατῶν λεχθεῖσιν εἴδομεν τὴν σπουδαιότητα τῶν ἐπῶν τούτων, ἐξηγούντων τὴν εἰς Κέντρον καὶ Κέρατα διαίρεσιν τοῦ Ἑλληνικοῦ Στρατοπέδου.

Συγχρόνως ἐλαφίσκος ὑπ' ἀετοῦ ἁρπασθεὶς πίπτει ἐπὶ τοῦ βωμοῦ τοῦ πανομφαίου Διός. Οἱ Ἕλληνες ἐπανέρ-

χονται κατὰ τῶν Τρώων (γραμμὴ Δ'Ε). Πρῶτος Διομήδης διαβαίνει τὴν Τάφρον καὶ φονεύει τὸν Ἀγέλαον· τῷ Διομήδει ἕπονται οἱ Ἀτρεῖδαι, οἱ Αἴαντες, ὁ Ἰδομενεὺς καὶ ὁ Μηριόνης, ὁ Εὐρύπυλος, ἔννατος δὲ Τεῦκρος ὃς καὶ φονεύει τὸν Ὀρσίλοχον, Ὄρμενον, Ὀφελέστην, Δαίτορα, Χρομίον, Λυκοφόντην, Ἀμοπάονα καὶ Μελάνιππον, πρὸς δὲ τούτοις καὶ τὸν Γοργυθίωνα φονεύει ὁ Τεῦκρος, ἀλλὰ τιτρώσκεται ὑφ' Ἕκτορος καὶ μεταφέρεται εἰς τὰ πλοῖα. Οἱ Τρῶες ὠθοῦσι πάλιν τοὺς Ἕλληνας (γραμμὴ ΕΔ'), ἀλλ' ἡ νὺξ ἐπέρχεται καὶ ἡ μάχη παύει. (Θ, 172-488).

Κατὰ τὴν μάχην ταύτην δυοκαίδεκα μὲν Τρῶες ἐφονεύθησαν· ἐκ δὲ τῶν Ἑλλήνων ὁ Τεῦκρος ἐτρώθη.

ΤΑ ΕΝ ΤΗ ΝΥΚΤΙ ΣΥΜΒΑΝΤΑ.

Οἱ Τρῶες ἐπελθούσης τῆς νυκτὸς ἔρχονται ἐπὶ τὸν Σκάμανδρον, ἐπὶ τῆς περὶ τὰ μέσα τοῦ πεδίου καμπῆς τοῦ ποταμοῦ, ποιοῦσιν ἀγορὰν καὶ διανυκτερεύουσι περὶ τὸ Ζ.

» Τρώων αὖτ' ἀγορὴν ποιήσατο φαίδιμος Ἕκτωρ,
» νόσφι νεῶν ἀγαγὼν ποταμῷ ἔπι δινήεντι,
» ἐν καθαρῷ, ὅθι δὴ νεκύων διεφαίνετο χῶρος ».

Θ, 489-. (1)

ἤτοι ὀλίγον ἀνωτέρω τοῦ χώρου τῆς συναντήσεως (τοῦ Γ) ἔνθα ἡ μάχη καὶ ὁ φόνος ἤρξατο. Ὅτι δὲ οἱ Τρῶες ἔνθεν τῆς διαβάσεως τοῦ Σκαμάνδρου διενυκτέρευσαν φαίνεται καὶ ἐκ τῶν πυρῶν ἅπερ ἔλαμπον μεταξὺ Σκαμάνδρου καὶ νηῶν·

» Τόσσα μεσσηγὺ νεῶν ἠδὲ Ξάνθοιο ῥοάων,
» Τρώων καιόντων πυρὰ φαίνοντο Ἰλιόθι πρό.

Θ, 560-.

Ἐν τῷ αὐτῷ δὲ χρόνῳ Ἀγαμέμνων τεθλιμμένος προσκαλεῖ τοὺς Ἕλληνας διὰ νυκτὸς εἰς συνέλευσιν. Κατὰ πρότασιν δὲ Νέστορος φυλακὴ ἰσχυρὰ τίθεται μεταξὺ Τείχους καὶ Τάφρου.

» Κὰδ δὲ μέσον τάφρου καὶ τείχεος ἷζον ἰόντες »

Ι, 87-.

Ἑπτὰ ἦσαν οἱ τῶν φυλάκων ἡγεμόνες, Θρασυμήδης, Ἀσκάλαφος, Ἰάλμενος, Μηριόνης, Ἀφαρεύς, Δηΐπυρος

(1) Καὶ οἱ στίχοι οἱ ἀναφερόμενοι εἰς τὰ διὰ νυκτὸς συμβάντα φέρουσι πρὸ αὐτῶν δύο ὑποστιγμὰς ,, ἐπὶ τοῦ Πίνακος Β.

καὶ Λυκομήδης· ὑφ' ἑκάστῳ δὲ ἑκατὸν στρατιῶται. Ἐτέθησαν δὲ οἱ φύλακες κατὰ τὸ Ἀριστερὸν Κέρας τοῦ Στρατοπέδου, πέραν τοῦ Κέντρου, ἄντικρυ τοῦ 18ου ἢ 19ου ἔθνους, πρὸς τὸ μέρος τὸ προσβληθὲν ἐν τῷ τέλει τῆς ἡμέρας ὑπὸ τῶν Τρώων, ὡς δεικνύει ἡ μετ' οὐ πολὺ γενομένη βουλὴ ἐκτὸς τῆς Τάφρου· (1)

» τάφρον δ' ἐκδιαβάντες ὀρυκτὴν ἑδριόωντο
» ἐν καθαρῷ ὅθι δὴ νεκύων διεφαίνετο χῶρος
» πιπτόντων· ὅθεν αὖτις ἀπετράπετ' ὄβριμος Ἕκτωρ,
» ὀλλὺς Ἀργείους, ὅτε δὴ περὶ νὺξ ἐκάλυψεν ».

Κ, 198-.

Μαρτυρεῖ δὲ καὶ ἡ Τρίτη Μάχη ἐκεῖ τεθῆναι τὴν φυλακήν, κατὰ τὸ ἀριστερὸν Κέρας· ἐκεῖ γὰρ εὑρήσομεν μαχομένους τοὺς ἑπτὰ τῶν φυλάκων ἡγεμόνας, περὶ τὸν αὐτὸν τόπον ὃν κατεῖχον νυκτοφυλακοῦντες.

Μετὰ δὲ τὴν καθίδρυσιν τῶν φυλάκων, Ἀγαμέμνων ἄγει τοὺς γέροντας ἐν τῇ αὐτοῦ σκηνῇ καὶ βουλεύονται. Ὁ Νέστωρ προτείνει τὴν πρὸς Ἀχιλλέα πρεσβείαν, ἥπερ εὐθὺς ἀναχωρεῖ. Ἐλθοῦσα δ' εἰς Ἀχιλλέως καὶ μὴ ἐπιτυχοῦσα τοῦ σκοποῦ, ἐπιστρέφει εἰς Ἀγαμέμνονος, ἡ δὲ τῶν γερόντων βουλὴ διαλύεται (Ι, 88-713). Καὶ οἱ μὲν ἄλλοι ἐκοιμήθησαν, Ἀγαμέμνων δὲ μὴ δυνάμενος καθεύδειν ἕνεκα τοῦ ἐπικειμένου κινδύνου, καὶ ὁρῶν τὰ

(1) Ἐπὶ τοῦ Πίνακος Β ἡ Βουλὴ σημειοῦται ὡς γενομένη περὶ τὸ Θ.

ἐπὶ τοῦ πεδίου καιόμενα πυρὰ τῶν ἐχθρῶν καὶ ἀκούων « αὐλῶν συρίγγων τ' ἐνοπὴν ὅμαδον τ' ἀνθρώπων » (Κ, 1-13), ἀνίσταται ἵνα πορευθῇ εἰς Νέστορος. Συγχρόνως δ' ἐλθὼν Μενέλαος εὑρίσκει τὸν ἀδελφὸν ἐνδυόμενον παρὰ τῇ πρύμνῃ τοῦ πλοίου (1). Ὁ μὲν οὖν Ἀγαμέμνων ἐξηγήσας τῷ ἀδελφῷ τὰ δεινὰ τῶν Ἑλλήνων, προστίθησιν « ὕπαγε εἰς Αἴαντος καὶ Ἰδομενέως καὶ κάλεσον αὐτοὺς ἐλθεῖν εἰς τὸν χῶρον τῶν φυλάκων, ἐγὼ δ' ὁδεύω εἰς Νέστορος »·

» Ἴθι νῦν Αἴαντα καὶ Ἰδομενέα κάλεσσον,
» ῥίμφα θέων ἐπὶ νῆας. ἐγὼ δ' ἐπὶ Νέστορα δῖον
» εἶμι καὶ ὀτρυνέω ἀνστήμεναι. αἴ κ' ἐθέλησιν
» ἐλθεῖν ἐς φυλάκων ἱερὸν τέλος. . . . »

Κ, 53-.

Μενέλαος δέ, εὑρίσκων ἀσαφῆ καὶ ἀτελῆ τὴν ἐντολήν, ἐρωτᾷ τὸν Ἀγαμέμνονα εἰ ἔδει ἐπανελθεῖν πρὸς αὐτὸν ἢ ἀναμεῖναι μετ' Αἴαντος καὶ Ἰδομενέως ἐν τῇ ὁρισθείσῃ θέσει τῶν φυλάκων· « ἀνάμενέ με ἐκεῖ, ἀποκρίνεται Ἀγαμέμνων, ἵνα μὴ ἀποπλανηθῶμεν ἐν ταῖς πολλαῖς τοῦ Στρατοπέδου ὁδοῖς·

(1) Τῶν Τρώων διανυκτερευόντων ἔνθεν τῆς περὶ τὰ μέσα τοῦ πεδίου καμπῆς τοῦ Σκαμάνδρου, ὁ Ἀγαμέμνων ἐδύνατο ὁρᾶν τὰ καιόμενα πυρὰ καὶ ἀκούειν τὸν θόρυβον τοῦ ἐχθρικοῦ στρατοῦ ἀπὸ τῆς κλίνης εἴτε ἐν τῇ σκηνῇ οὔσης, εἴτ' ἐπὶ τῇ πρύμνῃ πλοίου ἐπὶ τῆς πρώτης πρὸς τὸ πεδίον σειρᾶς κειμένου. Ἀλλ' οἱ ἀγνοοῦντες τὴν τοῦ Ἑλληνικοῦ Στρατοπέδου διάταξιν, μὴ ἔχοντες ἐξηγῆσαι πῶς ὁ Ἀγαμέμνων ἑώρα τὰ τῶν Τρώων πυρὰ ἀπὸ τῆς κλίνης εἶπον ἀπρόσεκτον τὸν Ὅμηρον.

» αὖθι μένειν, μήπως ἀϐροτάξομεν ἀλλήλοιν
« ἐρχομένω· πολλαὶ γὰρ ἀνὰ στρατὸν εἰσὶ κέλευθοι ».

K, 65-.

Ἀνωτέρω ὡρίσαμεν τὴν τῶν φυλάκων θέσιν κατὰ τὸ ἀριστερὸν Κέρας. Καὶ ἐκ τῆς πορείας δὲ τῶν συνελθόντων ἐκεῖσε ἀρχηγῶν, φανήσεται καλῶς ὁρισθῆναι. Ἀναχωρήσαντος οὖν δρομαίως τοῦ Μενελάου, ὁ Ἀγαμέμνων πορεύεται εἰς Νέστορος (Σῶμα 11ον), μετα δὲ Νέστορος ἔρχεται εἰς Ὀδυσσέως (Σῶμα 15ον)· παραλαϐόντες δὲ καὶ αὐτὸν πορεύονται εἰς Διομήδους (Σῶμα 8ον), ὃν ἐξυπνοῦσι καὶ στέλλουσιν ὡς νεώτερον πρὸς τοὺς ἀποτάτω ἀπ' ἀλλήλων ὄντας, Αἴαντα τὸν Ὀϊλῆος (Σῶμα 4ον) καὶ Μέγητα υἱὸν Φιλέως (Σῶμα 14ον).

» Ἀλλ' ἴθι νῦν Αἴαντα ταχὺν καὶ Φυλέως υἱὸν
» ἄνστησον· σὺ γὰρ ἔσσι νεώτερος εἴ μ' ἐλεαίρεις».

K, 175-.

Νέστωρ δ' ἀγνοῶν τὴν Μενελάου πρὸς Τελαμώνιον Αἴαντα καὶ Ἰδομενέα ἀποστολήν, εἶπε πρὸ μικροῦ τῷ Ἀγαμέμνονι πέμψαί τινα καὶ πρὸς αὐτοὺς ἄτερ ὄντας πολὺ ἀπ' ἀλλήλων·

» Ἀλλ' εἴ τις καὶ τούσδε μετοιχόμενος καλέσειεν,
» ἀντίθεον τ' Αἴαντα καὶ Ἰδομενέα ἄνακτα
» τῶν γὰρ νῆες ἔασιν ἑκαστάτω οὐδὲ μάλ' ἐγγύς ».
K, 111-.

Ὄντως δὲ τὸ Τελαμωνίου Αἴαντος Σῶμα ὂν ἕβδομον τὴν τάξιν, ἀπέχει ἀπόστασιν μεγίστην ἀπὸ τοῦ Σώματος τῶν Κρητῶν ὄντος 17ου. Ἀπόδειξις καὶ αὕτη τοῦ τὸν Ποιητὴν ἔχειν ἀεὶ πρὸ τῶν ὀφθαλμῶν τὴν ἐν τῷ Καταλόγῳ τῶν Ἑλληνικῶν ἐθνῶν διάταξιν.

Ἐφαρμόζοντες δὲ τοὺς λόγους τοῦ Νέστορος ἐπὶ τοῦ στρατοπέδου ἐννοοῦμεν τὴν αἰτίαν δι' ἣν ὁ γηραιὸς πέμπων τὸν Τυδείδη πρὸς Αἴαντα τὸν ταχὺν καὶ πρὸς Μέγητα, εἶπεν αὐτῷ « σὺ γὰρ ἔσσι νεώτερος ». Τὸ γὰρ τῶν Λοκρῶν Σῶμα, ὂν Τέταρτον ἀπέχει ἀπὸ τοῦ Σώματος Δουλιχίου, ὄντος Δεκάτου τετάρτου, τοσαύτην ἀπόστασιν ὅσην τὸ τῶν Σαλαμινίων ἀπεῖχεν τῶν Κρητῶν. Περὶ μὲν οὖν τῶν δύο τελευταίων, Αἴαντος καὶ Ἰδομενέως, ὁ Νέστωρ λέγει

» τῶν γὰρ νῆες ἔασιν ἑκαστάτω, οὐδὲ μάλ' ἐγγύς ».

τὴν δὲ Λοκρῶν μεγάλην ἀπόστασιν ἀπὸ Δουλιχίου, ἐξηγεῖ λέγων τῷ Διομήδει πορευθῆναι πρὸς αὐτοὺς ὡς νεωτέρῳ ὄντι. Ἀλλ' ἂς ἐξακολουθήσωμεν ἐρευνῶντες ἵν'

ἔτι μᾶλλον θαυμάσωμεν τὴν Ὁμήρου προσοχὴν καὶ ἀκρίβειαν. Ἐπειδὴ τὸ Τελαμωνίου Αἴαντος Σῶμα (7ον) ἦν ἀπωτέρω τοῦ χώρου τῶν φυλάκων, τὸ δὲ Κρητῶν πλησιέστερον, ὁ Ἀγαμέμνων πέμπων τὸν Μενέλαον λέγει, κατὰ τὸ εἰκός, πρῶτον τὸν Αἴαντα ἀναστῆσαι εἶτα δὲ τὸν Ἰδομενέα.

Ὁμοίως ὁ ταχύπους Διομήδης διατάσσεται πρῶτον τὸν Αἴαντα τὸν Λοκρὸν ἐξυπνίσαι εἶτα τὸν Μέγητα καὶ ἐλθεῖν μετ' αὐτῶν εἰς τοὺς φύλακας.

Εἴποι δ' ἄν τις ἡμῖν διατὶ Ἀγαμέμνων οὐκ ἐξύπνισε πρῶτον τὸν Διομήδη ὄντα παρὰ τῷ αὐτοῦ Σώματι; διατὶ Μενέλαος οὐ διετάχθη ἀναστῆσαι καὶ τὸν Μέγητα ὅταν ἀπὸ Αἴαντος Τελαμωνίου ἐπορεύετο εἰς τοῦ Ἰδομενέως; τὸ αἴτιον ῥαδίως ἐν τοῖς ἑξῆς ἀποκαλύπτεται. Ὁ Ἀγαμέμνων ἐγίγνωσκεν ὅτι μετὰ τὴν μῆνιν Ἀχιλλέως πολλοὶ τῶν Ἑλλήνων ἐθελοκάκουν καὶ ᾐτιῶντο αὐτὸν ὡς αἴτιον τῶν δυσχεριῶν. Ἕνεκα οὖν τούτου αὐτὸς μὲν πορεύεται εἰς Νέστορος, τοῦ εὐνοοῦντος καὶ δημοσίᾳ ὑπερασπιζομένου τὸν Ἀγαμέμνονα· ὁ δὲ Νέστωρ ἐγερθεὶς καὶ μαντεύσας τὴν τῆς ψυχῆς ταραχὴν καὶ τὴν ἀθυμίαν τοῦ Ἀτρείδου, προτείνει αὐτὸς τὸ καὶ ἄλλους ἐγεῖραι·

» σοὶ δὲ μάλ' ἕψομ' ἐγώ· ποτὶ δ' αὖ καὶ ἐγείρομεν ἄλλους
» ἠμὲν Τυδείδην δουρικλυτὸν ἠδ' Ὀδυσσῆα,
» ἠδ' Αἴαντα ταχὺν καὶ Φυλέως ἄλκιμον υἱόν ».

Κ. 108-,

Ἔπεμψε δ' Ἀγαμέμνων τὸν Μενέλαον πρὸς Αἴαντα τὸν Τελαμώνιον καὶ Ἰδομενέα ὡς ὄντας ἀμφοτέρους πιστοὺς τοῖς Ἀτρείδαις· διατάσσει δ' αὐτῷ εἶναι εὐπροσήγορον καὶ φιλόφρονα πρὸς οὓς ἵκοιτο. Ὁ Ἀγαμέμνων ἐδεῖτο τῆς συνδρομῆς τῶν πιστοτέρων καὶ φρονιμωτέρων, διὰ τοῦτο ἐγείρει τὸν Νέστορα μόνον, εἶτα προτροπῇ Νέστορος, τὸν Ὀδυσσέα καὶ μετ' αὐτῶν μόνων συμπορεύεται, ἵνα καθ' ὁδόν, πρὶν συνέλθωσιν εἰς τοὺς φύλακας, ἀκούσῃ τὰς αὐτῶν συμβουλάς. Ἄξιοι δὲ σημειώσεως εἰσὶ οἱ τρεῖς ὅμιλοι τῶν εἰς τοὺς φύλακας πορευθέντων. Πρῶτος ὁ Ἀγαμέμνονος, Νέστορος καὶ Ὀδυσσέως, Δεύτερος ὁ Μενελάου, Ἰδομενέως καὶ Αἴαντος Τελαμωνίου, Τρίτος ὁ Διομήδους, Μέγητος καὶ Αἴαντος τοῦ Λοκροῦ. Τίς οὐ διακρίνει ἐν αὐτοῖς τρεῖς βαθμοὺς φρονήσεως καὶ σημασίας ;

Συνελθόντων οὖν εἰς τὸν χῶρον τῶν φυλάκων εὑρίσκουσι πάντας ἐγρηγορότας, παραλαβόντες δὲ Μηριόνην καὶ Θρασυμήδην, ἀμφοτέρους ἡγεμόνας τῶν φυλάκων, διαβαίνουσι τὴν τάφρον καὶ βουλεύονται οὐχὶ μακρὰν τῶν πτωμάτων καὶ τοῦ χώρου ὅθεν Ἕκτωρ ἀπεχώρησεν ἐπελθούσης τῆς νυκτὸς (Κ. 198-201) (1). Ὁ Νέστωρ προτείνει ἐν τῇ Βουλῇ τὴν κατασκόπευσιν τοῦ Τρωϊκοῦ στρατοπέδου δι' ἣν Ὀδυσ-

(1) Ὡς καὶ ἀνωτέρω εἴπομεν ἡ Βουλὴ ἐγένετο περὶ τὸ Θ, ἄντικρυ τῶν κατὰ τὴν ἡμέραν πεσόντων νεκρῶν, πρὸς τὸ ἑσπέρας, περὶ τὸ Δ.

σεὺς καὶ Διομήδης ἐκλέγονται καὶ ὁπλισθέντες ἀναχωροῦσιν (Κ, 201-373). Ἡ Ἀθηνᾶ πέμπει αὐτοῖς κινηθεῖσι δεξιὸν οἰωνόν (1), ἐφ' ᾧ χαρέντες εὔχονται τῇ θεᾷ καὶ προβαίνουσι διὰ πτωμάτων, ὅπλων καὶ αἵματος.

» βὰν ρ ἴμεν, ὥστε λέοντε δύω διὰ νύκτα μέλαιναν,
» ἂμ φόνον, ἂν νέκυας, διὰ τ' ἔντεα καὶ μέλαν αἷμα (2).

Ἡ περιγραφὴ θαυμασίως χειραγωγεῖ ἡμᾶς· πρῶτον μὲν οἱ ἀρχηγοὶ ἔρχονται εἰς τοὺς φύλακας μεταξὺ τείχους καὶ Τάφρου· εἶτα διαβάντες τὴν τάφρον βουλεύονται ἄντικρυ τῶν πτωμάτων καὶ τῆς θέσεως ἀφ' ἧς ὁ Ἕκτωρ ἀπεσύρθη ἐπελθούσης τῆς νυκτός· νῦν δὲ Διομήδης καὶ Ὀδυσσεὺς ἀναχωροῦντες καὶ πορευόμενοι πρὸς τὰ ἄνω, βαίνουσιν εὐθὺς διὰ πτωμάτων, ὅπλων καὶ αἵματος.

(1) » Τοῖσι δὲ δεξιὸν ἧκεν ἐρωδιὸν ἐγγὺς ὁδοῖο
» Παλλὰς Ἀθηναίη· τοὶ δ' οὐκ ἴδον ὀφθαλμοῖσιν
» νύκτα δι' ὀρφναίην, ἀλλὰ κλάγξαντος ἄκουσαν
Κ, 274-

Ἐκ τοῦ οἰωνοῦ τούτου οὐ φανέντος ἕνεκα τῆς νυκτὸς ἀλλ' ἀκουσθέντος ὑπὸ Διομήδους καὶ Ὀδυσσέως πορευομένων ἀπὸ τοῦ Ἑλληνικοῦ Στρατοπέδου πρὸς τὰ ἄνω, ἤγουν ἀπὸ Ἄρκτου πρὸς Μεσημβρίαν, ἀποδείκνυται ὅτι οἱ οἰωνιζόμενοι οὐκ ἦσαν ἀεὶ πρὸς Ἄρκτου ἐστραμμένοι.

(2) Διομήδης καὶ Ὀδυσσεὺς ἀναχωροῦσιν ἀπὸ τοῦ Θ, ἡ δὲ γραμμὴ ΘΙΙ′ δεικνύει τὴν εἰς τὰ πρόσω πορείαν· περὶ τὸ Ι ἀπαντῶσι τῷ Δόλωνι· περὶ δὲ τὸ Ι′ φονεύουσι τὸν Ρῆσον.

Συγχρόνως ὁ Δόλων ἤρχετο ἀπὸ τοῦ Τρωϊκοῦ εἰς τὸ Ἑλληνικὸν Στρατόπεδον ἐπὶ κατασκόπευσιν· συλληφθεὶς δὲ ὑπὸ Διομήδους καὶ Ὀδυσσέως διηγεῖται ὅτι κατ' ἐκεῖνον τὸν χρόνον ὁ Ἕκτωρ ἐβουλεύετο παρὰ τῷ τάφῳ Ἴλου (1).

Μαθόντες δὲ πρὸς τοῖς ἄλλοις παρὰ Δόλωνος τὰς θέσεις τῶν ἐχθρῶν, φονεύουσιν αὐτὸν καὶ πορευθέντες ἔνθα οἱ Θρᾷκες ἦσαν ἐστρατοπεδευμένοι, φονεύουσι τὸν Ῥῆσον, λαμβάνουσι τοὺς ἵππους αὐτοῦ καὶ ἐπιστρέφουσιν εἰς τὸν τόπον ὅθεν ἀνεχώρησαν, εἰς Θ (2).

Ὁ Ὀδυσσεὺς διηγεῖται τὰς περιπετείας τῆς κατασκοπεύσεως, διαβαίνει τὴν τάφρον πρῶτος, μετὰ δ' αὐτὸν οἱ ἄλλοι. Ἀμφότεροι δ' ἀφιχθέντες εἰς τὰς σκηνὰς πλύνονται ἐν τῇ θαλάσσῃ καὶ δροσίζονται (Κ, 274-573). Ἄρα τὰ ἐν Ἰλιάδι διηγούμενα ἐν ὥρᾳ θέρους διαπράττονται, ὡς καὶ ἐν τοῖς προλεγομένοις εἴπομεν.

---

(1) Ἡ ἐρυθρὰ γραμμὴ ΖΗ δεικνύει τὴν πορείαν Ἕκτορος καὶ γερόντων ἀπὸ τοῦ αὐτῶν στρατοπέδου εἰς σῆμα Ἴλου.

(2) Ὁ Δόλων ἐξηγῶν τὰς τῶν Τρώων θέσεις λέγει, « πρὸς μὲν ἁλὸς Κᾶρες, Παίονες, . . . πρὸς δὲ Θύμβρης Λύκιοι, Μυσοί. . . . ». Ὡς σημειῶ ἐπὶ τοῦ Πίνακος Β (ἑκατέρωθεν τοῦ Τρωϊκοῦ στρατοπέδου), ἡ ἔκφρασις « πρὸς ἁλὸς » τὰ πρὸς τὸ Αἰγαῖον, ἢ τὰς πρὸς Δυσμὰς τοῦ Τρωϊκοῦ στρατοπέδου αἰνίττεται, ἡ δὲ « πρὸς Θύμβρης » τα πρὸς Ἀνατολάς, τὰ πρὸς τὰ μεσόγαια.

ΤΡΙΤΗ ΜΑΧΗ

Ἡ τῆς Τρίτης Μάχης περιγραφὴ ἄρχεται ἀπὸ τοῦ πρώτου στίχου τῆς Ραψῳδίας Λ. καὶ λήγει εἰς τὸν 242ον στίχον τῆς Ραψῳδίας Σ.

» Ἠέλιος μὲν ἔδυ, παύσαντο δὲ δῖοι Ἀχαιοὶ
» φυλόπιδος κρατερῆς καὶ ὁμοιΐου πολέμοιο ».

Παρελθούσης οὖν τῆς νυκτὸς ἐν ᾗ τοσαῦτα ἐγένοντο ἐν ἀμφοτέροις τοῖς στρατοπέδοις, ἡ Ἠὼς ἀναφαίνεται, οἱ δύω στρατοὶ παρασκευάζονται καὶ οἱ μὲν Ἕλληνες, πεζοὶ διαβάντες τὴν Τάφρον παρατάττονται, ἐλθόντων δὲ καὶ τῶν ἁρμάτων προχωροῦσι πρὸς τὸ πεδίον. Οἱ δὲ Τρῶες ὁμοίως προβαίνουσι κατὰ τῶν Ἑλλήνων ἀπὸ τοῦ νυκτερινοῦ αὐτῶν στρατοπέδου (Λ, 1-83). Ἡ συνέντευξις ἄρα ἐγένετο περὶ τὰ μέσα τοῦ μεταξὺ Τάφρου καὶ Τρωϊκοῦ στρατοπέδου διαστήματος (1).

(1) Ἐπὶ τοῦ Πίνακος Β σημειοῦται ἡ συνάντησις καὶ ἡ ἀρχὴ τῆς Τρίτης Μάχης περὶ τὸ Κ. Ἡ δὲ γραμμὴ ΚΛΛ′ δεικνύει τὴν Ἑλλήνων καὶ Ἀγαμέμνονος πρόοδον. Τρωθέντος δ' Ἀγαμέμνονος περὶ τὸ Λ′, οἱ Ἕλληνες ὑποχωροῦσι μέχρι τῶν πλοίων, διατρέχοντες τὴν γραμμὴν Λ′ΜΜ′. Κατὰ τὸ Μ οἱ Ἕλληνες ἀντέστησαν ἐπί τινα χρόνον. Κατὰ δὲ τὸ Μ′ οἱ Τρῶες διαιρεθέντες εἰς πέντε Σώματα διαβαίνουσι τὴν Τάφρον. Ἡ ἐρυθρὰ τεθλασμένη γραμμὴ Μ′Μ″ δεικνύει τὴν ἐπ' ἀριστερὰ τοῦ Ἑλληνικοῦ Στρατοπέ-

Καὶ ἐπί τινα μὲν χρόνον ἡ μάχη ἦν ἀμφιρρεπής, περὶ δὲ τὴν ὀγδόην τῆς πρωίας (1), οἱ Ἕλληνες διασπῶσι τὰς ἐχθρικὰς φάλαγγας· ὁ Ἀγαμέμνων φονεύει τὸν Βιήνορα καὶ Ὀϊλῆα, τὸν Ἶσον καὶ Ἄντιφον, τὸν Πείσανδρον καὶ Ἱππόλοχον (Λ, 84-162). Ὁ Ἕκτωρ καὶ οἱ Τρῶες ὀπισθοδρομοῦσι καὶ φεύγουσι διὰ μέσου τοῦ πεδίου παρὰ τὸν τάφον Ἴλου καὶ παρὰ τὸν Ἐρινεὸν μέχρι Σκαιῶν Πυλῶν ἔνθα ἵστανται καὶ ἀναμένουσι τοὺς βραδυποροῦντας.

δου διεύθυνσιν Ἀσίου Ὑρτακίδου καὶ τῶν τριῶν ἐκ τῶν πέντε Σωμάτων. Ἡ δ' ἑτέρα ἐρυθρὰ καὶ τεθλασμένη γραμμὴ Μ'Μ''' δεικνύει τὴν ἐπὶ τὰ δεξιὰ πορείαν τῶν ἑτέρων δύο Σωμάτων Ἕκτορος καὶ Λυκίων. Ἡ γραμμὴ Μ'''Ο ἐμφαίνει τὴν ὀπισθοδρόμησιν τῶν Τρώων τρωθέντος τοῦ Ἕκτορος. ἡ δ' ἐρυθρὰ γραμμὴ ΟΞ τὴν εἰς Σκάμανδρον μεταφορὰν Ἕκτορος· ἡ δὲ ΞΟ τὴν εἰς τὴν μάχην ἐπάνοδον αὐτοῦ. Ἡ γραμμὴ ΟΟ' δεικνύει τὴν μέχρι τῶν πλοίων πρόοδον τῶν Τρώων· ἡ δὲ Ο'Ο''Ο'''Π'Π'' τὴν μέχρι πόλεως ὀπισθοπόρησιν αὐτῶν. Κατὰ τὸ Π'' φονεύεται Πάτροκλος καὶ μάχη πεισματώδης γίνεται. Ἡ δὲ γραμμὴ Π''Π'''Π'''' δεικνύει τὴν μετὰ κινδύνων ὀπισθοπόρησιν τῶν Ἑλλήνων. Ἡ δ' ἐρυθρὰ γραμμὴ Π''''Ζ' τὴν τελευταίαν τῶν Τρώων ὑποχώρησιν.

Οἱ εἰς τὴν Τρίτην Μάχην ἀναγόμενοι στίχοι φέρουσι πρὸ αὐτῶν ἕνα αστερίσκον *.

(1) » Ἦμος δὲ δρυτόμος περ ἀνὴρ ὡπλίσσατο δεῖπνον
» οὔρεος ἐν βήσσῃσιν, ἐπεί τ' ἐκορέσσατο χεῖρας
» τάμνων δένδρεα μακρά, ἅδος τέ μιν ἵκετο θυμόν ».

Λ, 86.

Τὴν οὕτω περιγραφομένην ὥραν λέγω ὀγδόην εἶναι, ἔτι καὶ νῦν τῶν ἐργατῶν περὶ τὴν αὐτὴν γευομένων τὸ πρῶτον γεῦμα ἐν Ἑλλάδι.

» Οἱ δὲ παρ' Ἴλου σῆμα παλαιοῦ Δαρδανίδαο
» μέσσον κὰπ πεδίον παρ' Ἐρινεὸν ἐσσεύοντο,
» ἱέμενοι πόλιος· ὁ δὲ κεκληγὼς ἕπετ' αἰεὶ,
» Ἀτρείδης, λύθρῳ δὲ παλάσσετο χεῖρας ἀάπτους.
» Ἀλλ' ὅτε δὴ Σκαιάς τε πύλας καὶ φηγὸν ἵκοντο,
» ἔνθ' ἄρα δὴ ἵσταντο καὶ ἀλλήλους ἀνέμιμνον » (1).

Ὁ Ἀγαμέμνων φονεύει τὸν Ἰφιδάμαντα καὶ τὸν Κόωνα ὑφ' οὗ τιτρώσκεται κατὰ τὴν χεῖρα· ἀναχωρεῖ δὲ εἰς τὰ πλοῖα, τῆς πληγῆς ἐνοχλούσης αὐτόν (Λ, 163-274. Ἀναχωρήσαντος τοῦ Ἀγαμέμνονος, ὁ Ἕκτωρ ἐπιτίθεται κατὰ τῶν Ἀχαιῶν καὶ φονεύει τὸν Ἀσαῖον, τὸν Ἀντίνοον, Ὀπίτην, Δόλοπα, Ὀφέλτιον, Ἀγέλαον, Αἴσυμνον, Ὧρον, Ἱππόνοον καὶ πολλοὺς ἐκ τοῦ πλήθους. Ὁ Διομήδης μετὰ τοῦ Ὀδυσσέως ἀνθίστανται καὶ φονεύουσιν ὁ μὲν τὸν Θυμβραῖον, ὁ δὲ τὸν Μολίονα, οἱ δ' Ἕλληνες ὑποχωροῦσιν ἐν ἀνέσει (2). Ὁ Διομήδης φονεύει πρὸς τοῖς ἄλλοις δύο υἱοὺς τοῦ Μέροπος, Ὀδυσσεὺς δὲ τὸν Ἱππόδαμον καὶ Ὑπείροχον· ὁ Διομήδης φονεύει προσέτι τὸν Ἀγάστροφον καὶ τιτρώσκει τὸν Ἕκτορα

(1) Τὴν ὑποχώρησιν τῶν Τρώων διωκομένων ὑπ' Ἀγαμέμνονος δεικνύει ἡ γραμμὴ ΚΛΛ' ἀρχομένη ἀπὸ τοῦ Κ ἔνθα, ὡς εἴπομεν, ἐγένετο ἡ συνέντευξις καὶ λήγουσα πρὸ τοῦ Ἰλίου, περὶ τὸ Λ'. Ἐπὶ τῆς γραμμῆς ταύτης γράφωμεν ἐκ τῶν ἄνω στίχων τοὺς ὁρίζοντας τὰς θέσεις τοῦ τάφου τοῦ Ἴλου καὶ τοῦ Ἐρινεοῦ.

(2) Λ, 275-327. Οἱ Ἕλληνες ὑποχωροῦσι μέχρι τοῦ Μ ἔνθα γίνεται μάχη σπουδαία.

δστις ἐπὶ δίφρου σώζεται φυγὼν πρὸς τ' ἀριστερὰ τῆς μάχης (1). Ὁ Ποιητὴς ἐνταῦθα μὲν λέγει μόνον « ὁ Ἕκτωρ ἔφυγεν ἐπὶ δίφρου καὶ ἐσώθη ».

» τόφρ' Ἕκτωρ ἄμπνυτο καὶ ἂψ ἐς δίφρον ὀρούσας
» ἐξέλασ' εἰς πληθὺν καὶ ἀλεύατο κῆρα μέλαιναν ».
Λ, 359.

Ἐπειδὴ δὲ μετ' οὐ πολὺ βλέπομεν αὐτὸν μαχόμενον ἐπ' ἀριστερά, παρὰ τὰς ὄχθας Σκαμάνδρου (Λ, 497-), συμπεραίνομεν ὅτι ἐκεῖσε μετέβη.

Μετὰ δὲ τὴν ἀναχώρησιν τοῦ τρωθέντος Ἕκτορος, Ἀλέξανδρος κεκρυμμένος ὄπισθεν τῆς στήλης τοῦ τάφου τοῦ Ἴλου τιτρώσκει διὰ βέλους τὸν Διομήδη ὅστις φεύγει εἰς τὰ πλοῖα (2). Ὁ Ὀδυσσεὺς μείνας μόνος τιτρώσκει τὸν Δηϊοπύτην, εἶτα φονεύει τὸν Θόωνα, Ἔννομον, Χερσιδάμαντα καὶ τοὺς ἀδελφοὺς Χάροπα καὶ Σῶκον ὑφ' οὗ τιτρώσκεται καὶ αὐτός. Οἱ Τρῶες τότε ὁρμῶσι κατὰ Ὀδυσσέως ὃν σώζουσι Μενέλαος καὶ Τελαμώνιος Αἴας (Λ, 401-488).

Οἱ Ἕλληνες ὀπισθοδρόμουν πολεμοῦντες δι' ὃ καὶ εὐ-

(1) Τῆς μάχης γινομένης περὶ τὸ Μ τὸ μὲν δεξιὸν τῶν Ἑλλήνων κέρας, ἢ τὰ δεξιὰ τῆς μάχης, ἦν πρὸς τὸ Σῆμα Ἴλου, τὸ δ' ἀριστερόν, ἢ τ' ἀριστερὰ τῆς μάχης, πρὸς τὴν κοίτην Σκαμάνδρου, τὴν σχεδὸν καθέτως πίπτουσαν ἐπὶ τῆς περὶ τὰ μέσα καμπῆς, τοῦ γνωστοῦ πόρου.

(2) Λ, 369-400. Ὡς δ' εὐθὺς φανήσεται, ὁ Ἀλέξανδρος τοξεύσας κατὰ Διομήδους ὄπισθεν τῆς στήλης, ἀνεχώρησε καὶ μετέβη εἰς τ' ἀριστερὰ τῆς μάχης ἑπόμενος Ἕκτορι.

ρίσκονται ἔτι πέραν τοῦ Σκαμάνδρου, ἔχοντες ἐπὶ μὲν τὰ δεξιὰ τὸ Ἴλου σῆμα, ὅθεν Ἀλέξανδρος ἐτόξευσε κατὰ Διομήδους· ἐνταῦθα πρὸ μικροῦ ἐτρώθη Ἕκτωρ· ἐνταῦθα μάχεται Ὀδυσσεύς· ἐνταῦθα ἔρχονται βοηθήσοντες αὐτῷ Μενέλαος καὶ Αἴας ὁ Τελαμῶνος. Τὸ δὲ ἀριστερὸν τῶν Ἑλλήνων κέρας ἦν πρὸς τὸν Σκάμανδρον· ἐκεῖ μάχονται Νέστωρ, Ἰδομενεύς, Μαχάων καὶ ἀνθίστανται πρὸς τὸν Ἕκτορα ἐλθόντα ἐκεῖσε ἀπὸ τοῦ δεξιοῦ Κέρατος (1).

Ὁ μὲν οὖν Τελαμώνιος Αἴας ἐλθὼν πρὸς βοήθειαν Ὀδυσσέως ἐπὶ τὸ δεξιὸν Κέρας, θριαμβεύει φονεύσας τὸν Δόρυκλον, εἶτα τιτρώσκων τὸν Πάνδοκον, Λύσανδρον, Πύρασον καὶ Πυλάρτην. Ἕκτωρ δὲ πολεμῶν ἐπὶ τὸ ἀριστερὸν Κέρας κατὰ Νέστορος καὶ Ἰδομενέως ἠγνόει τὰ Αἴαντος ἀνδραγαθήματα.

« Ὣς ἔφεπε κλονέων πεδίον τότε φαίδιμος Αἴας
» δαΐζων ἵππους τε καὶ ἀνέρας· οὐδέ πω Ἕκτωρ
» πεύθετ', ἐπεί ρα μάχης ἐπ' ἀριστερὰ μάρνατο πάσης
» ὄχθας παρ ποταμοῖο Σκαμάνδρου· τῇ ρα μάλιστα
» ἀνδρῶν πίπτε κάρηνα, βοὴ δ' ἄσβεστος ὀρώρει,
» Νέστορα τ' ἀμφὶ μέγαν καὶ Ἀρήϊον Ἰδομενῆα ».

Λ, 497-. (2)

(1) Ἐπὶ τοῦ Πίνακος Β, σημειοῦμεν τὴν μερικὴν ταύτην μάχην περὶ τὸ Μ, παρατάττοντες τοὺς δύο στρατούς. Ἀλλὰ τὰ στενὰ ὅρια τοῦ Πίνακος οὐκ ἐπιτρέπει καὶ τὴν σημείωσιν πάντων τῶν ἑλιγμῶν. Ἐφαρμοσάτω οὖν αὐτοὺς ὁ ἀναγνώστης προσέχων τῷ Ποιητῇ. Γράφομεν δὲ μόνον τὰ ὀνόματα Μαχάονος καὶ Εὐρυπύλου, τοῦ μὲν μαχομένου καὶ τρωθέντος κατὰ τὸ ἀριστερὸν Κέρας, τοῦ δ' Εὐρυπύλου κατὰ τὸ δεξιόν.

(2) Παρὰ τὸν Σκάμανδρον, ἔνθα νῦν τὸ ἀριστερὸν τῶν Ἑλλήνων κέρας, γράφομεν τοὺς στίχους * « μάχης ἐπ' ἀριστερά. . . . ὄχθας πὰρ ποταμοῖο Σκαμάνδρου » δεικνύοντας τὴν Ἕκτορος θέσιν.

Καὶ κατὰ τὸ ἀριστερὸν δὲ κέρας οἱ Ἕλληνες ἀνθίσταντο μετ' ἐπιτυχίας κατὰ Ἕκτορος, ἀλλὰ τρωθέντος Μαχάονος ὑπ' Ἀλεξάνδρου, ὑποχωροῦσιν·

« οὐδ' ἂν πω χάζοντο κελεύθου δῖοι Ἀχαιοὶ
» εἰ μὴ Ἀλέξανδρος Ἑλένης πόσις ἠϋκόμοιο
» παῦσεν ἀριστεύοντα Μαχάονα ».

Λ, 504.-

Ὁ Ἀλέξανδρος ἄρα τοξεύσας κατὰ Διομήδους ἀπὸ τῆς στήλης τοῦ τάφου τοῦ Ἴλου, μετέβη εἰς τὸ ἀριστερὸν Κέρας ἑπόμενος Ἕκτορι καὶ τοξεύει κατὰ Μαχάονος.

Ὁ Νέστωρ λαμβάνει τὸν Μαχάονα ἐπὶ τοῦ δίφρου καὶ φεύγει εἰς τὰ πλοῖα (Λ. 505-520) (1). Ὑποχωρησάντων δὲ τῶν Ἑλλήνων κατὰ τὸ ἀριστερὸν Κέρας, ὁ Ἕκτωρ προτροπῇ Κεβριόνου μεταβαίνει εἰς τὸ δεξιόν, ἔνθα Αἴας ὁ Τελαμῶνος ἐθριάμβευεν·

« Ἕκτωρ, νῶϊ μὲν ἐνθάδ' ὁμιλέομεν Δαναοῖσιν,
» ἐσχατιῇ πολέμοιο δυσηχέος· οἱ δὲ δὴ ἄλλοι
» Τρῶες ὀρίνονται ἐπιμὶξ ἵπποι τε καὶ αὐτοί.
» Αἴας δὲ κλονέει Τελαμώνιος· εὖ δέ μιν ἔγνων·
» εὐρὺ γὰρ ἀμφ' ὤμοισιν ἔχει σάκος· ἀλλὰ καὶ ἡμεῖς
» κεῖσ' ἵππους τε καὶ ἅρμ' ἰθύνομεν . . . »

Λ, 523-.

(1) Ἡ διὰ στιγμῶν γραμμὴ ΝΝ′ δεικνύει τὴν πορείαν Νέστορος ἐκφέροντος τὸν Μαχάονα.

Συγκεντρωθέντων οὖν πάντων τῶν Τρώων κατὰ τὸ δεξιὸν Κέρας, ὁ Τελαμώνιος Αἴας, καίτοι ἀνδρείως πολεμῶν, ὑποχωρεῖ (531-574). Εὐρύπυλος δέ, ὁρῶν τὸν Αἴαντα πιεζόμενον, βοηθεῖ αὐτῷ, ἀλλὰ τρωθεὶς τὸν μηρὸν ὑπ' Ἀλεξάνδρου, ἀναχωρεῖ (Λ, 575-586).

Τούτων οὕτως ἐνταῦθα μαχομένων, αἱ Νέστορος ἵπποι ἔφερον εἰς τὴν σκηνὴν τοῦ ἡδυεποῦς γέροντος τὸν Μαχάονα. Ἀχιλλεὺς δὲ ἱστάμενος ἐπὶ τῆς πρύμνης τῆς ἑαυτοῦ νηὸς βλέπει τὸ ἅρμα Νέστορος καὶ τὸν ἐπὶ τοῦ ἅρματος βεβλημένον, οὗ μόνον τὰ ὀπίσθια ἰδών, ἕνεκα τῆς τῶν ἵππων ταχείας παρελάσεως, εἰκάζει εἶναι Μαχάονα (1). Κράζει δ' εὐθὺς καὶ πέμπει Πάτροκλον εἰς Νέστορος ἵνα βεβαιωθῇ τίς ὁ βεβλημένος (2).

Ἐάσαντες οὖν τὸν Πάτροκλον θέειν εἰς Νέστορος, προσέξωμεν τοῖς ὑπὸ Ὁμήρου λεγομένοις. Ὁ Ἀχιλλεὺς πέμπων Πάτροκλον εἰς Νέστορος εἶπεν « τὰ μὲν ὀπίσθια τοῦ ἐκφερομένου ἀνδρὸς ὡμοίαζον τῷ Μαχάονι, ἀλλ' οὐκ εἶδον τὸ πρόσωπον αὐτοῦ ἕνεκα τῆς εἰς τὰ πρόσω παρεκδρομῆς τῶν ἵππων ».

(1) Ἡ Ἀχιλλέως ναῦς, ὡς καὶ αἱ τῶν πλειόνων ἀρχηγῶν, ἐπὶ τῆς πρώτης πρὸς τὸ πεδίον ἦν σειρᾶς.

(2) Προσεχέτω ὁ ἀναγνώστης τῇ πορείᾳ Πατρόκλου ἵνα πεισθῇ ὅτι ὁ συγγράψας τὸν Κατάλογον συνέγραψε καὶ τὴν μάχην ταύτην, ἐφαρμόζων τὰς κινήσεις τῶν πολεμούντων ἐπὶ τοῦ Ἑλληνικοῦ Στρατοπέδου ἤτοι ἐπὶ τοῦ Καταλόγου.

« ἦτοι μὲν τά γ' ὄπισθε Μαχάονι πάντα ἔοικεν
» τῷ Ἀσκληπιάδι ἀτὰρ οὐκ ἴδον ὄμματα φωτός
» ἵπποι γάρ με παρήιξαν πρόσω μεμαυῖαι ».

Λ, 613-.

Ἐκ τῶν λόγων τούτων δῆλον γίγνεται ὅτι ὁ Νέστωρ φέρων τὸν Μαχάονα ἀπὸ τοῦ πεδίου τῆς μάχης εἰς τὴν ἑαυτοῦ σκηνήν, διέτρεξε γραμμὴν καμπύλην, ὅτε διέβαινεν ἄντικρυ τῆς Ἀχιλλέως νηός· ὄντως δὲ τοῦτο ἔδει συμβῆναι, τοῦ Νέστορος εἰσελθόντος εἰς τὸ Ἑλληνικὸν Στρατόπεδον κατὰ τὸ ἀριστερὸν Κέρας, διὰ τῶν πυλῶν τῶν ἀναπεπταμένων ἐν τῇ ἐνεστώσῃ μάχῃ ὅπως σώζοιντο οἱ ἀπὸ τοῦ πεδίου φεύγοντες Ἕλληνες. Δι' αὐτῶν μετ' οὐ πολὺ εἰσελάσει ἐφ' ἅρματος ὁ ἄφρων Ἄσιος Ὑρτακίδης·

« Εἴσατο γὰρ νηῶν ἐπ' ἀριστερά, τῇ περ Ἀχαιοὶ
» ἐκ πεδίου νίσσοντο σὺν ἵπποισιν καὶ ὄχεσφιν·
» τῇ ῥ' ἵππους τε καὶ ἅρμα διήλασεν, οὐδὲ πύλῃσιν
» εὗρ' ἐπικεκλιμένας σανίδας καὶ μακρὸν ὀχῆα·
» ἀλλ' ἀναπεπταμένας ἔχον ἀνέρες εἴ τιν' ἑταίρων
» ἐκ πολέμου φεύγοντα σαώσειαν μετὰ νῆας ».

M, 118-123.

Φαίνονται δὲ καὶ ἐκ τῶν ἑξῆς ἥ τε ἀλήθεια τῶν Ἀχιλλέως λόγων καὶ τὸ ζωηρὸν τῆς εἰκόνος. Ὁ Νέστωρ ἡνιοχῶν ἐκάθητο, ὡς εἰκός, ἐπὶ τὰ δεξιὰ τοῦ Μαχάονος·

ἕνεκα δὲ τούτου, κατὰ τὴν διατρεχομένην ἀπὸ τοῦ πεδίου πρὸς τὸ Ἑλληνικὸν Στρατόπεδον γραμμὴν ὑπὸ τοῦ ἅρματος, ὁ Νέστωρ ἐκώλυε τὸν Ἀχιλλέα τοῦ ἰδεῖν τὸν Μαχάονα· ὁ Πηλείδης ἔϐλεπε μὲν τὰ πλάγια τοῦ Νέστορος οὐχὶ δὲ καὶ τοῦ Μαχάονος ὡς καλυπτομένου ὑπὸ τοῦ σώματος τοῦ Νέστορος. Εἰσελθόντος δὲ τοῦ ἅρματος εἰς τὸ Ἑλληνικὸν Στρατόπεδον καὶ πρὸς τὰ δεξιὰ στραφέντος (1), τότε ἀμφότεροι τὰ ὀπίσθια μόνον ἐδείκνυον τῷ Ἀχιλλεῖ, ὥστε ἀληθῶς τὸν μὲν Νέστορα, κατερχομένου τοῦ ἅρματος ἀπὸ τοῦ πεδίου, ἔϐλεπε πλαγίως καὶ ὀλίγον κατὰ πρόσωπον, τοῦ δὲ Μαχάονος,μόνον τὰ ὀπίσθια εἶδε μετὰ τὴν στροφὴν τοῦ ἅρματος.

Ἐν τούτοις Πάτροκλος τρέχων παρὰ τὰς σκηνὰς καὶ τὰς νῆας ἀφικνεῖται εἰς τὴν Νέστορος σκηνὴν (Λ, 616-644), βλέπει τὸν Μαχάονα τετρωμένον· ἀκούσας δὲ παρὰ Νέστορος ὅτι καὶ Διομήδης, Ὀδυσσεὺς καὶ Ἀγαμέμνων ἦσαν βεϐλημένοι (Λ, 645 - 664) (2), ἀναχωρεῖ· ἀφιχθεὶς δὲ εἰς τὸ Κέντρον τοῦ Ἑλληνικοῦ Στρατοπέδου ἀπαντᾷ τῷ καταιματωμένῳ Εὐρυπύλῳ, ὃν φέρει εἰς τὴν

(1) Ὁ Νέστωρ διατρέχει τὴν ἐστιγμένην γραμμὴν ΝΝ′. Τὸ ἅρμα οὖν εἰσελθὸν διὰ τῶν πυλῶν τοῦ πύργου, ἐστράφη πρὸς τὸ δεξιὸν Κέρας τοῦ Ἑλληνικοῦ Στρατοπέδου ὅπως ἀφιχθῇ εἰς τὸ Πυλίων Σῶμα, ὃν 11ον.

(2) Ὁ στίχος 662ος «βέϐληται δὲ καὶ Εὐρύπυλος . . . . ὀρθῶς ὀβελίζεται καὶ θαυμάζω πῶς ἔμεινεν ἐν Ἰλιάδι μέχρι τοῦδε. Ὁ Νέστωρ ἠγνόει τὸ τραῦμα τοῦ Εὐρυπύλου, συμϐὰν μετὰ τὴν ἀναχώρησιν τοῦ γηραιοῦ ἀπὸ τῆς μάχης. Ὁ Ἀλέξανδρος ἔϐαλε πρῶτον τὸν Μαχάονα ἐπ' ἀριστερὰ τῆς μάχης, εἶτα μεταϐὰς ἐπὶ τὰ δεξιὰ ἐπλήγωσε τὸν Εὐρύπυλον, ὃν Πάτροκλος ἐπιστρέ-

αὐτοῦ σκηνὴν (Σῶμα 26ον) καὶ μένει θεραπεύων τὸ τραῦμα, μέχρις οὗ οἱ Τρῶες προσέβαλον καὶ εἰσῆλθον ἐντὸς τοῦ Τείχους (Λ, 644 - Ο, 405). Ἀλλὰ διατὶ Πάτροκλος, ὁ μηδὲ καθεσθεὶς ἐν τῇ σκηνῇ Νέστορος ὅπως τάχιον ἐπανέλθῃ εἰς Ἀχιλλέως, χρονοτριβεῖ τόσον παρ' Εὐρυπύλῳ; Ἡ οἰκτρὰ θέα καὶ αἱ παρακλήσεις τοῦ βεβλημένου δικαιολογοῦσι τὸν Πάτροκλον, ὄντα καὶ περὶ τὰς πληγὰς ἔμπειρον· «σῶσον με, λέγει πρὸς αὐτὸν ὁ Εὐρύπυλος, φέρε με εἰς τὸ πλεῖον μου καὶ ἰάτρευσον τὴν πληγήν μου· ἐκ γὰρ τῶν ἰατρῶν, Μαχάονος καὶ Ποδαλειρίου, ὁ μὲν ἔχει καὶ αὐτὸς ἀνάγκην ἰατροῦ, ὁ δὲ Ποδαλείριος μάχεται» (1). Ἀλλ' ἐπανέλθωμεν εἰς τὴν μάχην ἐάσαντες τὸν Πάτροκλον θεραπεύειν τὴν Εὐρυπύλου πληγήν.

φων ἀπὸ Νέστορος εἰς Ἀχιλλέως, εὗρε κακῶς ἔχοντα παρὰ ταῖς ναυσὶν Ὀδυσσέως. Ὁ μὲν οὖν Πάτροκλος ὀρθῶς λέγει τῷ Ἀχιλλεῖ

« βέβληται μὲν ὁ Τυδείδης κρατερὸς Διομήδης·
» οὔτασται δ' Ὀδυσσεὺς δουρικλυτὸς ἠδ' Ἀγαμέμνων
» βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀϊστῷ ».

Π, 24-.

Καὶ περὶ μὲν τῶν τριῶν πρώτων ἀκούσας παρὰ Νέστορος ὡς ἁπλῶς τραυματισθέντων, οὐδὲν προστίθησιν ὁ Πάτροκλος, τὸν δ' Εὐρύπυλον αὐτοῖς ὄμμασιν ἰδών, λεπτολογεῖ περὶ τὸ τραῦμα. Οἱ δ' ἀμαθεῖς ἀντιγραφεῖς, εὑρόντες ἐνταῦθα τὸν περὶ Εὐρυπύλου στίχον, ἐνόμισαν προσθετέον εἶναι καὶ ἐν τοῖς ἄνω (Λ, 660 - 662),, ἀγνοοῦντες ὅτι ἐποίουν τὸν Νέστορα εἰπεῖν περὶ πράξεως ἀγνώστου ἔτι αὐτῷ.

(1) Λ, 810 - 848. Οἱ ἰατροὶ ὧν μνημονεύει Εὐρύπυλος, ὄντες ἀρχηγοὶ τοῦ 25ου Σώματος, παρέκειντο τῷ Εὐρυπύλῳ ἀρχηγῷ τοῦ 26ου. Ἐγίγνωσκε δ' ὁ Εὐρύπυλος τὸ Μαχάονος τραῦμα ὡς μετ' ἐκεῖνον πληγείς. Καὶ ἡ ἀπουσία τοίνυν τῶν ἰατρῶν ἠνάγκαζε τὸν Πάτροκλον ἐπιμεληθῆναι τοῦ Εὐρυπύλου.

Τῶν Τρώων ἀπωθησάντων τοὺς Ἕλληνας μέχρι τῆς Τάφρου, ὁ θρασὺς Ἕκτωρ ἐποτρύνει διαβῆναι αὐτὴν ἐφ' ἁρμάτων· ἀλλ' ὁ φρόνιμος Πολυδάμας συμβουλεύει τοῖς Τρωσὶ πεζῇ ποιήσασθαι τὴν διάβασιν, εὐθὺς δὲ πάντες πεισθέντες Πολυδάμαντι πηδῶσιν ἀπὸ τῶν ἁρμάτων καὶ διαιροῦνται εἰς πέντε Σώματα (Μ, 1-87). Καὶ τοῦ μὲν πρώτου τῶν πέντε σωμάτων ἡγεμόνες ἦσαν, Ἕκτωρ, Πολυδάμας καὶ Κεβριόνης (1)· τοῦ δευτέρου, Πάρις, Ἀλκάθοος καὶ Ἀγήνωρ· τοῦ τρίτου, Ἕλενος, Δηΐφοβος καὶ Ἄσιος Ὑρτακίδης· τοῦ τετάρτου, Αἰνείας, Ἀρχέλοχος καὶ Ἀκάμας· τοῦ πέμπτου, Σαρπηδών, Γλαῦκος καὶ Ἀστεροπαῖος (Μ, 88-104) (2).

Ὁ Ποιητὴς παρακολουθῶν τοῖς πέντε Σώμασι λέγει τοὺς μὲν ἄλλους Τρῶας καὶ συμμάχους, πεισθέντας τῷ Πολυδάμαντι, ἐᾶσαι ἐκτὸς τῆς Τάφρου τὰ ἅρματα μετὰ τῶν ἡνιόχων, τὸν δὲ Ἄσιον Ὑρτακίδην διαβῆναι τὴν Τάφρον ἐφ' ἅρματος καὶ πορευθέντα ἐπ' ἀριστερὰ τῶν νηῶν φονευθῆναι ὑπὸ Ἰδομενέως·

(1) Ἀντὶ δὲ Κεβριόνου Ἕκτωρ ἀφῆκεν ἕτερον ἡνίοχον τῷ ἑαυτοῦ ἅρματι·

« καὶ σφιν Κεβριόνης τρίτος εἵπετο· πὰρ δ' ἄρ ὄχεσφιν
» ἄλλον Κεβριόναο χερείονα, κάλλιπεν Ἕκτωρ ». Μ, 91-.

Ταῦτα πρὸς τοὺς λέγοντας ὑπνώττειν ἐνίοτε τὸν Ὅμηρον.

(2) Ἡ γραμμὴ ΜΜ' δεικνύει τὴν ὀπισθοπόρησιν τῶν Ἑλλήνων. Κατὰ δὲ τὸ Μ' οἱ Τρῶες διαιροῦνται εἰς πέντε Σώματα.

« πρόσθεν γάρ μιν Μοῖρα δυσώνυμος ἀμφεκάλυψεν
» ἔγχεϊ Ἰδομενῆος ἀγαυοῦ Δευκαλίδαο·
» Εἴσατο γὰρ νηῶν ἐπ' ἀριστερά ».

M. 116-. (1)

Προδιηγεῖται οὖν ἐνταῦθα Ὅμηρος τὸν θάνατον τοῦ Ἀσίου φονευομένου μετ' οὐ πολὺ ὑπὸ Ἰδομενέως ἐπὶ τὸ ἀριστερὸν Κέρας τοῦ Ἑλληνικοῦ Στρατοπέδου, ἢ μᾶλλον ἐπὶ τὸ ἀριστερὸν τοῦ προσβαλλομένου μέρους τοῦ Στρατοπέδου (Ν, 384-391). Προσβαλλόμενον δὲ μέρος ἐν τῷ παρόντι ἐστὶ τὸ ἀπὸ τοῦ 1ου Σώματος τῶν Βοιωτῶν μέχρι τοῦ 18ου ἢ 19ου Σώματος· τὸ γὰρ πέραν τούτων οὐ προσέβαλλον οἱ Τρῶες φοβούμενοι τὸν Ἀχιλλέα ὃς οὐχὶ μετ' ἀδιαφορίας ἔβλεπε πρὸ πολλοῦ τὰ τῆς μάχης ἀπὸ τῆς πρύμνης τῆς ἑαυτοῦ νηός.

Οἱ μὲν οὖν περὶ τὸν Ἄσιον διαβάντες πρῶτοι τὴν Τάφρον καὶ προχωρήσαντες ἐπ' ἀριστερὰ τῶν πλοίων, ἀφικνοῦνται εἰς τὸ Τεῖχος. Πολυποίτης δὲ καὶ Λεοντεύς, ἱστάμενοι πρὸ τῶν πυλῶν τοῦ πύργου πρὸς ὃν Ἄσιος ἐπορεύθη, ἀνθίστανται, καὶ Πολυποίτης μὲν φονεύει τὸν Δάμασσον, Πύλωνα καὶ Ὄρμενον, Λεοντεὺς δὲ τὸν Ἱπ-

(1) Ἡ Ἀσίου Ὑρτακίδου πορεία σημειοῦται διὰ τῆς ἐρυθρᾶς γραμμῆς τῆς ἀρχομένης πρὸ τῆς Τάφρου κατὰ τὸ Μ', θλωμένης δὲ κατὰ τὰς πύλας, ἃς Λεοντεὺς καὶ Πολυποίτης ἐφύλασσον, καὶ ληγούσης εἰς Μ''.

πόμαχον, Ἀντιφάτην, Μένωνα, Ἰαμενὸν καὶ Ὀρέστην. (Μ, 119-132) (1).

Τούτων οὕτως ἐπ' ἀριστερὰ μαχομένων, Ἕκτωρ καὶ Πολυδάμας ἐλθόντες πρὸς τὸ δεξιὸν Κέρας τοῦ Ἑλληνικοῦ Στρατοπέδου παρασκευάζονται διαβῆναι τὴν Τάφρον, ἀλλ' ἀετὸς πετάσας ἐπ' ἀριστερὰ τῶν Τρώων ἐμποδίζει ἐπὶ σμικρὸν τὴν διάβασιν·

« ὄρνις γάρ σφιν ἐπῆλθε, περησέμεναι μεμαῶσιν,
» αἰετὸς ὑψιπέτης ἐπ' ἀριστερὰ λαὸν ἐέργων ».
Μ, 200-.

Καὶ Πολυδάμας μὲν ἀπαίσιον κρίνων τὸν οἰωνὸν συμβουλεύει μὴ διαβῆναι τὴν Τάφρον, Ἕκτωρ δ' ἐπιπλήττει τὸν Πολυδάμαντα, ἀδιαφορῶ, λέγει, περὶ οἰωνῶν εἴτ' ἐπὶ δεξιὰ πορεύονται πρὸς Ἀνατολάς, εἴτ' ἐπ' ἀριστερὰ πρὸς Δυσμάς·

« Εἴτ' ἐπὶ δεξ' ἴωσι πρὸς Ἠῶ τ' ἠέλιόν τε,
» Εἴτ' ἐπ' ἀριστερὰ τοίγε ποτὶ ζόφον ἠερέεντα ».
Μ, 239-.

καὶ διατάττει τὴν διάβασιν· πάντες δ' οἱ Τρῶες ἕπονται αὐτῷ (Μ, 132-251).

(1) Πολυποίτης καὶ Λεοντεύς, ἀρχηγοὶ Ἀργίσσης (Σῶμα 27ον), εἰκότως μάχονται ἐπὶ τ' ἀριστερὰ καὶ φυλάττουσι τὰς ἐκεῖ πύλας δι' ὧν οἱ ἀπὸ τοῦ πεδίου φεύγοντες Ἕλληνες ἐσώζοντο εἰς τὸ Στρατόπεδον. Μόνοι γὰρ οὗτοι ἔμενον σῶοι ἐκ τῶν ἀρίστων ἀρχηγῶν τοῦ ἀριστεροῦ Κέρατος· τοῦ μὲν Ἀχιλλέως μηνίοντος, τοῦ δ' Ἐλεφήνορος φονευθέντος, τοῦ δὲ Φιλοκτήτου πάσχοντος ἐν Λήμνῳ, τοῦ δὲ Ποδαλειρίου μαχομένου, Μαχάονος δὲ καὶ Εὐρυπύλου θεραπευομένων.

Πρὶν δὲ προβῶμεν περαιτέρω ἐξετάσωμεν τὴν πτῆσιν τοῦ ἀετοῦ καὶ τοὺς λόγους Ἕκτορος. Πρῶτον οὖν ὁ Ποιητὴς ἵνα ἐξηγήσῃ τὸ ἀπαίσιον τοῦ οἰωνοῦ λέγει καὶ ἐννοεῖ τὸν ἀετὸν ἵπτασθαι ἐπ' ἀριστερὰ τοῦ Τρωϊκοῦ στρατοῦ «ἐπ' ἀριστερὰ λαὸν ἐέργων» ἤγουν ἐφαρμόζει τὴν τοῦ οἰωνοῦ διεύθυνσιν σχετικῶς πρὸς τὴν θέσιν τῶν Τρώων, ὄχι πρὸς τὴν θέσιν τῶν Ἑλλήνων ὡς ἐν γένει ποιεῖ λαλῶν περὶ στρατιωτικῶν κινήσεων. Λέγει δὲ οὕτω κατὰ λόγον καὶ πρὸς εὐκρίνειαν, ἐξηγῶν τὴν ἀπαισιότητα τοῦ οἰωνοῦ· ἐπειδὴ ἂν ἐνταῦθα ὁ Ποιητὴς ἔλεγεν ὅτι ὁ ἀετὸς ἔπτη ἐπὶ δεξιὰ τῶν νηῶν ἢ τοῦ στρατοῦ, ἡ ἔκφρασις, καίτοι ἔχουσα τὴν αὐτὴν ἔννοιαν (διὰ τὸ τὴν δεξιὰν τῶν Ἑλλήνων ἀντιστοιχεῖν τῇ ἀριστερᾷ τῶν Τρώων), παρεῖχεν ὅμως σύγχυσιν ὡς ὑποκρύπτουσα τὴν τοῦ οἰωνοῦ τοῖς Τρωσὶν ἀριστερότητα. Δεύτερον οἱ Τρῶες ἱστάμενοι πρὸ τῆς Τάφρου ἄντικρυ τῶν Ἑλλήνων, εἶχον τὰ ὄμματα ἐστραμμένα πρὸς Ἄρκτον, ἐπομένως ἡ μὲν δεξιὰ αὐτῶν χεὶρ ἦν πρὸς Ἀνατολὰς ἡ δὲ ἀριστερὰ πρὸς Δύσιν. Ὁ οὖν Ἕκτωρ ὢν καὶ αὐτὸς ἐστραμμένος πρὸς Ἄρκτον, ὡς οἱ ἄλλοι Τρῶες, ὀρθῶς λέγει ἀδιάφορον εἶναι αὐτῷ ἂν οἱ οἰωνοὶ πετῶσιν ἐπὶ δεξιὰ πρὸς Ἀνατολάς, ἢ ἐπ' ἀριστερὰ πρὸς Δύσιν (1). Ἐπειδὴ δὲ ἐνταῦθα, ἕνεκα τῆς θέσεως τῶν Τρώων πρὸ τῆς Τάφρου,

(1) Χάριν σαφηνείας οἱ λόγοι Ἕκτορος σημειοῦνται πρὸ τῆς Τάφρου, κατὰ τὸ Μ'.

τὸ μὲν ἐπὶ δεξιὰ ἐστὶν ἴσον τῷ ἐπ' Ἀνατολάς, τὸ δ' ἐπὶ δεξιὰ τῷ πρὸς Δυσμάς, ἐνομίσθη ὅτι ἐν γένει οἰωνὸς ἐπὶ δεξιὰ ἐσήμαινε τὸν πρὸς Ἀνατολὰς οἰωνόν, καὶ οἰωνὸς ἐπ' ἀριστερὰ τὸν πρὸς Δυσμάς. Δεκτῆς δὲ γενομένης τῆς ὑποθέσεως, συνέπεια ἦν τὸν ἔχοντα ἐπὶ δεξιὰ μὲν τὴν Ἀνατολὴν ἐπ' ἀριστερὰ δὲ τὴν Δύσιν, ὁρᾷν πρὸς Ἄρκτον· ὅθεν ἡ ἐσφαλμένη ἰδέα περὶ τῶν οἰωνιζομένων ὡς ὄντων ἀεὶ πρὸς Ἄρκτον ἐστραμμένων κατὰ νόμον τῆς Μαντικῆς τέχνης.

Ἐπανερχόμενοι νῦν εἰς τὰ τῆς μάχης βλέπομεν τὰ Ἕκτορος καὶ Σαρπηδόνος Σώματα διαβαίνειν τὴν Τάφρον καὶ πορευθέντα ἐπὶ τὸ δεξιὸν Κέρας τοῦ Ἑλληνικοῦ Στρατοπέδου προσβάλλειν τὸ Τεῖχος. Οἱ δὲ Αἴαντες πάντοσε φοιτῶντε ὀτρύνουσι τοὺς Ἕλληνας (Μ, 259-268) (1). Ὁ Σαρπηδὼν καὶ Γλαῦκος μετὰ τῶν Λυκίων ὁρμῶσι κατὰ τοῦ Πύργου Μενεσθέως (Σῶμα 6ον). Ὁ δὲ Μενεσθεὺς πτοηθεὶς προσκαλεῖ τὸν Τελαμώνιον Αἴαντα διὰ τοῦ Θοώτου (Μ, 269-342). Ὁ Μενεσθεὺς ἑώρα μὲν ἀπὸ τοῦ πύργου τοὺς Αἴαντας καὶ τὸν Τεῦκρον νεωστὶ ἐξερχόμενον τῆς ἑαυτοῦ σκηνῆς, ἀλλ' ἕνεκα τοῦ μεγάλου κτύπου οὐκ ἦν οἷόν τε αὐτῷ κράξαντι ἀκουσθῆναι·

(1) Ἡ ἐπὶ τὰ δεξιὰ τοῦ Ἑλληνικοῦ Στρατοπέδου πορεία τῶν δύο Τρωϊκῶν Σωμάτων Ἕκτορος καὶ Λυκίων σημειοῦται διὰ τῆς ἐρυθρᾶς γραμμῆς τῆς ἀρχομένης ἀπὸ τοῦ Μ', θλωμένης δὲ κατὰ τὸν πύργον Μενεσθέως καὶ ληγούσης εἰς Μ'''. Ἔστω δὲ ὁ ἀναγνώστης ἀπὸ τοῦδε προσεκτικὸς ἵνα ἴδῃ ὅτι τὸ Πρωτεσιλάου Σῶμα ἦν κατὰ τὸ δεξιὸν Κέρας πρὸς ὃ Ἕκτωρ καὶ Σαρπηδὼν ἦλθον.

« Τοὺς δὲ ἰδὼν ῥίγησ' υἱὸς Πετεῶο Μενεσθεύς·
» τοῦ γὰρ δὴ πρὸς πύργον ἴσαν κακότητα φέροντες·
» πάπτηνεν δ' ἀνὰ πύργον Ἀχαιῶν εἴ τιν' ἴδοιτο
» ἡγεμόνων, ὅστις οἱ ἀρὴν ἑτάροισιν ἀμύναι·
» ἐς δ' ἐνόησ' Αἴαντε δύω πολέμου ἀκορήτω,
» ἑσταότας, Τεῦκρον τε νέον κλισίηθεν ἰόντα
» ἐγγύθεν· ἀλλ' οὔπως οἱ ἔην βώσαντι γεγωνεῖν·
» τόσσος γὰρ κτύπος ἦεν . . . . »

Μ, 331 - 338.

Ἐφαρμόζοντες ταῦτα ἐπὶ τοῦ Ἑλληνικοῦ Στρατοπέδου βλέπομεν εὐθὺς τὴν ἀκρίβειαν τῶν λεγομένων περὶ Μενεσθέως, οὕτινος τὸ Σῶμα παρετέτακτο μεταξὺ Σαλαμινίων καὶ Λοκρῶν. Ὁ Μενεσθεὺς οὐ μόνον ἑώρα τὰς Σαλαμινίων σκηνὰς καὶ τοὺς ἐκ τῶν σκηνῶν ἐξερχομένους ἀνεγνώριζεν, ἀλλὰ καὶ ἡ φωνὴ αὐτοῦ ἠκούετο ἂν ἀπὸ τῶν Σαλαμινίων σκηνῶν, εἰ μὴ μέγας ἦν ὁ κτύπος. Τὸ Σῶμα ἄρα τῶν Σαλαμινιων ἦν παρὰ τοῖς Ἀθηναίοις ὡς λέγει ὁ Κατάλογος.

Ὁ μὲν δὴ Αἴας ὁ Τελαμῶνος μετὰ Τεύκρου πορεύονται εἰς βοήθειαν τῶν Ἀθηναίων ἔντοσθεν τοῦ Τείχους· οἱ δὲ Λύκιοι ἀνέβαινον ἤδη τὰς ἐπάλξεις· ὁ Τελαμώνιος Αἴας φονεύει τὸν Ἐπικλῆα, ὁ δὲ Τεῦκρος τιτρώσκει τὸν Γλαῦκον. Ὁ Σαρπηδὼν κρημνίζει τὴν ἔπαλξιν καὶ τὸ Τεῖχος γυμνοῦται. Αἴας δὲ καὶ Τεῦκρος ἀνθίστανται ἐπὶ πολὺ κατὰ Σαρπηδόνος καὶ Λυκίων, ἀλλ' Ἕκτωρ θλᾷ

διὰ πέτρου τὰς τῶν πυλῶν σανίδας, οἱ Τρῶες εἰσρέουσιν οἱ μὲν διὰ τῶν πυλῶν, οἱ δὲ ὑπερβάντες τὸ Τεῖχος. Οἱ δ' Ἕλληνες φεύγουσιν εἰς τὰ πλοῖα (Μ, 339-471).

Ὡς δὲ καὶ ἀπὸ τῶν μετ' οὐ πολὺ λεχθησομένων φανήσεται, ἐκ τῶν πέντε Σωμάτων τῶν ὑπερβάντων τὸ Τεῖχος, μόνον τὰ δύο, τὰ Ἕκτορος καὶ Σαρπηδόνος, ἦλθον εἰς τὸ δεξιὸν Κέρας τοῦ Ἑλληνικοῦ Στρατοπέδου, τὰ δ' ἕτερα τρία εἰς τὸ ἀριστερόν, εἰς ὃ ἐπορεύθη καὶ Ἄσιος.

Ὁ Ποσειδῶν ἐφορῶν τὴν μάχην ἀπὸ τῆς κορυφῆς τῆς νήσου Σαμοθράκης, ὅθεν πᾶσα ἡ Ἴδη, ἡ πόλις τοῦ Πριάμου καὶ αἱ τῶν Ἀχαιῶν νῆες ἐφαίνοντο, ἔρχεται εἰς τὸ Ἑλληνικὸν Στρατόπεδον καὶ ἐνθαρρύνει τοὺς Ἕλληνας (Ν, 1-125). Οἱ δ' Αἴαντες μετὰ τῶν ἀρίστων συμπυκνοῦνται εἰς φάλαγγας καὶ ἀνθίστανται κατὰ τῆς ὁρμῆς Ἕκτορος ἀπειλοῦντος διελθεῖν διὰ τοῦ στρατοπέδου μέχρι θαλάσσης (Ν, 126-149). Ὁ Μηριόνης βάλλει τὸν Δηΐφοβον συναρχηγὸν τῷ Ἀσίῳ, ἀλλὰ θλασθέντος τοῦ δόρατος βαίνει πρὸς τὰ πλοῖα ἵνα λάβῃ ἕτερον (150-168) (1). Ὁ Τεῦκρος φονεύει τὸν Ἴμβριον,

(1) Μηριόνης ὢν ἐκ τῶν ἑπτὰ ἀρχηγῶν τῶν φυλάκων καὶ μετὰ τῶν Κρητῶν παρατεταγμένος κατὰ τὸ ἀριστερὸν Κέρας (Σῶμα 17ον), μάχεται, ὡς εἰκός, πρὸς τοὺς Τρῶας τοὺς ἐπ' ἀριστερὰ πορευθέντας· θλασθέντος δ' αὐτῷ τοῦ δόρατος ἔρχεται εἰς τὴν σκηνήν, λαμβάνει ἕτερον καὶ ἐπανελθὼν μετὰ Ἰδομενέως ἐπὶ τ' ἀριστερὰ τῆς μάχης, ἀπαντᾷ πάλιν τῷ Δηϊφόβῳ ὃν τιτρώσκει βαρέως. Ὅρα Ν, 526-539.

ὁ δ' Ἕκτωρ τὸν Ἀμφίμαχον. Φονευθέντες δὲ τοῦ Ἀμφιμάχου, Ποσειδῶν χολωθεὶς ἐποτρύνει ἔτι μᾶλλον τοὺς Ἕλληνας καὶ ὁμοιωθεὶς Θόαντι ἐντυγχάνει Ἰδομενεῖ ἐρχομένῳ εἰς τὴν αὐτοῦ σκηνὴν καὶ προτρέπει ὁπλισθῆναι καὶ δραμεῖν εἰς τὴν μάχην. Ὁ Ἰδομενεὺς ὁπλίζεται, ὁ δὲ Μηριόνης πορευόμενος ἵνα λάβῃ ἕτερον δόρυ, συναντᾷ τῷ Ἰδομενεῖ ἐξερχομένῳ τῆς σκηνῆς· ὁπλισθεὶς δὲ καὶ αὐτὸς ἐρωτᾷ τὸν Ἰδομενέα ποῦ ἔδει πορευθῆναι, ἐπὶ δεξιὰ τοῦ ὅλου Στρατοπέδου, πρὸς τὰ μέσα ἢ ἐπ' ἀριστερά·

« Δευκαλίδη, πῇ τ' ἄρ μέμονας καταδῦναι ὅμιλον ;
» ἢ ἐπὶ δεξιόφιν παντὸς στρατοῦ, ἢ ἀνὰ μέσσους,
» ἢ ἐπ' ἀριστερόφιν ; (1) ».

Ὁ Ποιητὴς διὰ τῆς ἐκφράσεως « ἐπὶ δεξιόφιν παντὸς στρατοῦ » ἐξηγεῖ τὰ ὑφ' ἡμῶν λεχθέντα περὶ τῆς προσβολῆς τῶν Τρώων ὡς ἐκτεινομένης πρὸς μὲν τὸ δεξιὸν Κέρας μέχρι τῆς ἐσχατιᾶς, μέχρι Βοιωτῶν, μέχρι τοῦ ἄκρου παντὸς τοῦ Στρατοπέδου· πρὸς δὲ τὸ ἀριστερὸν Κέρας, μόνον ἔνθεν τοῦ Σώματος τῶν Μυρμι-

(1) Καλῶς ὁ Ποσειδῶν ἐξομοιοῦται Θόαντι ἀρχῷ Αἰτωλῶν, γειτόνων τοῖς Κρησὶν ἐν τῷ Καταλόγῳ ἤτοι ἐν τῷ Στρατοπέδῳ. Φαίνεται δ' ἐκ τοῦ διαλόγου Ἰδομενέως καὶ Μηριόνου τὴν μὲν Ἰδομενέως σκηνὴν κεῖσθαι ἐπὶ τῆς πρώτης πρὸς τὸ πεδίον σειρᾶς, τὴν δὲ Μηριόνου κατωτέρω πρὸς τὴν παραλίαν (N, 254-297).

δόνων· ἕνεκα δὲ τούτου αἱ λέξεις «παντὸς στρατοῦ» οὐ προσετέθησαν τῷ «ἐπ' ἀριστερόφιν».

Ὁ Ἰδομενεὺς ἀποκρίνεται τῷ Μηριόνῃ «κατὰ τὰ μέσα τῶν πλοίων εἰσὶν ἀμυνόμενοι καὶ ἄλλοι καὶ οἱ δύω Αἴαντες καὶ ὁ Τεῦκρος· ἡμεῖς οὖν ἴωμεν ὧδε ἐπ' ἀριστερὰ τοῦ Στρατοπέδου·

» νηυσὶν μὲν ἐν μέσσῃσιν ἀμύνειν εἰσὶ καὶ ἄλλοι
» Αἴαντές τε δύω, Τεῦκρος θ' ὃς ἄριστος Ἀχαιῶν . . .
» νῶϊν δ' ὧδ' ἐπ' ἀριστερ' ἔχε στρατοῦ (1) ».

Ἐλθόντες οὖν ἐπ' ἀριστερά, ὁ μὲν Ἰδομενεὺς φονεύει τὸν Ὀθρυονῆα καὶ τὸν Ἄσιον Ὑρτακίδην, ὁ δ' Ἀντίλοχος τὸν ἡνίοχον Ἀσίου (Ν, 327-404). Ὁ Δηΐφοβος φονεύει τὸν Ὑψήνορα, Ἰδομενεὺς δὲ τὸν Ἀλκάθοον. Ὁ Δηΐφοβος προσκαλεῖ εἰς βοήθειαν τὸν Αἰνείαν, ἀλλ' ὁ Ἰδομενεὺς μένει καὶ ἐποτρύνει τοὺς ἑαυτοῦ ἑτέρους Ἀσκάλαφον Ἀφαρῆα, Δηΐπυρον, Μηριόνην καὶ Ἀντίλοχον (Ν, 401-488) (2). Ὁ Αἰνείας ἐνθαρρύνει τοὺς συνεταίρους Δηΐφοβον, Πάριν καὶ Ἀγήνορα (Ν, 489-491) (3).

(1) Ν, 312-326. Ὄντων τετρωμένων Ἀγαμέμνονος καὶ Διομήδους, καλῶς Αἴας ὁ Λοκρὸς παρακολουθεῖ τῷ Τελαμωνίῳ.

(2) Πάντες οὖν οἱ τῶν φυλάκων ἀρχοὶ ἐνταῦθα μάχονται, ἐπὶ τ' ἀριστερά, ἔνθα ἦσαν νυκτοφυλακτοῦντες. Ἀντίλοχος δέ, ἵνα μὴ ἀποχωρισθῇ τοῦ ἀδελφοῦ Θρασυμήδους ὄντος ἐκ τῶν ἑπτὰ ἀρχηγῶν τῶν φυλάκων.

(3) Καὶ ἐντεῦθεν δῆλον ὅτι ἐκ τῶν πέντε Σωμάτων τὰ μὲν τρία, ἤγουν τὰ Ἀσίου Ὑρτακίδου, Αἰνείου καὶ Πάριδος, ἦλθον καὶ μάχονται ἐπ' ἀριστερὰ τοῦ Ἑλληνικοῦ Στρατοπέδου.

Ὁ Ἰδομενεὺς φονεύει τὸν Οἰνόμαον ὁ δὲ Δηίφοβος τὸν Ἀσκάλαφον· ὁ Μηριόνης τιτρώσκει τὸν Δηίφοβον ὃν ἐκφέρει τῆς μάχης ὁ αὐτοῦ ἀδελφὸς Πολίτης. Ὁ Αἰνείας φονεύει τὸν Ἀφαρῆα, ὁ Ἀντίλοχος τὸν Θόωνα, ὁ Μηριόνης τὸν Ἀδάμαντα, ὁ Ἕλενος τὸν Δηίπυρον. Ὁ Μενέλαος τιτρώσκει τὸν Ἕλενον καὶ φονεύει τὸν Πείσανδρον (Ν, 492-619). Ὁ Μηριόνης φονεύει τὸν Ἁρπαλιῶνα, ὁ Πάρις τὸν Εὐχήνορα, (Ν, 620-672) (1).

Ἕκτωρ δὲ μένων καὶ μαχόμενος ἐν τῇ αὐτῇ θέσει εἰς ἣν πρῶτον ἦλθε διαβὰς τὸ Τεῖχος, ἔνθα ἦσαν αἱ νῆες Αἴαντος καὶ Πρωτεσιλάου (ἐπὶ τὰ δεξιὰ τοῦ Ἑλληνικοῦ Στρατοπέδου), ἠγνόει ὅτι οἱ Τρῶες ἐπιέζοντο καὶ ἐφονεύοντο ἐπὶ τ' ἀριστερὰ ὑπὸ τῶν Ἑλλήνων.

» Ἕκτωρ δ' οὐκ ἐπέπυστο Διῒ φίλος οὐδέ τι ᾔδη,
» ὅττι ῥά οἱ νηῶν ἐπ' ἀριστερὰ δηϊόωντο
» λαοὶ ὑπ' Ἀργείων. . . . .
» Ἀλλ' ἔχεν ᾗ τὰ πρῶτα πύλας καὶ τεῖχος ἐσᾶλτο
» ἔνθ' ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου ».

Ν, 678-.

Οὐ μόνον τοίνυν ἐκ τῶν ἀρχηγῶν Ἑλλήνων τῶν πρὸς τὸν Ἕκτορα πολεμούντων συμπεραίνομεν ὅτι ὁ Ἕκτωρ

(1) Ἐχέτω ὁ ἀναγνώστης ἐν τῇ μνήμῃ τὰ ὀνόματα τῶν ἀρχηγῶν τῶν τριῶν Τρωϊκῶν Σωμάτων τῶν ἐλθόντων ἐπ' ἀριστερὰ (Μ, 93-100)· πρὸς δὲ τούτοις τὰ ὀνόματα τῶν ἑπτὰ ἀρχηγῶν τῶν φυλάκων (Ι, 80-86).

ἐπορεύθη πρὸς τὸ δεξιὸν Κέρας, ἀλλὰ καὶ ἐκ τῶν λόγων τοῦ Ποιητοῦ: « Ὁ Ἕκτωρ, λέγει ὁ Ὅμηρος, ἠγνόει ὅτι ἐπὶ τ' ἀριστερὰ τῶν νηῶν οἱ Τρῶες ἐπιέζοντο » ἄρα ὁ Ἕκτωρ οὐκ ἦν ἐπὶ τ' ἀριστερά· « ἀλλά, προστίθησιν ὁ Ποιητής, ὁ Ἕκτωρ ἦν ἐκεῖ ἔνθα ἦσαν αἱ νῆες Αἴαντος καὶ Πρωτεσιλάου » ἄρα οὐδ' αἱ Αἴαντος καὶ Πρωτεσιλάου νῆες ἦσαν ἐπ' ἀριστερά (1).

Ἐπικαλοῦμαι δὲ ἐνταῦθα τὴν σύντονον τοῦ ἀναγνώστου προσοχὴν ἵνα ἴδωμεν τὸ προφανὲς τοῦ Καταλόγου σφάλμα καὶ τὴν ἀνάγκην τῆς ἐπανορθώσεως διὰ τῆς μεταθέσεως τοῦ Σώματος τῆς Φυλάκης ἀπὸ τοῦ ἀριστεροῦ εἰς τὸ δεξιὸν Κέρας.

Ὁ Ποιητὴς εἰπὼν ὅτι τὰ δύω Σώματα Ἕκτορος καὶ Λυκίων διαβάντα τὴν Τάφρον ἦλθον πρὸς τοὺς Ἀθηναίους κατὰ τοῦ Πύργου Μενεσθέως (Σῶμα 6^{ον}) καὶ ῥίψαντα τὸ Τεῖχος ἀφίχθησαν πρὸ τῶν πλοίων (Μ, 251-Ν, 205), μετέβη εἰς τὴν διήγησιν τῶν συμβάντων κατὰ τὸ ἀριστερὸν Κέρας (Ν, 206-673). Νῦν δὲ ἐπανέρχεται εἰς τὸ δεξιὸν Κέρας καὶ λέγει « ὁ Ἕκτωρ ἔμενεν ἔτι ἐκεῖ ἔνθα ἦσαν τὰ πλοῖα Αἴαντος καὶ Πρωτεσιλάου »

(1) Ἡ πρὸ τῶν Ἑλληνικῶν πλοίων ἐνεστῶσα μάχη ἐξετείνετο, ὡς εἴπομεν, ἀπὸ Βοιωτῶν μέχρι τοῦ 18^{ου} ἢ 19^{ου} Σώματος· ὥστε κατ' ἀκρίβειαν, ὁ μὲν Ἕκτωρ ἐμάχετο περὶ τὰ μέσα τοῦ προσβαλλομένου μέρους, ὡς καὶ Ἰδομενεὺς καλῶς εἶπε πρὸ ὀλίγου « νηυσὶν μὲν ἐν μέσσῃσιν ἀμύνειν εἰσὶ καὶ ἄλλοι » (Ν, 312-316). Οἱ δὲ Λύκιοι προσέβαλον τὰ τοῦ δεξιοῦ Κέρατος ἔσχατα.

ἤτοι ἐπὶ τὸ δεξιὸν Κέρας, ἐπειδὴ ὡς ἴδομεν πρὸ μικροῦ, οὔτε ὁ Ἕκτωρ οὔτε τὰ πλοῖα Αἴαντος καὶ Πρωτεσιλάου ἦσαν ἐπὶ τὸ ἀριστερὸν Κέρας. Εἰ γὰρ ἐκεῖ ἦσαν, ὁ Ποιητὴς οὐκ ἔλεγε τὸν Ἕκτορα ἀγνοεῖν τὰ ἐπ' ἀριστερὰ συμβαίνοντα.

Ἔσφαλον ἄρα οἱ θέντες ἐν τῷ Καταλόγῳ τὸ Πρωτεσιλάου (ἡ Φυλάκης) Σῶμα παρὰ Μυρμιδόσιν, ἀγνοοῦντες τὴν ἐκ τούτου προερχομένην σύγχυσιν. Οὐ μόνον δὲ οἱ στίχοι οὗτοι, ἀλλὰ καὶ ἅπασα ἡ τῆς μάχης περιγραφὴ ἐξελέγχουσι τὸν Κατάλογον ἐσφαλμένον εἶναι κατὰ τοῦτο. Μετ' οὐ πολὺ ὁ Ἕκτωρ μαχόμενος κατὰ τὴν αὐτὴν θέσιν ἅπτεται τῆς νηὸς τοῦ Πρωτεσιλάου.

Παρὰ τίνι δὲ τῶν δύω Αἰάντων ἐννοεῖ ὁ Ποιητὴς τὰς Πρωτεσιλάου νῆας κεῖσθαι; Τοῦτο ῥαδίως ἀνακαλύπτεται. Πρῶτον μὲν γὰρ ἡ ἀριθμητικὴ διαίρεσις τοῦ Ἑλληνικοῦ Στρατοπέδου μαρτυρεῖ τὸ Τελαμωνίου Αἴαντος Σῶμα ἕβδομον εἶναι τὴν τάξιν· δεύτερον δὲ ἡ τοῦ Καταλόγου γεωγραφικὴ τάξις ἐπιβεβαιοῖ τὸ Σαλαμινίων Σῶμα (χωρίζον τὰ ἔθνη τοῦ κέντρου τῆς Ἑλλάδος ἀπὸ τῶν Πελοποννησιακῶν ἐθνῶν) εἶναι καλῶς τεταγμένον ἀμέσως μετὰ τοὺς Ἀθηναίους, πρὸ τῶν Ἀργείων. Ἴδομεν δὲ πρὸς τούτοις καὶ ἐκ τῆς προσβολῆς τῆς γενομένης κατὰ τοῦ πύργου Μενεσθέως ὅτι ὁ Τελαμώνιος Αἴας καὶ οἱ Σαλαμίνιοι ἦσαν παρὰ τοῖς Ἀθηναίοις (Μ, 331-340). Αἱ Πρωτεσιλάου ἄρα νῆες οὐκ ἦσαν παρὰ ταῖς Αἴαντος

τοῦ Τελαμωνίου, ἀλλὰ παρά ταῖς ναυσὶ Αἴαντος τοῦ Λοκροῦ. Οὕτως ἐξαλείφεται τὸ μόνον τοῦ Καταλόγου σφάλμα, μὴ προσβαλλομένης οὐδὲ τῆς γεωγραφικῆς τάξεως, ἡ γὰρ Λοκρὶς παράκειται τῇ Φθιώτιδι, ἔνθα ἡ Φυλάκη (1).

Ὁρισθείσης οὖν τῆς θέσεως καθ' ἣν ἐμάχετο Ἕκτωρ, ὁ Ποιητὴς ἀπαριθμεῖ τὰ Ἑλληνικὰ ἔθνη τὰ ὑπερασπιζόμενα τὸ δεξιὸν Κέρας ἐν οἷς ὀνομάζει καὶ τοὺς Φθίους, ἤγουν τοὺς Φυλάκης κατοίκους ὧν ἦρχε Πρωτεσίλαος.

« Ἔνθα δὲ Βοιωτοὶ καὶ Ἰάονες ἑλκεχίτωνες,
» Λοκροὶ καὶ Φθίοι καὶ φαιδιμόεντες Ἐπειοί ».

Ὀνομάζει δ' εὐθὺς καὶ τοὺς ἀρχηγοὺς τῶν Φθίων

« πρὸ Φθίων δὲ Μέδων τε μενεπτόλεμός τε Ποδάρκης »

ἄρα οἱ Φθίοι, ἤτοι τὸ Φυλάκης ἢ Πρωτεσιλάου Σῶμα, ἐπὶ τὸ δεξιὸν Κέρας τοῦ Ἑλληνικοῦ Στρατοπέδου διεκεκόσμητο καὶ ἐκεῖ νῦν πολεμεῖ καὶ ἀμύνεται. Ὁ μὲν Ποδάρκης ὡδήγει τὸ Φυλάκης Σῶμα μετὰ τὸν θάνατον τοῦ ἀδελφοῦ Πρωτεσιλάου. (Β. 698-707). Ὁ δὲ Μέ-

(1) Καὶ ὁ Σχολιαστὴς (Villoison Ἐνετ. Σχόλια Ἰλ. Ν. 681), ὡς ἴδομεν ἀνωτέρω, τὴν Φυλάκην καὶ Πρωτεσίλαον παρὰ τῷ Λοκρῷ Αἴαντι θέλει ἐν τῇ στρατοπεδεύσει.

δων (ὁ τὸ Μεθώνης Σῶμα ὁδηγῶν ἐν ἀπουσίᾳ Φιλοκτήτου) μάχεται σὺν τοῖς Φθίοις ὡς κατοικῶν ἐν Φυλάκῃ

« ἤτοι ὁ μὲν νόθος υἱὸς Ὀϊλῆος θείοιο
» ἔσκε Μέδων, Αἴαντος ἀδελφεός· αὐτὰρ ἔναιεν
» ἐν Φυλάκῃ γαίης ἄπο πατρίδος, ἄνδρα κατακτάς ».

N, 694-.

Οὐ μόνον ἄρα ἡ τῶν χωρῶν γειτνίασις ἀλλὰ καὶ φιλικαὶ σχέσεις συνέδεον τοὺς Λοκροὺς μετὰ τῆς Φυλάκης.

Μόνον δὲ οἱ Φωκεῖς παραλείπονται ἐνταῦθα ἐν τῇ τῶν πολεμούντων ἀπαριθμήσει (N, 684 - 700). Μὴ νομισθήτω δέ, ὡς ἐνόμισε Γλάδστων, ὅτι οἱ Φωκεῖς οὐ μάχονται μετὰ τῶν ἄλλων τοῦ δεξιοῦ Κέρατος ἐν τῇ ἐνεστώσῃ μάχῃ· ἑπόμενοι γὰρ μετὰ προσοχῆς τῇ ἐξιστορήσει, εὑρίσκομεν καὶ αὐτοὺς μαχομένους, ὡς φαίνεται ἐκ τοῦ μετ' οὐ πολὺ φονευομένου Σχεδίου ἀρχηγοῦ Φωκέων

« ἔνθ' Ἕκτωρ μὲν ἕλε Σχεδίον Περιμήδεος υἱόν,
» ἀρχὸν Φωκήων . . . . »

O, 515-.

ὥστε πάντα τὰ τῆς δεξιᾶς ἐσχατιᾶς Σώματα μάχονται πρὸ τῶν νηῶν κατὰ Ἕκτορος καὶ Λυκίων. Μόνοι δὲ οἱ ἀρχηγοὶ τοῦ 2ου Σώματος τῶν Βοιωτῶν οὐ μνημονεύονται, ἐπειδὴ ὁ Ἀσκάλαφος καὶ Ἰάλμενος ἐμάχοντο ἐπὶ

τ' ἀριστερά, ἔνθα τὴν παρελθοῦσαν νύκτα ἐτέθησαν ἐπὶ κεφαλῆς τῶν φυλάκων. Ἴσως δ' ἕνεκα τῆς ἐπὶ τ' ἀριστερὰ ἀποστολῆς Ἀσκαλάφου καὶ Ἰαλμένου, ὁ Μέγης μετὰ τῶν Ἐπειῶν ἦλθον ἐπὶ τὰ δεξιὰ πρὸς ἀναπλήρωσιν, καί τοι εἰς δύο (ἀπὸ τοῦ μέσου) διαιρουμένου τοῦ Ἑλληνικοῦ Στρατοπέδου, τὸ τῶν Ἐπειῶν Σῶμα, ὃν 14ον τὴν τάξιν, ἀνήκει τῇ δεξιᾷ πτέρυγι.

Ὁ μὲν οὖν Ἕκτωρ μαχόμενος ἐπὶ τὰ δεξιὰ ἠγνόει τὴν ἐπὶ τ' ἀριστερὰ πίεσιν τῶν Τρώων. Ὁ δὲ Πολυδάμας ἐξηγεῖ τῷ Ἕκτορι πῶς ἡ ἐφ' ὅλης τῆς γραμμῆς τῶν πλοίων ἔκτασις τοῦ Τρωϊκοῦ στρατοῦ ἦν ἐπικίνδυνος, ἐπειδὴ κατά τινα μὲν μέρη ἵσταντο ἄπρακτοι οἱ Τρῶες, κατ' ἄλλα δ' ἐπολέμουν ὀλίγοι κατὰ πολλῶν.

« οἱ μὲν ἀφεστᾶσιν σὺν τεύχεσι, οἱ δὲ μάχονται
» παυρότεροι πλεόνεσσι, κεδασθέντες κατὰ νῆας ».

N, 738-.

καὶ πείθει τὸν Ἕκτορα πορευθῆναι καὶ καλέσαι ἐνταῦθα (ἤτοι ἐπὶ τὸ δεξιὸν Κέρας) πάντας τοὺς ἀρίστους

« ἀλλ' ἀναχασάμενος κάλει ἐνθάδε πάντας ἀρίστους ».

N, 740-.

Ὁ Ἕκτωρ βαίνει πρὸς τ' ἀριστερὰ καὶ ζητεῖ τοὺς ἐκεῖσε πορευθέντας, Δηΐφοβον, Ἕλενον, Ἀσιάδην Ἀδά-

μαντα (1), Ἄσιον Ὑρτακίδην, Ἀλέξανδρον καὶ λοιπούς· ἀλλ' ἐκ τούτων τοὺς μὲν εὑρίσκει νεκρούς, τοὺς δὲ βεβλημένους, τὸν δ' Ἀλέξανδρον εὗρεν εὐθὺς ἐπ' ἀριστερὰ τῆς μάχης·

» Αὐτὰρ ὁ Δηίφοβόν τε βίην θ' Ἑλένοιο ἄνακτος,
» Ἀσιάδην τ' Ἀδάμαντα καὶ Ἄσιον Ὑρτάκου υἱὸν
» φοίτα ἀνὰ προμάχους διζήμενος εἴπου ἐφεύροι·
» τοὺς δ' εὗρ' οὐκέτι πάμπαν ἀπήμονας οὐδ' ἀνολέθρους·
» ἀλλ' οἱ μὲν δὴ νηυσίν ἔπι πρύμνῃσιν Ἀχαιῶν
» χερσὶν ὑπ' Ἀργείων κέατο ψυχὰς ὀλέσαντες
» οἱ δ' ἐν τείχει ἔσαν βεβλημένοι οὐτάμενοί τε·
» τὸν δὲ τάχ' εὗρε μάχης ἐπ' ἀριστερὰ δακρυοέσσης,
» δῖον Ἀλέξανδρον . . . . »

N, 758-.

Ὁ Ἕκτωρ ὠργισμένος πλησιάζει τῷ Ἀλεξάνδρῳ, μανθάνει τὰ συμβάντα, παραλαμβάνει αὐτὸν καὶ τοὺς ἐπιζῶντας καὶ ἐπιστρέφει εἰς τὸ δεξιὸν Κέρας.

« βὰν δ' ἴμεν ἔνθα μάλιστα μάχη καὶ φύλοπις ἦεν,
» ἀμφί τε Κεβριόνην καὶ Ἀμύμονα Πολυδάμαντα (2) ».

N, 789-.

(1) Ὁ Ἀδάμας Ἀσιάδης ἦν ἀρχηγὸς δευτερεύων, παρακολουθῶν τῷ Ὑρτακίδῃ (M, 135-140)· ἐφονεύθη δὲ πρὸ μικροῦ ὑπὸ Μηριόνου (N,560-).

(2) Ἡ Ἕκτορος πορεία ἀπὸ τοῦ δεξιοῦ Κέρατος, ἔνθα ἐπολέμει (ἀπὸ τοῦ M'''), εἰς τὸ ἀριστερὸν (εἰς M''), καὶ πάλιν ἐντεῦθεν εἰς τὸ δεξιόν, ῥαδίως ἀναγνωρίζεται ἐπὶ τοῦ Πίνακος B, ὡς γινομένη συμφώνως τῇ διασκευῇ τοῦ Ἑλληνικοῦ Στρατοπέδου. Αἱ δὲ διευθύνσεις καὶ τὸ ἐπ' ἀριστερά, καίτοι περὶ Τρώων ὁ λόγος, ἐφαρμόζονται ἐπὶ τῆς μονίμου τῶν Ἑλλήνων στρατοπεδεύσεως.

Πάντες οὖν οἱ Τρῶες ἔρχονται ἐπὶ τὸ δεξιὸν Κέρας, οἱ δ' Ἕλληνες ἀνδρείως ἀναμένουσι τοὺς ἐπερχομένους (Ν, 791 - 836). Ἀλλ' ἀπὸ τοῦδε, μετὰ τὴν ἐπὶ τὰ δεξιὰ συγκέντρωσιν τῶν Τρώων, εὑρήσομεν πολεμοῦντας ἐνταῦθα καὶ τοὺς Ἕλληνας πάντας, τοὺς πρώην ἐπ' ἀριστερὰ μαχομένους.

Νέστωρ δέ, ἀκούσας τὰς κραυγὰς τῶν πολεμούντων, ἐξέρχεται τῆς σκηνῆς ἐν ᾗ ἦν μετὰ Μαχάονος. Ἰδὼν δὲ τὸ Τεῖχος ἐρριμμένον βούλεται ἐλθεῖν εἰς Ἀγαμέμνονος, ἀλλ' ἀπαντᾷ αὐτῷ ἀνερχομένῳ ἀπὸ τῶν πρὸς τὴν παραλίαν πλοίων σὺν Διομήδει καὶ Ὀδυσσεῖ (Ξ, 1 - 39). Μαθὼν δ' Ἀγαμέμνων παρὰ Νέστορος ὅτι τὸ Τεῖχος ἐπεπτώκει, προτείνει ἑλκύσαι εἰς τὴν θάλασσαν τὰς πρώτας πρὸς τὸν αἰγιαλὸν νῆας, ἐλθούσης δὲ τῆς νυκτὸς ἑλκύσαι καὶ τὰς ἀπολειπομένας καὶ ἀποπλεῦσαι εἰς Ἑλλάδα. Ὁ Ὀδυσσεὺς ψέγει τὴν πρότασιν, ὁ δὲ Διομήδης «δεῦτε ἴομεν, λέγει, εἰς τὸν πόλεμον καίτοι βεβλημένοι ἵνα ἐνθαρρύνωμεν τοὺς ἄλλους. Βαίνουσιν οὖν πρὸς τὴν μάχην ἡγουμένου τοῦ Ἀγαμέμνονος. (Ξ, 40 - 134) (1)».

(1) Οἱ τρεῖς βεβλημένοι ἀρχηγοὶ ἀνεπαύοντο ἐν τοῖς παρὰ τὴν παραλίαν πλοίοις ἕνεκα ἀσφαλείας. Ἐκεῖθεν δ' ἀνήρχοντο πρὸς τὰ ἄνω ἵνα ἴδωσι τὰ τῆς μάχης. Φαίνεται δ' ὅτι καὶ ἡ Νέστορος σκηνὴ ἐν ᾗ ἐθεράπευε τὸν Μαχάονα οὐκ ἦν ἐπὶ τῆς πρώτης πρὸς τὸ πεδίον σειρᾶς. Ὅρα δὲ πῶς ἡ λέξις πόλεμος ἐν Ἰλιάδι σημαίνει καὶ μάχην ὡς καὶ παρ' ἡμῖν νῦν·

« δεῦτ' ἴομεν πόλεμόν δε, καὶ οὐτάμενοί περ, ἀνάγκη ». Ξ, 128.

Ποσειδῶν δέ, κοιμωμένου τοῦ Διὸς ἐπὶ τῆς Ἴδης παρὰ τῇ Ἥρᾳ, ἐνθαρρύνει τοὺς Ἕλληνας καὶ μάχεται ὑπὲρ αὐτῶν (Ξ, 135-387). Ὁ Ἕκτωρ ἀκοντίζει κατ' Αἴαντος Τελαμωνίου ἀλλ' ἐπὶ ματαίῳ, ὁ δ' Αἴας διὰ λίθου βάλλει καὶ ρίπτει κατὰ γῆς τὸν Ἕκτορα, ὃν ὑπερασπίζουσιν Πολυδάμας, Αἰνείας, Ἀγήνωρ, Σαρπηδὼν καὶ Γλαῦκος, ἐκφερόμενον πέραν τῆς Τάφρου· ἐκεῖθεν δὲ τεθεὶς ἐφ' ἅρματος φέρεται πρὸς τὸ ἄστυ· ἀφιχθέντος δὲ τοῦ ἅρματος εἰς τὴν διάβασιν τοῦ Ποταμοῦ « πόρον ποταμοῖο » ὁ Ἕκτωρ καταβιβάζεται, χύνουσιν ἐπ' αὐτοῦ ὕδωρ, ἀναπνέει, ἀνοίγει τοὺς ὀφθαλμοὺς ἀλλ' ἐπαναπίπτει σκοτισθείς. (Ξ, 388-439) (1).

Ἀπομακρυνθέντος τοῦ Ἕκτορος, οἱ Ἕλληνες ὁρμῶσι κατὰ τῶν Τρώων καὶ ὁ μὲν Αἴας ὁ Ὀϊλῆος φονεύει τὸν Σάτνιον, ὁ δὲ Πολυδάμας τὸν Προθοήνορα, ὁ Τελαμώνιος Αἴας τὸν Ἀρχέλοχον, ὁ δ' Ἀκάμας Πρόμαχον τὸν Βοιώτιον, ὁ Πηνέλεως τὸν Ἰλιονῆα. Οἱ Τρῶες κλονοῦνται, ὁ Τελαμώνιος Αἴας φονεύει τὸν Ὕρτιον, ὁ Ἀντίλοχος τὸν Φάλκυν καὶ Μέρμερον, ὁ Μηριόνης τὸν Μόρυν καὶ Ἱπποτίωνα· ὁ Τεῦκρος τὸν Προθόωνα καὶ Περιφήτην, ὁ Μενέ-

(1) Ἐπὶ τοῦ Πίνακος Β, σημειοῦται τὸ Ἕκτορος πάθημα. Περὶ τὸ Ο' βάλλεται ὑπ' Αἴαντος. Ἡ γραμμὴ Ο'Ο δεικνύει τὴν πέραν Τάφρου μεταφοράν. Κατὰ τὸ Ο, τίθεται ἐφ' ἅρματος. Τὴν ἐντεῦθεν δὲ εἰς τὸν πόρον Σκαμάνδρου πορείαν τοῦ ἅρματος, δεικνύει ἡ ἐρυθρὰ γραμμὴ ΟΞ. Κατὰ τὸ Ξ, καταβιβάζεται ἀπὸ τοῦ ἅρματος. Ἡ δὲ γραμμὴ ΞΟ, δεικνύει τὴν Ἕκτορος ἐπάνοδον κατὰ τῶν Ἑλλήνων.

λαος τὸν Ὑπερήνορα, Αἴας ὁ Ὀϊλῆος πολλοὺς ἀνωνύμους (Ξ, 440-522). Οἱ δὲ Τρῶες φεύγοντες διαβαίνουσι τὴν Τάφρον καὶ ἵστανται πεφοβημένοι παρὰ τοῖς ἅρμασι (Ο, 1-4) (1).

Κατὰ διαταγὴν τοῦ Διὸς ἐξυπνήσαντος, ὁ Ποσειδῶν ἀναχωρεῖ ἀπὸ τοῦ Ἑλληνικοῦ Στρατοπέδου, ὁ δ᾽ Ἕκτωρ ἀναλαβὼν ἐκ τῆς πληγῆς ἐπανέρχεται εἰς τὴν μάχην (Ο, 5-280). Οἱ περὶ Αἴαντα, Ἰδομενέα, Τεῦκρον, Μηριόνην καὶ Μέγην δέχονται μετὰ τῶν ἀρίστων τοὺς ἐπερχομένους Τρῶας, ἡ δὲ πληθὺς ἐπανακάμπτει εἰς τὰ πλοῖα· καὶ αὐτοὶ δὲ οἱ ἀρχηγοὶ τῶν Ἑλλήνων ὀπισθοποροῦσιν. Ὁ Ἕκτωρ φονεύει τὸν Στοιχίον καὶ Ἀρκεσίλαον, ὁ Αἰνείας τὸν Μέδοντα καὶ Ἴασον, ὁ Ἀγήνωρ τὸν Κλονίον, ὁ Πάρις τὸν Δηΐοχον. Οἱ Ἕλληνες ὑποχωροῦσι πάντες πρὸς τὰ πλοῖα, ἡ Τάφρος γεφυροῦται ἐν μέρει ὑπὸ Ἀπόλλωνος, τὰ ἅρματα τῶν Τρώων διαβαίνουσι καὶ πεσόντος τοῦ Τείχους κατ᾽ εὐθείαν εἰς τὰ πλοῖα πορεύονται (Ο, 281-389) (2).

Πάτροκλος δέ, ἕως οὗ ἡ μάχη ἐγίνετο πέραν τῶν πλοίων, ἔμενε παρ᾽ Εὐρυπύλῳ θεραπεύων τὴν πληγὴν αὐτοῦ, ἅμα δ᾽ ἐννόησε τοὺς Τρῶας διαβῆναι τὴν Τάφρον, ἐγκαταλείπει τὸν Εὐρύπυλον καὶ τρέχει εἰς Ἀχιλλέως

(1) Ἡ γραμμὴ ''ΜΟ, δεικνύει τὴν ὀπισθοπόρησιν τῶν Τρώων.

(2) Τὴν ἀπὸ τῆς Τάφρου εἰς τὰ πλοῖα ἐπάνοδον τῶν Τρώων δεικνύει ἡ γραμμὴ ΟΟ',

(Ο, 390-414) (1). Ὁ δ' Ἕκτωρ οὐ δύναται ἀπωθῆσαι τὸν Τελαμώνιον Αἴαντα καὶ ἐμπρῆσαι τὸ ὑπ' αὐτοῦ ὑπερασπιζόμενον πλοῖον. Ἀλλ' οὔτε ὁ Αἴας δύναται ἀπωθῆσαι τὸν Ἕκτορα, φονεύει δὲ τὸν Καλήτορα φέροντα πῦρ. Ὁ Ἕκτωρ φονεύει τὸν Λυκόφρονα, ὁ Τεῦκρος τὸν Κλεῖτον, ἀλλ' ἡ χορδὴ τοῦ τόξου ῥίγνηται· τρέχει οὖν ὁ Τεῦκρος εἰς τὴν ἑαυτοῦ σκηνὴν καὶ ἀντὶ τόξου λαβὼν ἔγχος ἐπανέρχεται εἰς τὴν μάχην (Ο, 415-483) (2).

Ὁ Ἕκτωρ ἰδὼν τὸ συμβὰν τῷ Τεύκρῳ ἐπωτρύνει ἔτι μᾶλλον τοὺς Τρῶας καὶ φονεύει τὸν Σχεδίον, ὁ δ' Αἴας τὸν Λαοδάμαντα, ὁ Πολυδάμας τὸν Ὦτον, ὁ Μέγης τὸν Κροῖσμον, ὁ Μενέλαος τὸν Λάμπον (Ο, 484-543). Ὁ Ἀντίλοχος φονεύει τὸν Μελάνιππον, ὁ Ἕκτωρ τὸν Περιφήτην. Οἱ Τρῶες περικυκλοῦσι τὰς πρώτας νῆας, οἱ δ' Ἕλληνες ὀπισθοποροῦσι μέν, μένουσι δ' ἀθρόοι παρὰ ταῖς σκηναῖς αἰδούμενοι ἑαυτοὺς (Ο, 544-657).

« Εἴσωποὶ δ' ἐγένοντο νηῶν, περὶ δ' ἔσχεθον ἄκραι
» νῆες ὅσαι πρῶται εἰρύατο· τοί δ' ἐπέχυντο.
» Ἀργεῖοι δὲ νεῶν μὲν ἐχώρησαν καὶ ἀνάγκῃ
» τῶν πρωτέων, αὐτοῦ δὲ παρὰ κλισίῃσιν ἔμειναν
» ἀθρόοι, οὐδ' ἐσκέδασθεν ἀνὰ στρατόν· ἴσχε γὰρ αἰδώς ».

Ο, 653 - .

(1) Ὁ Πάτροκλος ἀναχωρήσας ἀπὸ τοῦ Πελασγικοῦ Ἄργους ἦλθεν εἰς τὸ Πυλίων Σῶμα ἵνα μάθῃ παρὰ Νέστορος τὰ περὶ Μαχάονος. ἐκεῖθεν δ' ἐπιστρέφων εὗρε τὸν βεβλημένον Εὐρύπυλον κατὰ τὸ Κέντρον τοῦ Στρατοπέδου καὶ ἔφερεν εἰς τὴν σκηνὴν (Σῶμα 26ον) νῦν δ' ἐκεῖθεν βαίνει εἰς Ἀχιλλέως.

(2) Ἡ τοῦ Τεύκρου ἄρα σκηνὴ καὶ τὸ Σαλαμινίων Σῶμα οὐκ ἦν πόρρω

Ὁ Ἕκτωρ, καίτοι γενναίως ἀνθισταμένων τῶν Ἑλλήνων, ἅπτεται τῆς νηὸς τοῦ Πρωτεσιλάου·

« Ἕκτωρ δὲ πρύμνης νεὸς ἥψατο ποντοπόροιο
» καλῆς ὠκυάλου, ἣ Πρωτεσίλαον ἔνεικεν
» ἐς Τροίην, οὐδ' αὖτις ἀπήγαγε πατρίδα γαίαν ».
Ο, 704-.

Ὁ Ἕκτωρ ἀπ' ἀρχῆς μάχεται ἐπὶ τὸ δεξιὸν Κέρας εἰς ὃ μετέφερε καὶ τοὺς πρότερον ἐπὶ τ' ἀριστερὸν μαχομένους Τρῷας, ἄρα τὸ Πρωτεσιλάου Σῶμα καὶ ἡ ναῦς ἧς ἅπτεται Ἕκτωρ, ἐπὶ τὸ δεξιὸν Κέρας ἦσαν, οὐχὶ ἐπὶ τ' ἀριστερὸν ὡς ἐν τῷ Καταλόγῳ εὑρίσκεται.

Προσβάλλων δὲ ὁ Ἕκτωρ ὅλαις δυνάμεσι τὸ δεξιὸν τῶν Ἑλλήνων Κέρας, ἐνεργεῖ στρατηγικῶς καὶ φρονίμως· στρατηγικῶς μέν, ἐπειδὴ τὸ δεξιὸν Κέρας ἦν τὸ ἰσχυρώτερον καί, μένον ἀκήρατον, ἐγίνετο ἐπικίνδυνον τοῖς Τρῳσὶ εἰ καὶ ἀλλαχοῦ νικηταῖς· φρονίμως δέ, ἐπειδὴ ὁ Ἀχιλλεὺς καίπερ μηνίων, οὐκ ἂν ἀνείχετο ὁρᾷν παρ' αὐτῷ τὸν Ἕκτορα νικηφόρον. Ἡ ἐν τῷ Καταλόγῳ τοίνυν θέσις τοῦ Σώματος Πρωτεσιλάου παρὰ τοῖς Μυρμιδόσιν ἐστιν ἄτοπος καὶ ἀεικὴς τῷ ἥρωϊ τῆς Ἰλιάδος. Ὁ Ἕκτωρ ἵνα ἔλθῃ ἐκεῖσε καὶ ἅψηται τῆς νηὸς Πρωτεσιλάου διέβαινεν ἐξ ἀνάγκης ἔμπροσθεν τοῦ Ἀχιλλέως. Ἀλλ' ἦν ποτε δυνατὸν τῷ Ἀχιλλεῖ ἐᾶσαι τὸν Ἕκτορα ἀγεῖραι παρὰ τοῖς

τοῦ νῦν ἀγῶνος· ἄρα ὁ Ἕκτωρ ἐπὶ τὸ δεξιὸν Κέρας τοῦ Ἑλληνικοῦ Στρατοπέδου μάχεται, ἐκεῖ γὰρ οἱ Σαλαμίνιοι καὶ ἡ τοῦ Τεύκρου σκηνή.

Μυρμιδόσιν ἅπαντα τὸν Τρωϊκὸν στρατὸν καὶ πυρπολῆσαι τὰ πλοῖα;

Ὁ μὲν οὖν Ἕκτωρ ἥψατο τῆς νηὸς καὶ «οἴσετε πῦρ» κράζει· Ὁ δ' Αἴας ὀπισθοδρομεῖ φονεύσας δώδεκα ἐκ τῶν ἀλλεπαλλήλως φερόντων πῦρ· (Ο, 707-746).

Τούτων οὕτω μαχομένων περὶ τῆς νηὸς Πρωτεσιλάου, ὁ Πάτροκλος παρίσταται τῷ Ἀχιλλεῖ δακρυχέων, λέγει τοὺς πλείστους τῶν ἀρίστων Ἑλλήνων βεβλημένους εἶναι καὶ ζητεῖ τὴν πανοπλίαν τοῦ Πηλείδου και τοὺς Μυρμιδόνας, ἐλπίζων δι' αὐτῶν ἀπωθῆσαι τοὺς Τρῶας (Π, 1-45). Εἶπε δὲ Πάτροκλος τῷ Ἀχιλλεῖ ὅτι οἱ ἰατροὶ ἐθεράπευον τὸν Τυδείδην, Ὀδυσσέα καὶ Ἀγαμέμνονα, ἀκούσας παρὰ Νέστορος. Ἀλλ' ἡμεῖς γινώσκομεν ὅτι μετὰ τὴν ἀπὸ Νέστορος ἀναχώρησιν τοῦ Πατρόκλου, οἱ τρεῖς βεβλημένοι ἥρωες, μαθόντες τὴν πρόοδον τῶν ἐχθρῶν, ἦλθον, προτάσει Διομήδους, εἰς τὴν μάχην πρὸ τῶν νηῶν ὅπως ἐνθαρρύνωσι τοὺς ἄλλους (Ν, 725-Ξ, 134). Ψεύδεται οὖν ὁ Πάτροκλος, ἀλλ' ἐν ἀγνοίᾳ, μὴ εἰδὼς τὰ συμβάντα κατὰ τὸ δεξιὸν Κέρας, ἐν ᾧ χρόνῳ ἐθεράπευε τὸν Εὐρύπυλον. Ἀλλ' ἂν τὸ Πρωτεσιλάου Σῶμα καὶ ἡ μάχη ἦσαν παρὰ τοῖς Μυρμιδόσι, τότε οὐ μόνον ὁ Πάτροκλος ἀλλὰ καὶ αὐτὸς ὁ Ἀχιλλεὺς οὐκ ἂν ἠγνόει τὴν τῶν βεβλημένων τριῶν ἡρώων παρουσίαν ἐν τῇ μάχῃ. Ἐκ δὲ τοῦ διαλόγου τῶν δύο κλεινῶν φίλων γίνεται ἔτι μᾶλλον δῆλον ὅτι ἀμφότεροι ἠγνόουν τὸν πρὸ τοῦ πλοίου

Πρωτεσιλάου δεινὸν ἀγῶνα καὶ τὸν ἐπικείμενον κίνδυνον τῆς πυρπολήσεως· ἄρα τὸ Πρωτεσιλάου Σῶμα οὐκ ἦν παρὰ τοῖς Μυρμιδόσιν.

Ὁ Ἀχιλλεὺς παραχωρεῖ τῷ Πατρόκλῳ τὰ αἰτούμενα «εἶπον, λέγει, μὴ καταπαῦσαι τὸν χόλον μου πρὶν αἱ κραυγαὶ καὶ ὁ πόλεμος ἔλθῃ εἰς τὰς ἐμὰς νῆας, ἀλλ' ἐνδύθητι τὰ ἐμὰ ὅπλα, λάβε τοὺς Μυρμιδόνας καὶ ἔμπεσε ἰσχυρῶς κατὰ τῶν Τρώων (Π, 46-82)». Καὶ ἑτέρα ἀπόδειξις ὅτι αἱ κραυγαὶ καὶ ὁ πόλεμος ἦσαν πόρρω τῶν νηῶν Ἀχιλλέως (1).

(1) Ὁ Ἀχιλλεὺς λυπεῖται ἀκούων τὴν πρόοδον τῶν Τρώων καὶ ἀποδίδει τὴν αἰτίαν τῷ Ἀγαμέμνονι, λέγει δὲ καὶ τὰ αἴτια δι' ἃ ἡ πόλις τῶν Τρώων ἔλαβε θάρρος· πρῶτον, διὰ τὴν ἀπουσίαν αὐτοῦ·

« οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι μέτωπον,
» ἐγγύθι λαμπομένης............Π, 70 ».

Δεύτερον, διὰ τὰ τραύματα Τυδείδου καὶ Ἀτρείδου,

» ....νῦν δὲ στρατὸν ἀμφιμάχονται·
» οὐ γὰρ Τυδείδεω Διομήδεος ἐν παλάμησιν
» μαίνεται ἐγχείη, Δαναῶν ἀπὸ λοιγὸν ἀμῦναι·
» οὐδέ πω Ἀτρείδεω ὀπὸς ἔκλυον αὐδήσαντος
» ἐχθρῆς ἐκ κεφαλῆς· ἀλλ' Ἕκτορος ἀνδροφόνοιο,
» Τρωσὶ κελεύοντος, περιάγνυται . . . . Π, 74-78. »

Πάντες ἀρχαῖοι τε καὶ νέοι, ἐνόμισαν τὸ «ἔκλυον» ἀριθμοῦ ἑνικοῦ καὶ ἐξήγησαν «ἐγὼ ὁ Ἀχιλλεὺς οὐκ ἔκλυον πλέον τῆς φωνῆς τοῦ Ἀτρείδου»· ἀπάτη δυσεξέλεγκτος πρὸ τῆς ἀνακαλύψεως τῆς στρατηγικῆς τοῦ Καταλόγου ἀξίας καὶ τῆς ἐφαρμογῆς τῶν μαχῶν ἐπὶ τοῦ μονίμου Ἑλληνικοῦ Στρατοπέδου. Ὁ Ἀχιλλεὺς ὡς ἐπανηλειμμένως εἴπομεν, ἦν κατὰ τὸ Ἀριστερὸν Κέρας, μακρὰν τῆς ἐνεστώσης μάχης τῆς γινομένης κατὰ τὸ δεξιὸν Κέρας, ἑπομένως ἀδύνα-

Ἐν τούτοις Αἴας ὁ Τελαμῶνος, θλασθέντος τοῦ δόρατος αὐτοῦ, ὑποχωρεῖ κεκμηκώς. Οἱ Τρῶες βάλλουσι πῦρ τῇ νηῒ Πρωτεσιλάου. Ἀχιλλεὺς δὲ ἰδὼν τὸν καπνὸν ἐπισπεύδει τὴν Πατρόκλου ἀναχώρησιν (Π, 79-129).

Ὁ Ἀχιλλέως θαυμασμὸς ἐστὶ φυσικός, ὄντος μακρὰν τῆς μάχης· ἡ δ' ἔκφρασις αὐτοῦ

» λεύσω δὴ παρὰ νηυσὶ πυρὸς δηΐοιο Ἰωήν! »

μαρτυρεῖ ὅτι οὐδόλως ἤλπιζεν ἰδεῖν καιόμενα τὰ πλοῖα· ἄρα οὐχ ἑώρα τοὺς ἀλλεπαλλήλως φέροντας πῦρ, ἄρα οὐκ ἦν παρὰ ταῖς ναυσὶ Πρωτεσιλάου. Ὁ Ἥρως ἵστατο πρὸ πολλοῦ χρόνου ἐπὶ τῆς πρύμνης τοῦ πλοίου καὶ οὐχὶ ἀταράχως ἑώρα τὰ κατὰ τὴν μάχην ἐν τῷ πεδίῳ, πρὸ τῆς ὑποχωρήσεως τῶν Ἑλλήνων εἰς τὰ πλοῖα· πῶς οὖν ἠδύνατο μένειν ἀπαθὴς καὶ μὴ ἐλθεῖν αὐτὸς εἰς τὴν μάχην ἂν ὄντως τὸ πῦρ ἔκαιε παρ' αὐτῷ τὸ Πρωτεσιλάου πλοῖον;

Ὁ Πάτροκλος μετὰ τῶν Μυρμηδόνων ἀφικνεῖται εἰς

τον ἦν αὐτῷ ἰδεῖν τοὺς μαχομένους καὶ διακρίναι τὴν φωνὴν ἑκάστου. Τὸ «ἔκλυον» οὖν ἐστὶν ἀριθμοῦ πληθυντικοῦ ἀναφερόμενον εἰς τοὺς Τρῶας. Ὁ Ἀχιλλεὺς μαθὼν παρὰ Πατρόκλου τὰ τραύματα Τυδείδου καὶ Ἀγαμέμνονος, ἐξηγεῖ διατὶ οἱ Τρῶες μάχονται νῦν πρὸ τοῦ Ἑλληνικοῦ Στρατοπέδου (νῦν δὲ στρατὸν ἀμφιμάχονται) «πρῶτον ἐπειδὴ ὁ Διομήδης οὐκ ἠδύνατο πολεμεῖν, καὶ δεύτερον ἐπειδὴ οἱ Τρῶες οὐκ ἤκουον πλέον τῆς φωνῆς Ἀτρείδου, ἀλλὰ μόνον Ἕκτορος ἡ φωνὴ ἠκούετο διατάττοντος τοῖς Τρωσί».

τὴν μάχην (1) καὶ φονεύει παρὰ τῇ νηῒ Πρωτεσιλάου τὸν Πυραίχμην. Τὸ πῦρ ἀπωθεῖται ἀπὸ τῶν πλοίων (Π, 130-302) (2). Ὁ Πάτροκλος φονεύει τὸν Ἀρηΐλυκον, ὁ Μενέλαος τὸν Θόαντα, ὁ Φυλείδης τὸν Ἄμφικλον, ὁ Ἀντίλοχος τὸν Ἀτύμνιον, ὁ Θρασυμήδης τὸν Μάριν, ὁ Μηριόνης τὸν Ἀκάμαντα, ὁ Ἰδομενεὺς τὸν Ἐρύμαντα. Ὁ Ἕκτωρ φεύγων διαβαίνει τὴν Τάφρον, πολλοὶ δὲ μετ' αὐτὸν φεύγουσιν ἀτάκτως (Π, 303-371).

Πάτροκλος δὲ προσβαλὼν τὰς πρώτας φευγούσας φάλαγγας, στρέφεται πρὸς τὰ πλοῖα καὶ κωλύει τοὺς Τρῶας τῆς πρὸς τὴν πόλιν φυγῆς, φονεύων αὐτοὺς μεταξὺ τῶν πλοίων, τοῦ Ποταμοῦ καὶ τοῦ ὑψηλοῦ τείχους·

« Πάτροκλος δ' ἐπεὶ οὖν πρώτας ἐπέκερσε φάλαγγας,
» ἂψ ἐπὶ νῆας ἔεργε παλιμπετές, οὐδὲ πόληος
» εἴα ἱεμένους ἐπιβαινέμεν ἀλλὰ μεσηγὺ
» νηῶν καὶ ποταμοῦ καὶ τείχεος ὑψηλοῖο
» κτεῖνε μεταΐσσων . . . »

Π, 394-398.

Διὰ τοῦ Πατροκλείου τούτου στρατηγήματος, ὡς καὶ ἐν τοῖς περὶ Σκαμάνδρου εἴπομεν, ὁ Ποιητὴς δεικνύει ὅτι

(1) Ἡ Πατρόκλου καὶ Μυρμιδόνων πορεία δεικνύεται ἐπὶ τοῦ Πίνακος Β, διὰ τῆς γραμμῆς ΧΧ'.

(2) Ὁ Πάτροκλος καὶ οἱ Μυρμιδόνες ἦλθον εἰς τὴν μάχην βαδίσαντες παρὰ τὰς νῆας καὶ μὴ ὁρώμενοι ὑπὸ τῶν Τρώων. Ἐλθόντες δ' ἀπέναντι τοῦ χώρου ἔνθα ἡ μάχη ἐγίνετο εἰσεχώρησαν διὰ τῶν διόδων τῶν καθέτως ἀπὸ τοῦ αἰγιαλοῦ εἰς τὸ πεδίον ἀγουσῶν καὶ ἐφάνησαν αἴφνης πρὸ τῶν ἐχθρῶν· τοῦτο σημαίνει τὸ « ἐκ νηῶν ἐχέοντο ».

καὶ ἐπὶ τῶν Τρωϊκῶν ἡ πρὸς τὰ κάτω τοῦ πεδίου ροὴ Σκαμάνδρου καὶ αἱ ἐκβολαὶ αὐτοῦ ἦσαν ὅπως καὶ νῦν παρὰ τὸ Σίγειον ἄκρον, ἐπὶ τὰ δεξιὰ τοῦ λιμένος καὶ τοῦ Ἑλληνικοῦ Στρατοπέδου (1).

Ὁ Πάτροκλος φονεύει ἐνταῦθα τὸν Πρόνοον, Θέστορα, Ἐρύαλον, Ἐρύμαντα, Ἀμφοτερόν, Ἐπάλτην, Τληπόλεμον, Ἐχίον, Πύριν, Ἰφέα, Εὐίππον καὶ Πολύμηλον. Ὁ Σαρπηδὼν ἔρχεται κατὰ Πατρόκλου, ὅστις φονεύει τὸν Θρασύμηλον θεράποντα Σαρπηδόνος· ὁ δὲ Σαρπηδὼν τιτρώσκει μὲν τὸν Ἀχίλλειον ἵππον Πήδασον, ἀλλὰ φονεύεται ὑπὸ Πατρόκλου (Π, 399-505).

Μάχη ἰσχυρὰ συνάπτεται ἐπὶ τοῦ νεκροῦ Σαρπηδόνος· οἱ Τρῶες πιέζουσι τοὺς Ἕλληνας, ὁ Ἕκτωρ φονεύει τὸν Ἐπειγέα δι' ὃν λυπηθεὶς ὁ Πάτροκλος, ὁρμᾷ κατὰ τῶν Τρώων καὶ φανεύει τὸν Σθενέλαον, οἱ Τρῶες φεύγουσιν· ὁ Γλαῦκος στραφεὶς φονεύει τὸν διώκοντα αὐτὸν Βαθυκλέα, ὁ δὲ Μηριόνης τὸν Λαόγονον. Ὁ Ἕκτωρ γνοὺς τὴν Διὸς θέλησιν φεύγει ἐπὶ δίφρου ἐπωτρύνων καὶ τοὺς ἄλλους εἰς φυγήν. Οἱ Ἕλληνες ἀφαιροῦσιν ἀπὸ τοῦ νεκροῦ Σαρπιδόνος τὰ ὅπλα (Π, 506-665).

Ὁ Πάτροκλος διώκει τοὺς Τρῶας μέχρι τῆς πόλεως καὶ φονεύει τὸν Ἄδρηστον, Αὐτόνοον, Ἔχεκλον, Πέριμον, Ἐπίστορα, Μελάνιππον, Ἔλασον, Μούλιον καὶ

(1) Ἐπὶ τοῦ Πίνακος Β, γράφομεν τὸν στίχον «νηῶν καὶ ποταμοῦ καὶ τείχεος ὑψηλοῖο» τὸν ἐξηγοῦντα τὰ ἄνω λεχθέντα.

Πυλάρτην. Μετὰ δὲ ταῦτα ὁ Πάτροκλος προσβάλλει τρὶς τὸ Ἰλίου τεῖχος ἀλλ' ἀπωθεῖται ὑπὸ τοῦ Ἀπόλλωνος (Π, 666-711) (1). Ὁ Ἕκτωρ ἐπανέρχεται ἀπὸ τῶν Σκαιῶν Πυλῶν· ὁ Κεβριόνης φονεύεται ὑπὸ Πατρόκλου, μεγάλη δὲ μάχη γίνεται ἐπὶ τοῦ νεκροῦ Κεβριόνου περὶ Μεσημβρίαν. Μετὰ δὲ τὴν Μεσημβρίαν οἱ Ἕλληνες ὑπερτερήσαντες ἀφήρεσαν τὰ τοῦ νεκροῦ ὅπλα·

« ὄφρα μὲν ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει,
» τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, πίπτε δὲ λαός·
» ἦμος δ' ἠέλιος μετενίσσετο βουλυτόν δε,
» καὶ τότε δή ῥ' ὑπὲρ αἶσαν Ἀχαιοὶ φέρτεροι ἦσαν (2) ».

Π, 777 - 782.

(1) Ἡ φυγὴ Τρώων καὶ ἡ Πατρόκλου πρόοδος πρὸς Ἴλιον σημειοῦται διὰ τῆς αὐτῆς γραμμῆς Ο'' Ο''' Π' Π''.

(2) Πολλοῖς ἔδοξε τὰ κατὰ τὴν ἡμέραν ταύτην συμβάντα χρήζειν χρόνου πλειόνος τοῦ ἐν μιᾷ ἡμέρᾳ. Ἀλλ' ὡς εἴπομεν ἀλλαχοῦ, τὰ ἐν Ἰλιάδι ἐκτελοῦνται κατὰ τὰς μακροτέρας τοῦ ἔτους ἡμέρας. Τὰ περιγραφόμενα οὖν ἐν ταῖς Ραψωδίαις Λ, Μ, Ν, Ξ, Ο, Π, Ρ, καὶ μέρει τῆς Σ, (μέχρι 242ου στίχου) συμβαίνουσιν ἐν ἡμέρᾳ ἐχούσῃ ὥρας πεντεκαίδεκα, ἀπὸ τῆς 1ης πρωϊνῆς ἢ καὶ πρότερον («ἄσβεστος δὲ βοὴ γένετ' ἠῶθι πρὸ» Λ, 50) «μέχρι τῆς 7ης μετὰ Μεσημβρίαν «Ἠέλιος μὲν ἔδυ, παύσαντο δὲ δῖοι Ἀχαιοὶ» Σ, 241. Διαιρεῖ δ' ὁ Ποιητὴς τὴν ἡμέραν ταύτην εἰς δύο διαιρέσεις, ἐξ ὧν ἡ πρώτη ἀρχομένη πρὸ τῆς Ἠοῦς, λήγει μετὰ Μεσημβρίαν ὅτε οἱ Ἕλληνες ὑπερτερήσαντες ἀφήρεσαν τὰ Κεβριόνου ὅπλα (Π, 777-782)· τοῦτο δὲ πιθανῶς συνέβη περὶ τὴν 2αν ὥραν μετὰ Μεσημβρίαν. Οὕτως ἡ μὲν πρώτη διαίρεσις περιλαμβάνει ὥρας δέκα (ἀπὸ τῆς 4ης Π. Μ. — τῆς 2ας Μ. Μ.), ἡ δὲ δευτέρα, πέντε μόνον ὥρας, ἀπὸ τῆς 2ας Μ. Μ. μέχρι ἡλίου δυσμῶν.

Καὶ τὰ μὲν ἐν τῇ δευτέρᾳ διαιρέσει συμβάντα οὐδεμίαν παρέχουσιν ἀμφισβήτησιν, ἅπαξ μόνον διανυομένου τοῦ ἀπὸ Ἰλίου εἰς Τάφρον διαστήματος. Καίτοι δὲ βάδην τῆς πορείας γινομένης καὶ τοῦ Πατροκλείου πτώματος μετὰ

Ὁ Πάτροκλος τρὶς ὁρμᾷ κατὰ Τρώων καὶ τρὶς ἐννέα φονεύει, ἐφορμήσας δὲ καὶ τέταρτον τιτρώσκεται ὑπ' Ἀπόλλωνος καὶ Εὐφόρβου, τέλος δὲ φονεύεται ὑφ' Ἕκτορος (Π, 783-862). Μετὰ τὸν Πατρόκλου θάνατον ὁ Ἕκτωρ διώκει τὸν Αὐτομέδοντα, ἀλλ' ἐάσας αὐτὸν κατὰ συμβουλὴν Ἀπόλλωνος, ἐπιστρέφει ἐπὶ τοῦ νεκροῦ Πατρόκλου (Π, 863-Ρ, 89). Ὁ Μενέλαος φονεύει τὸν Εὔφορβον, ἀλλ' ἰδὼν τὸν Ἕκτορα ἐρχόμενον ἀπομακρύνεται τοῦ νεκροῦ, εὑρίσκει τὸν Τελαμώνιον Αἴαντα μαχόμενον ἐπ' ἀριστερὰ τῆς μάχης

κινδύνων καὶ πόνων συρομένου ὑπὸ τῶν Ἑλλήνων, πέντε ὧραι ἀρκοῦσι πρὸς τοῦτο καὶ πρὸς τὴν μάχην τὴν ἐπὶ τοῦ νεκροῦ Πατρόκλου.

Ἡ ἀμφιβολία ὅθεν μένει ἐν τῇ πρώτῃ διαιρέσει. Αἱ ἀπ' ἀρχῆς τῆς Ραψωδίας Λ, μέχρι τοῦ 782 στίχου τῆς Ραψωδίας Π, πράξεις, εἰσὶν ἄραγε περιληπτέαι ἐν χρόνῳ ὡρῶν δέκα; αὗται καταναλίσκουσι στίχων χιλιάδας τέσσαρας, ὧν ἡ ἀπαγγελία ἀπαιτεῖ τὸν αὐτὸν περίπου χρόνον ὃν τὰ ἐν αὐτοῖς διηγούμενα ἀπήτησαν πρὸς ἐκτέλεσιν. Ἀλλὰ τοῦτο οὐ θαυμαστόν, τοῦ Ποιητοῦ περιγράφοντος μίαν μετὰ τὴν ἄλλην πράξεις συμβάσας συγχρόνως.

Οἱ Ἕλληνες κινηθέντες πρὸ τῆς Ἠοῦς καὶ διατρέξαντες μέρος τοῦ πεδίου συνεπλάκησαν πρὸς τοὺς Τρῶας (περὶ τὸ Κ.) καὶ ἐπολέμησαν μέχρι τῆς 8ης Π. Μ. (Λ, 1-18). Εἶτα θριαμβεύοντος Ἀγαμέμνονος, οἱ Ἕλληνες διατρέχουσι τὸ λοιπὸν τοῦ πεδίου, ἀπὸ τοῦ χώρου τῆς συμπλοκῆς μέχρι Ἄστεως (Λ, 89-283). Τρωθέντος δ' Ἀγαμέμνονος οἱ Ἕλληνες ὀπισθοποροῦντες μέχρι νηῶν διατρέχουσι τὸ δεύτερον, ἅπαν τὸ Τρωϊκὸν πεδίον. Τρίτον δέ, ἐλθόντος Πατρόκλου καὶ Μυρμιδόνων, οἱ Ἕλληνες διατρέχουσι πάλιν τὸ πεδίον ἅπαν. Ὡς δὲ εἴπομεν ἐν τοῖς περὶ Τρωϊκοῦ πεδίου, τὸ μεταξὺ Ἰλίου καὶ Ἑλληνικοῦ Στρατοπέδου ἦν περὶ τὰ ἐννεάκις χίλια μέτρα ἅπερ ἐφ' ἅρματος ἐν μιᾷ ὥρᾳ διατρέχονται. Ἐπειδὴ δὲ πολλοὶ ἦσαν οἱ πεζοὶ καὶ προσβολαὶ καὶ ἀντιστάσεις συνέβαινον καθ' ὁδόν, ὑπολογίζομεν ὥρας ὀκτὼ διὰ τὰς τρεῖς διανύσεις τοῦ πεδίου, δύο δὲ ὥρας διὰ τὰ ἐν ἀρχῇ τῆς μάχης συμβεβηκότα. Τὰ πάντα οὖν πιθανὰ φαίνονται· καὶ ὅλως γὰρ πεζαὶ στρατειαὶ πάλαι τε καὶ νῦν ἐν ἴσῳ χρόνῳ μείζονας ἀποστάσεις διέτρεξαν.

« τὸν δὲ μάλ' αἶψ' ἐνόησε μάχης ἐπ' ἀριστερὰ πάσης »
P, 116.

καὶ μετ' αὐτοῦ ἐπιστρέφει εἰς τὸν Πατρόκλου νεκρόν (1). Ὁ Ἕκτωρ ἀναχωρεῖ ἀναβὰς ἐπὶ δίφρου καὶ πέμψας τ' Ἀχίλλεια ὅπλα εἰς Ἄστυ· ὁ Γλαῦκος κατακρίνει τὸν Ἕκτορα ὃς αἰσχυνθεὶς ἐπανέρχεται εἰς τὴν μάχην (P, 128-235). Ὁ δὲ Μενέλαος, προτροπῇ Αἴαντος, κράζει εἰς βοήθειαν τοὺς συνεταίρους· ὁ τάχυς Αἴας, ὁ Ἰδομενεύς, ὁ Μηριόνης καὶ πολλοὶ ἄλλοι τρέχουσιν εἰς τὸν νεκρὸν Πατρόκλου. Ἀλλ' οἱ Τρῶες ἀπωθοῦσιν ἐπὶ σμικρὸν τοὺς Ἕλληνας καὶ ὁ Ἱππόθοος εἷλκεν ἤδη τὸ πτῶμα ἀπὸ τοῦ ποδός, ἀλλ' ὁ πελώριος Αἴας ἐπανελθὼν φονεύει αὐτὸν καὶ διασκεδάζει τὰς φάλαγγας τῶν Τρώων. Ὁ Ἕκτωρ ἀκοντίζει κατὰ τοῦ Αἴαντος καὶ ἁμαρτάνει μὲν αὐτοῦ φονεύει δὲ τὸν Σχεδίον. Ὁ Αἴας φονεύει τὸν Φόρκυνα· οἱ πρόμαχοι Τρῶες ὑποχωροῦσι μετὰ Ἕκτορος· ἀλλ' ἐπανέρχονται εὐθύς, τοῦ Ἀπόλλωνος ἐπωτρύναντος τὸν Αἰνείαν ὃς καὶ φονεύει τον Λειώκριτον, ὁ δὲ Λυκομήδης τὸν Ἀπισάονα. Μόνοι οἱ Νεστορίδαι Θρασυμήδης καὶ Ἀντίλοχος ἠγνόουν τὸν Πατρόκλου θάνατον μαχόμενοι μακρὰν τῶν ἄλλων κατὰ τὴν δοθεῖσαν αὐτοῖς ὑπὸ

(1) P, 90-127. Ἄρα ὁ Πάτροκλος ἐφονεύθη κατὰ τὸ Κέντρον ἢ τὸ δεξιὸν Κέρας τῶν Ἑλλήνων, μαχομένων ὑπὸ Ἴλιον.

τοῦ πατρὸς συμβουλήν (1). Ὁ Ἀχιλλεὺς ὁμοίως ἠγνόει ἔτι τὸν θάνατον τοῦ φίλου Πατρόκλου, τῆς μάχης γινομένης μακρὰν τῶν νηῶν ὑπὸ τὸ τεῖχος Ἰλίου (Ρ384-404)·

« . . οὐδ' ἄρα πώτι
» ᾔδεε Πάτροκλον τεθνηότα δῖος Ἀχιλλεύς·
» πολλὸν γαρ' ἀπάνευθε νηῶν μάρναντο θοάων,
» τείχει ὕπο Τρώων ».

Ὁ Αὐτομέδων περιφέρεται ἐν τῷ ὁμίλῳ ἐπὶ τοῦ Ἀχιλλείου ἅρματος, ἀπαντήσας δὲ τῷ Ἀλκιμέδοντι δίδει αὐτῷ τὰς ἡνίας καὶ μάχεται πεζός. Ἕκτωρ δὲ ἰδὼν τὸ ἅρμα Ἀχιλλέως κράζει τὸν Αἰνείαν καὶ ἀμφότεροι βαίνουσι κατ' Αὐτομέδοντος μαχομένου πρὸ τῶν Ἀχιλλείων ἵππων. Καὶ Αὐτομέδων δὲ κράζει πρὸς βοήθειαν τοὺς Αἴαντας καὶ Μενέλαον, εἰπὼν αὐτοῖς ἐπιτρέψατε τὸν νεκρὸν τοῖς ἀρίστοις, ὑμεῖς δὲ ἀμύνετε ἡμῖν τοῖς ζῶσιν (2). Ὁ Αὐτομέδων φονεύει τὸν Ἄρητον,

(1) Ρ, 304-383. Οἱ Νεστορίδαι, ὡς κατωτέρω λεχθήσεται, ἐμάχοντο πρὸς τὴν ἐσχατιὰν τοῦ Ἀριστεροῦ Κέρατος· ἐκεῖ ὁ Μενέλαος εὑρήσει τὸν Ἀντίλοχον καὶ πέμψει ἀγγελοῦντα τῷ Ἀχιλλεῖ τὸν Πατρόκλου θάνατον·

(2) Ρ, 405-511. Κατὰ τὴν περιγράφὴν τῆς ἐπὶ τοῦ νεκροῦ Πατρόκλου μάχης, ὁ Πάτροκλος πρὸς τὸ δεξιὸν τῶν Ἑλλήνων Κέρας ἔπεσεν. Ἴδομεν γὰρ πῶς ὁ Μενέλαος φοβηθεὶς τὸν Ἕκτορα ἀπεμακρύνθη τοῦ νεκροῦ καὶ εὑρὼν τὸν Τελαμώνιον Αἴαντα ἐπὶ τ' ἀριστερὸν Κέρας ἐπανῆλθε μετ' αὐτοῦ εἰς τὸν νεκρὸν (Ρ, 89-124). Οἱ δὲ Νεστορίδαι, ὡς μαχόμενοι ἐπὶ τ' ἀριστερὰ (Ρ, 679-683), ἠγνόουν τὸν Ποτρόκλου θάνατον. Αὐτομέδων δὲ ἐπὶ τοῦ ἅρματος περιφέρεται ἐπὶ τὰ δεξιὰ τοῦ νεκροῦ, πρὸς τοὺς λόφους ἐρινεῶν. Ἕκτορος δὲ καὶ Αἰνείου ἐκεῖσε ἐλθόντων καὶ τοῦ Αὐτομέδοντος ἐκεῖσε καλέσαντος Αἴαντας καὶ Μενέλαον, ὁ Πατρόκλου νεκρὸς εὑρέθη, οὕτως εἰπεῖν, ἐν τῷ Κέντρῳ τῆς μάχης.

Ἕκτωρ δὲ καὶ Αἰνείας, φοβηθέντες τοὺς εἰς βοήθειαν Αὐτομέδοντι ἐρχομένους, ὑπεχώρησαν (Ρ, 512-536). Τότε ὁ Μενέλαος ἐπανέρχεται ἐπὶ τοῦ νεκροῦ καὶ φονεύει τὸν Ποδῆν, ἀλλ' ἐπανελθόντος καὶ τοῦ Ἕκτορος οἱ Ἕλληνες ἐφοβήθησαν (Ρ, 537-596). Πρῶτος ὁ Πηνέλεος ἐφοβήθη βληθεὶς ὑπὸ Πολυδάμαντος. Ὁ Ἕκτωρ βάλλει τὸν Λήϊτον, Ἰδομενεὺς δὲ μένων καὶ μαχόμενος περὶ τὸν νεκρόν, βάλλει τὸν Ἕκτορα ἀλλὰ τὸ δόρυ συντρίβεται. Ὁ Ἕκτωρ ἀκοντίζει κατὰ Ἰδομενέως ἀλλ' ἀντ' αὐτοῦ φονεύει Κοίρανον ἡνίοχον Μηριόνου. Ὁ Ἰδομενεύς, πεσόντος τοῦ Κοιράνου, ἀναβαίνει ἐπὶ τοῦ ἅρματος καὶ ἀναχωρεῖ εἰς τὰ πλοῖα (1).

Ὁ Αἴας ἀναγνωρίσας τὴν Διὸς ὑπὲρ Τρώων ἐνέργειαν, παραγγέλλει τῷ Μενελάῳ εὑρεῖν καὶ πέμψαι τῷ Ἀχιλλεῖ τὸν Ἀντίλοχον ἀγγελοῦντα τὸν Πατρόκλου θάνατον. Ὁ Μενέλαος ἀναχωρεῖ καὶ τρέχων πανταχόσε, εὑρίσκει τὸν Ἀντίλοχον πολεμοῦντα κατὰ τ' ἀριστερὰ πάσης τῆς μάχης·

« μάχης ἐπ' ἀριστερὰ πάσης ».

Ρ, 682.

(1) Ρ, 597-625). Εἶπε δὲ ἀλλαχοῦ ὁ Ποιητὴς τὸν Ἰδομενέα ἐκ μὲν τοῦ συστάδην μάχεσθαι ἀνδρείως οὐκ ἔχειν δὲ ἐμπέδους τοὺς πόδας (Ν, 509-517). Φονευθέντος οὖν τοῦ ἡνιόχου Κοιράνου, ὁ μὲν Μηριόνης ὡς νεώτερος μένει πεζὸς ἐν τῇ μάχῃ. Ἰδομενεὺς δὲ σώζεται ἐφ' ἅρματος πρὸ τῆς προορωμένης κινδυνώδους ὑποχωρήσεως.

Ὁ Ἀντίλοχος σφόδρα ἐλυπήθη ἀκούσας τὸν θάνατον Πατρόκλου καὶ μετὰ δακρύων τρέχει πεζὸς εἰς Ἀχιλλέως (1). Μενέλαος δὲ ἐπιστρέφει πρὸς τὰ δεξιὰ εἰς τοὺς Αἴαντας ὑπερασπιζομένους τὸν νεκρόν.

Ἐπανελθόντος οὖν Μενελάου, Αἴας λέγει αὐτῷ καὶ τῷ Μηριόνῃ «ἀείρατε τὸν νεκρὸν καὶ φέρετε ἐκτὸς τῆς μάχης, ἡμεῖς δ' ὄπισθεν πολεμήσομεν» (Ρ, 702-716). Οὕτω δή, τῶν μὲν Ἑλλήνων πρὸς τὰ πλοῖα βαινόντων, τῶν δὲ Τρώων ἑπομένων, ὁ νεκρὸς μετὰ πολλῶν πόνων φέρεται παρὰ τῇ Τάφρῳ (2). Ὁ Ἀχιλλεὺς μανθάνει τὴν λυπηρὰν ἀγγελίαν παρ' Ἀντιλόχου καθ' ἣν στιγμὴν ἑώρα τεταραγμένος τὴν Ἑλλήνων ὑποχώρησιν, λαμβάνει τὴν αἰγίδα Ἀθηνᾶς καὶ ἔρχεται ἐπὶ τῆς Τάφρου·

« στῆ δ' ἐπὶ τάφρου ἰὼν ἀπὸ τείχεος ».
Σ, 215.

Ἡ ἄφιξις τοῦ Πηλείδου φοβίζει τοὺς ἐχθρούς· δώδεκα ἐκ τῶν ἀρίστων Τρώων ἀπόλλυνται, οἱ δ' ἄλλοι ὑποχωροῦσιν (3).

Οἱ Ἕλληνες ἀναπνέουσι καὶ τιθέασι τὸν νεκρὸν ἐν φε-

(1) Ρ, 683-701. Οἱ οὖν Νεστορίδαι ἠγνόουν τὸν θάνατον Πατρόκλου διὰ τὸ μάχεσθαι πρὸς τὸ ἀριστερὸν τῶν Ἑλλήνων Κέρας, ἄρα ὁ Πάτροκλος πρὸς τὸ δεξιὸν ἐφονεύθη Κέρας. Εἰκότως δ' ἐκλέγεται Ἀντίλοχος, ὢν ταχύπους καὶ φίλος Ἀχιλλεῖ.

(2) Ρ, 718-Σ, 169. Ἡ πορεία αὕτη σημειοῦται διὰ τῆς γραμμῆς Π'', Π''', Π''''.

(3) Γραμμὴ Π'''' Ζ'. Περὶ τὸ Ζ', οἱ Τρῶες πάλιν διανυκτερεύουσι.

ρέτρῳ. Ὁ Ἀχιλλεὺς θερμὰ χέει δάκρυα ἐπ' αὐτοῦ, ὁ ἥλιος δύει, ἡ μάχη παύει. (Σ, 170-242).

Ἐφονεύθησαν δὲ κατὰ τὴν Τρίτην Μάχην ἐκ μὲν τῶν Τρώων ὀκτὼ καὶ ἐννενήκοντα ὀνομαστὶ λεγόμενοι. Ἐκ τούτων ἐννέα εἰσὶν ἀρχοὶ τοῦ Καταλόγου, Ἄντιφος, Ἄσιος Ὑρτακίδης, Ἀρχέλοχος, Πυραίχμης, Ἀκάμας, Σαρπηδών, Ἄδρηστος, Κεβριόνης καὶ Ἱππόθοος. Πρὸς δὲ τούτοις εἷς καὶ πεντήκοντα ἀνώνυμοι, ἤγουν δυωκαίδεκα ὑπὸ Τελαμωνίου Αἴαντος, ἑπτὰ καὶ εἴκοσι ὑπὸ Πατρόκλου, καὶ δυωκαίδεκα φανέντος τοῦ Ἀχιλλέως ἐπὶ τῆς Τάφρου. Ἐτρώθησαν δὲ Ἕκτωρ, Δηϊοπύτης, Γλαῦκος, Δηΐφοβος, Ἕλενος, Πάνδοκος, Λύσανδρος, Πύρασος, Πυλάρτης, Ἱππόμαχος. Ἐκ δὲ τῶν Ἑλλήνων ἐφονεύθησαν μὲν ἓξ καὶ τριάκοντα, ἐν οἷς ἓξ ἀρχοὶ τοῦ Καταλόγου, Ἀμφίμαχος, Ἀσκάλαφος, Προθοήνωρ, Μέδων, Κλονίος, Σχεδίος, ἕβδομος δὲ Πάτροκλος μὴ ὢν ἐκ τῶν τοῦ Καταλόγου. Ἐτρώθησαν δὲ Ἀγαμέμνων, Διομήδης, Ὀδυσσεύς, Μαχάων, Εὐρύπυλος, Πηνέλεως καὶ Λήϊτος.

ΤΑ ΜΕΤΑ ΤΗΝ ΜΑΧΗΝ.

Οἱ μὲν οὖν Τρῶες ὑποχωρήσαντες μένουσιν ἐπὶ τοῦ πεδίου ὄρθιοι, νήστεις καὶ σκέπτονται περὶ τοῦ πρακτέου·

ὁ δὲ φρόνιμος Πολυδάμας συμβουλεύει τοῖς Τρωσὶ μὴ μένειν τὴν νύκτα ἐπὶ τοῦ πεδίου ἀλλ' εἰς τὴν πόλιν ἰέναι·

« Ἄστυδε νῦν ἰέναι, μὴ μίμνειν Ἠῶ δῖαν
» ἐν πεδίῳ παρὰ νηυσίν· ἑκὰς δ' ἀπὸ τείχεος εἰμεν ».
Σ, 243-283.

Ἀλλ' Ἕκτωρ ἀνθίσταται τῇ συμβουλῇ Πολυδάμαντος, οἱ Τρῶες πείθονται αὐτῷ καὶ διανυκτερεύουσιν ἐπὶ τοῦ πεδίου. Οἱ Ἕλληνες θρηνοῦσι τὸν Πάτροκλον, ὁ δ' Ἥφαιστος νέαν κατασκευάζει πανοπλίαν τῷ Ἀχιλλεῖ (Σ, 284-617).

ΤΕΤΑΡΤΗ ΜΑΧΗ.

Ἡ περιγραφὴ τῆς Τετάρτης καὶ τελευταίας τῶν Μαχῶν ἄρχεται ἀπὸ τοῦ πρώτου στίχου τῆς Ραψῳδίας Τ, καὶ λήγει ἐν τῷ 58ῳ τῆς Ραψῳδίας Ψ.

« οἱ μὲν κακκείοντες ἔβαν κλισίην δε ἕκαστος ».

Ἡ Ἠὼς ἀναφαίνεται, ἡ Θέτις φέρει τὴν ὑπὸ Ἡφαίστου ποιηθεῖσαν πανοπλίαν τῷ Ἀχιλλεῖ. Ὁ Ἥρως ἔρχεται παρὰ τὴν ἠϊόνα καὶ ἐν πλήρει τῶν Ἑλλήνων ἀγορᾷ

κηρύττει τὴν παῦσιν τῆς αὐτοῦ μήνιδος· ἡ ἀγορὰ διαλύεται (Τ. 1-277). Οἱ Μυρμιδόνες φέρουσιν εἰς τὴν σκηνὴν Ἀχιλλέως τὰ ὑπ' Ἀγαμέμνονος ὑποσχεθέντα· ἡ δὲ Βρισηῒς ἰδοῦσα τὸν νεκρὸν Πατρόκλου θρηνεῖ. Οἱ Ἕλληνες γευματίζουσι καὶ ὁπλίζονται (Τ, 278-424). Οἱ Θεοὶ ἔρχονται εἰς τὴν μάχην, καὶ ἡ μὲν Ἀθηνᾶ ποτὲ μὲν παρὰ τὴν Τάφρον, ποτὲ δὲ ἐπὶ τῆς παραλίας ἱσταμένη ἐνθαρρύνει τοὺς Ἕλληνας· ὁ δ' Ἄρης ἐνθαρρύνει τοὺς Τρῶας τρέχων ποτὲ μὲν ἐπὶ τῆς Ἀκροπόλεως, ποτὲ δ' ἐπὶ Καλλικολώνῃ παρὰ τὸν Σιμόντα·

« Στᾶσ' (Ἀθηνᾶ) ὁτὲ μὲν παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός,
» ἄλλοτ' ἐπ' ἀκτάων ἐριδούπων μακρὸν ἀΰτει·
» αὖε δ' Ἄρης ἑτέρωθεν ἐρεμνῇ λαίλαπι ἶσος,
» ὀξὺ κατ' ἀκροτάτης πόλιος Τρώεσσι κελεύων,
» ἄλλοτε πὰρ Σιμόεντι θέων ἐπὶ Καλλικολώνῃ (1) ».

Ἀλλὰ μετ' οὐ πολὺ οἱ θεοὶ ἀπομακρύνονται τῆς μάχης καὶ οἱ μὲν ὑπὲρ τῶν Ἑλλήνων μαχόμενοι, πορεύονται εἰς τὸ Ἡρακλέους τεῖχος, οἱ δὲ ὑπὲρ τῶν Τρώων ἐπὶ τῶν ὀφρύων Καλλικολώνης·

(1) Υ, 1-53. Τὰ ἔπη τὰ δεικνύοντα τὸ κατάλληλον τῶν κινήσεων Ἀθηνᾶς καὶ Ἄρεως σημειοῦνται ἐπὶ τοῦ Πίνακος Β, τὰ μὲν περὶ Ἀθηνᾶς κατὰ τὴν ἀριστερὰν ἐσχατιὰν τοῦ Ἑλληνικοῦ Στρατοπέδου, τὰ δὲ περὶ Ἄρεως μεταξὺ τῆς κοίτης Σκαμάνδρου καὶ τῶν λόφων Καλλικολώνης. Ἀμφότεραι δ' αἱ περικοπαὶ φέρουσι πρὸ αὐτῶν τὸ σημεῖον τῆς Τετάρτης Μάχης †.

« Ὣς ἄρα φωνήσας ἡγήσατο Κυανοχαίτης
» τεῖχος εἰς ἀμφίχυτον Ἡρακλῆος θείοιο,
» οἱ δ' ἑτέρωσε κάθιζον ἐπ' ὀφρύσι Καλλικολώνης
» ἀμφὶ σὲ Ἤιε Φοῖβε καὶ Ἄρηα πτολίπορθον (1) ».

Ἡ μάχη ἄρχεται (2) ὁ Αἰνείας συναντηθεὶς τῷ Ἀχιλλεῖ ἐκφέρεται τῆς μάχης ὑπὸ Ποσειδῶνος· ὁ Ἀχιλλεὺς ὁρμᾷ κατὰ τῶν Τρῴων, ὁ δ' Ἕκτωρ φοβούμενος τὸν Ἀχιλλέα μάχεται ἐν τῷ ὁμίλῳ οὐχὶ ἐν τοῖς προμάχοις. Ὁ Ἀχιλλεὺς φονεύει τὸν Ἰφιτίωνα, τὸν Δημολέοντα, τὸν Ἱπποδάμαντα, τὸν Πολύδωρον (Υ, 153 - 418). Ὁ Ἕκτωρ ἰδὼν τὸν ἀδελφὸν Πολύδωρον οἰκτρῶς κείμενον προχωρεῖ πρὸς τὸν Ἀχιλλέα καὶ ρίπτει κατ' αὐτοῦ τὸ δόρυ· ὁ δ' Ἀχιλλεὺς ὁρμᾷ τρὶς κατὰ Ἕκτορος ἀλλ' εἰς μάτην. Ἐᾷ τοίνυν αὐτὸν καὶ φονεύει τὸν Δρύοπα, Δημοῦχον, Λαόγονον, Δάρδανον, Τρῶα, Μούλιον, Ἔχεκλον, Δευκαλίωνα, Ρίγμον καὶ Ἀρηΐθοον (Υ, 419 - 503).

(1) Υ. 54 - 152. Οἱ τὰς διευθύνσεις τῶν θεῶν ἐξηγοῦντες στίχοι σημειοῦνται ἐπὶ τοῦ Πίνακος Β, φέροντες καὶ αὐτοὶ τὸ σημεῖον τῆς Τετάρτης Μάχης †. Οἱ μὲν σύμμαχοι τῶν Ἑλλήνων θεοὶ ἀπὸ τοῦ Σ, ἤτοι ἀπὸ τῆς συναντήσεως τῶν δύω στρατῶν ἄγουσι πρὸς τὸ Ἑλληνικὸν Στρατόπεδον (ἀγνώστου οὔσης τῆς θέσεως τοῦ τείχους Ἡρακλέους), οἱ δὲ σύμμαχοι τῶν Τρῴων πορεύονται πρὸς τοὺς κνημοὺς Καλλικολώνης.

(2) Αἱ στρατηγικαὶ κινήσεις τῆς Τετάρτης Μάχης σημειοῦνται ἐπὶ τοῦ Πίνακος Β, διὰ διπλῆς μελαίνης γραμμῆς. Ἡ συνάντησις καὶ ἡ ἀρχὴ τῆς Μάχης ὑποτίθεται γενέσθαι περὶ τὸ Σ, τῶν μὲν Τρῴων ἀπὸ τοῦ νυκτερινοῦ, τῶν δ' Ἑλλήνων ἀπὸ τοῦ αὐτῶν μονίμου Στρατοπέδου κινηθέντων. Ἀπὸ τοῦ Σ, ἡ μάχη, ἢ μᾶλλον ἡ Ἀχιλλέως θριαμβευτικὴ πορεία προβαίνει εἰς Σ′ Τ Τ′ Τ″ πρὸ τῶν Σκαιῶν Πυλῶν, ἐκεῖθεν δὲ εἰς τὰς Δύο Πηγάς, ἔνθα Ἕκτωρ φονεύεται. Τὰ πρὸς ἐξήγησιν ἔπη φέρουσι πρὸ αὐτῶν τὸ σημεῖον †.

Οἱ Τρῶες διωκόμενοι ἀφικνοῦνται εἰς τὴν Σκαμάνδρου διάβασιν· ὁ Ἀχιλλεὺς χωρίζει αὐτοὺς εἰς δύο ἅμα διαβάντας τὸν Ποταμόν, καὶ τοὺς μὲν διώκει εἰς τὸ πεδίον, πρὸς τὴν πόλιν, ἔνθα τὴν προτεραίαν ὁ Ἕκτωρ ἐμαίνετο κατὰ τῶν Ἑλλήνων, τοὺς δ'ἑτέρους ἡμίσεις ὠθεῖ εἰς τὸν Ποταμόν·

« Ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐϋρρεῖος ποταμοῖο
» ἔνθα διατμήξας, τοὺς μὲν πεδίονδε δίωκεν
» πρὸς πόλιν, ἧπερ Ἀχαιοὶ ἀτυζόμενοι φοβέοντο
» ἤματι τῷ προτέρῳ· ὅτε μαίνετο φαίδιμος Ἕκτωρ·
» ἡμίσεες δὲ
» ἐς ποταμὸν εἰλεῦντο βαθύρροον, ἀργυροδί-ην (1) »

Ὠθήσας οὖν τοὺς ἡμίσεις ἐν τῷ Ποταμῷ ὁ Ἀχιλλεύς, πηδᾷ ξιφήρης ἐν αὐτῷ, λαμβάνει δυοκαίδεκα Τρῶας καὶ πέμπει δεδεμένους εἰς τὰ πλοῖα (Φ, 9-33). Εἶτα ἐπανέρχεται εἰς τὸν Ποταμόν, ἀπαντᾷ τῷ Λυκάονι ὃν φονεύει καὶ ρίπτει ἐν τῷ ρεύματι· μετὰ δὲ τοῦτον φονεύει τὸν Ἀστεροπαῖον, Θερσίλοχον, Μύδωνα, Ἀστύπυλον, Μνῆσον, Θρασίον, Αἴνιον, Ὀφελέστην, πάντας Παίονας. Ὁ Σκάμανδρος ἐγείρεται κατ' Ἀχιλλέως. Ὁ Ἥρως πτο-

(1) Φ, 1-8. Τῷ ὄντι τὴν προτεραίαν ὁ Ἕκτωρ, ἐν τῇ μάχῃ τῇ γενομένῃ μεταξὺ Σήματος Ἴλου καὶ Σκαμάνδρου (κατὰ τὸ Μ), θριαμβεύσας κατεδίωξε τοὺς Ἕλληνας μέχρι τῆς Τάφρου (Λ, 497-596). Περὶ δὲ τοῦ στρατηγήματος, ἤγουν τῆς διατμήξεως τῶν Τρώων εἰς δύο, ἐλαλήσαμεν καὶ ἐν τοῖς περὶ Σκαμάνδρου. Δι' αὐτοῦ ἀπεδείξαμεν ὅτι καὶ ἐπὶ τῶν Τρωϊκῶν ὁ Σκάμανδρος ἔρρεεν ὡς καὶ νῦν ρέει, περὶ τὰ μέσα τοῦ Τρωϊκοῦ πεδίου.

Ἐπὶ τοῦ Πίνακος Β, σημειοῦνται κατὰ τὸ Σ, ἤτε εἰς δύο διάτμηξις καὶ τὰ ἔπη τὰ πρὸς ἐξήγησιν.

ειται καὶ ὑποχωρεῖ ἐξελθὼν τῆς κοίτης διὰ τῆς πτελέας ἥπερ ἅμα ληφθεῖσα ἐξεριζώθη καὶ ἔπεσεν ἐν τῷ παρὰ τὴν ὄχθην ρεύματι

« . . ὁ δὲ πτελέην ἕλε χερσὶν
» εὐφυέα, μεγάλην· ἡ δ' ἐκ ῥιζῶν ἐριποῦσα
» κρημνὸν ἅπαντα διῶσεν, ἐπέσχε δὲ καλὰ ῥέεθρα
» ὄζοισιν πυκινοῖσι· γεφύρωσε δέ μιν αὐτὸν
» εἴσω πᾶσ' ἐριποῦσ'· ὁ δ' ἄρ' ἐκ δίνης ἀνορούσας
» ἤιξεν πεδίοιο ποσὶ κραιπνοῖσι πέτεσθαι (1) ».

Μέχρι τοῦδε ὁ Σκάμανδρος μόνος ἀντέχει κατ' Ἀχιλλέως· ἐνθαρρυνθέντος δὲ πάλιν τοῦ Πηλείδου ὑπὸ Ποσειδῶνος καὶ Ἀθηνᾶς καὶ στραφέντος πρὸς τὸν ροῦν, τότε ὁ Σκάμανδρος κράζει τὸν Σιμόεντα πρὸς βοήθειαν. (Φ, 248 - 327).

» Φίλε κασίγνητε, σθένος ἀνέρος ἀμφότεροί περ
» σχῶμεν· ἐπεὶ τάχα ἄστυ μέγα Πριάμοιο ἄνακτος
» ἐκπέρσει, Τρῶες δὲ κατὰ μόθον οὐ μενέουσιν·
» ἀλλ' ἐπάμυνε τάχιστα καὶ ἐμπίπληθι ῥέεθρα
» ὕδατος ἐκ πηγέων, πάντας δ' ὀρόθυνον ἐναύλους·
» ἵστη δὲ μέγα κῦμα· πολὺν δ' ὀρυμαγδὸν ὄρινε
» φιτρῶν καὶ λάων ἵνα παύσομεν ἄγριον ἄνδρα ».
Φ, 308 - (2).

(1) Φ, 34 - 247. Αἱ Ἀχιλλέως πράξεις μόνον ἐν τῷ Μενδερὲ εἰσὶν ἐφαρμοστέαι ἔχοντι εὐρεῖαν τὴν κοίτην καὶ μένουσαν κατὰ μέγα μέρος ξηρὰν ἐν ὥρᾳ θέρους. Ὡς γὰρ εἴπομεν καὶ ἐν τοῖς περὶ Σκαμάνδρου ἡ πτελέα οὐ πᾶσαν τὴν κοίτην ἀλλὰ τὸ παρὰ τὴν ὄχθην μόνον ρεῦμα ἐγεφύρωσε. Μετ' οὐ πολὺ δὲ χολωθέντος τοῦ Σκαμάνδρου ἡ κοίτη ἅπασα ἐπληρώθη ὕδατος, ἀλλὰ τότε οὐ μία ἀλλ' οὔτε πεντήκοντα πτελέαι ἦσαν ἱκαναὶ γεφυρῶσαι κοίτην εὐρεῖαν πλέον τῶν ὀγδοήκοντα μέτρων.

(2) Ἂν ὁ Χὰν (Hahn) ὢν ἐν Τρῳάδι ἐμέμνητο τῶν ἐπῶν τῶν περιγραφόντων τὸν Σιμόεντα ὡς δεινὸν χείμαρρον, οὐκ ἔλεγε Σιμόεντα εἶναι τὸ ἐκ τῶν Πηγῶν ῥέον ἥσυχον ὕδωρ.

Ἐκ τῶν ἐπῶν τούτων φαίνεται ὅτι ἡ ἐν τῷ Ποταμῷ ἐπίθεσις Ἀχιλλέως κατὰ Τρώων γίνεται κάτωθεν τοῦ σύρρου Σιμόεντος καὶ Σκαμάνδρου, ἐπὶ τοῦ πόρου καὶ τῆς καμπῆς.

Ὁ Ἥφαιστος κατ' ἐντολὴν Ἥρας δαμάζει τὸν Σκάμανδρον· ἡ Ἀθηνᾶ τιτρώσκει τὸν Ἄρην καὶ τὴν Ἀφοδίτην· ἡ Ἥρα ἀφοπλίζει τὴν Ἄρτεμιν. Οἱ θεοὶ ἀπέρχονται εἰς Ὄλυμπον, ἐκτὸς τοῦ Ἀπόλλωνος ἐπιτηροῦντος τὸ Ἰλίου τεῖχος (Φ, 328 - 520).

Ὁ γηραιὸς Πρίαμος βλέπει ἀπὸ τοῦ πύργου τοῦ Ἄστεως τὸν Ἀχιλλέα διώκοντα τοὺς Τρῶας καὶ διαττάτει ἀναπετάσαι τὰς πύλας διὰ τὴν αὐτῶν σωτηρίαν.

Ἀλλ' ὁ Ἀπόλλων σώζει τὴν πόλιν ἀπὸ τοῦ κινδύνου, ἐξελθὼν τοῦ Ἄστεως καὶ ἐπωτρύνας τὸν Ἀγήνορα κατ' Ἀχιλλέως. Μεταστραφεὶς γὰρ ὁ Ἀγήνωρ, ἵσταται, περιμένει τὸν Ἀχιλλέα ἐπερχόμενον καὶ ἀκοντίζει κατ' αὐτοῦ (1). Ὁ Ἀχιλλεὺς ὁρμᾷ πρὸς αὐτόν, ἀλλ' ὁ Φοῖβος ἀπομακρύνας τὸν Ἀγήνορα, ἐξομοιοῦται αὐτῷ καὶ προσποιεῖται φεύγειν πρὸ τῶν ποδῶν Ἀχιλλέως πρὸς τὸν Σκάμανδρον· ἐν τῷ μεταξὺ δὲ χρόνῳ οἱ Τρῶες εὑρίσκουσι καιρὸν καὶ εἰσέρχονται εἰς τὸ Ἄστυ. (Φ, 521 - 611).

« Ἕως ὁ τὸν πεδίοιο διώκετο πυροφόροιο
» τρέψας πὰρ ποταμὸν βαθυδινήεντα Σκάμανδρον,
» τυτθὸν ὑπεκπροθέοντα· δόλῳ δ' ἄρ' ἔθελγεν Ἀπόλλων,

(1) Τοῦτο συμβαίνει περὶ τὸ Τ, ὅρα Πίνακα Β.

» ὡς αἰεὶ ἔλποιτο κιχήσεσθαι ποσὶν οἷσιν·
» τόφρ' ἄλλοι Τρῶες πεφοβημένοι ἦλθον ὁμίλῳ
» ἀσπάσιοι προτὶ ἄστυ· πόλις δ' ἔμπλητο ἀλέντων ».

Φ, 602 - (1).

Εἰσελθόντων δὲ τῶν Τρώων ἀσφαλῶς εἰς Ἴλιον, ὁ Ἀπόλλων ἀποκαλύπτεται τῷ Ἀχιλλεῖ οἰομένῳ τὸν Ἀγήνορα διώκειν. Ὁ Ἀχιλλεὺς παραπονεῖται διὰ τὴν ἀπάτην πρὸς τὸν Ἀπόλλωνα καὶ στρέφεται βαδίζων πρὸς τὸ Ἄστυ·

« ὡς εἰπὼν προτὶ ἄστυ μέγα φρονέων ἐδεδήκει (2) ».

Μόνος ὁ Ἕκτωρ ἔμεινεν ἐκτὸς τοῦ Τείχους, πρὸ τῶν Σκαιῶν Πυλῶν, αἰσχυνόμενος τοὺς Τρῶας καὶ τὸν Πολυδάμαντα τὸν συμβουλεύσαντα μὴ μένειν τὴν νύκτα ἐπὶ τοῦ πεδίου. Καὶ ἀποφασίζει μὲν ὁ Ἕκτωρ ἀντιωθῆναι τῷ Ἀχιλλεῖ ἐπερχομένῳ, ἰδὼν δὲ αὐτὸν πλησιάζοντα, φοβεῖται, φεύγει λιπὼν ὀπίσω τὰς Σκαιὰς Πύλας καὶ τρὶς περιτρέχει τὴν πόλιν διωκόμενος ὑπ' Ἀχιλλέως (Χ, 1 - 666).

(1) Ἡ διπλῆ γραμμὴ ΤΤ′ δεικνύει τὴν πρὸς τὸν Σκάμανδρον φυγὴν τοῦ Ἀγήνορος.

(2) Χ, 21. Κατὰ τὸ Τ′, Ἀχιλλεὺς ἀναγνωρίζει τὴν Ἀπόλλωνος ἀπατηλὴν πρᾶξιν. ἡ δὲ γραμμὴ Τ′Τ′′ δεικνύει τὴν Ἀχιλλέως πρὸς τὴν πόλιν ἐπιστροφήν.

« Ἕκτορα δ' ὡς ἐνόησεν, ἕλε τρόμος. οὐδ' ἄρ ἔτ' ἔτλη
» αὖθι μένειν ὀπίσω δὲ πύλας λίπε, βῆ δὲ φοβηθείς·
. . . .
» ὡς τὼ τρὶς Πριάμοιο πόλιν περιδινηθήτην
» καρπαλίμοισι πόδεσσιν . , . , ».

X, 136-166 (1).

Ἀφιχθεὶς δ' Ἕκτωρ τὸ τέταρτον εἰς τὰς Δύο Πηγάς, ἵσταται, προκαλεῖ τὸν Ἀχιλλέα καὶ φονεύεται ὑπ' αὐτοῦ· ὁ δὲ νεκρὸς Ἕκτορος φέρεται εἰς τὸ Ἑλληνικὸν Στρατόπεδον συρόμενος ὄπισθεν τοῦ ἅρματος τοῦ ἀδυσωπήτου Ἀχιλλέως (X, 167-515).

Ἐπανελθόντων δὲ τῶν Ἑλλήνων εἰς τὸ ἑαυτῶν Στρατόπεδον, οἱ Μυρμιδόνες μένουσι περὶ τὸν νεκρὸν Πάτροκλον καὶ θρηνοῦσιν. Ὁ Ἀχιλλεὺς συνοδεύεται ὑπὸ τῶν βασιλέων εἰς Ἀγαμέμνονος. Καὶ οἱ μὲν ἄλλοι δειπνήσαντες ἐκοιμήθησαν, ὁ δὲ Πηλείδης κεῖται βαριστενάζων ἐπὶ τῆς ἠϊόνος, μετὰ πολλῶν Μυρμιδόνων. Ὁ ὕπνος καταλαμβάνει αὐτὸν κεκμηκότα, ἡ δε Πατρόκλου ψυχὴ παριστᾶσα ἐξυπνίζει αὐτὸν (Ψ, 1-108). Τὴν δ' ὑστεραίαν κατὰ τὴν πρωΐαν γίνεται ἡ Πατρόκλου ταφή, μετὰ

(1) Ἐξηγήσαμεν ἀλλαχοῦ τὴν περιδίνησιν περὶ τὴν πόλιν ἅπασαν, οὐχὶ δὲ πρὸ τῆς πόλεως ὥς τινες τῶν ἀλλοδαπῶν εἶπον. Ἐπὶ τοῦ Πίνακος Β, ἡ διπλῆ γραμμὴ Τ′ Τ″ προεκτείνεται μέχρι τῶν Δύω Πηγῶν, εἶτα κάμπτεται καὶ ἄγει παρὰ τὸ Πέργαμον. Ἐκεῖθεν διὰ τοῦ ναὸς προεκτεινομένη πέριξ τοῦ ὅλου Ἰλίου καὶ ἐπανακαμπτομένη εἰς τὸ Τρωϊκὸν πεδίον μέχρι τῶν Δύω Πηγῶν, ποιεῖ τὸν κύκλον ὃν οἱ δύω ἥρωες διέτρεξαν.

δὲ τὴν ταφὴν ὁ Ἀχιλλεὺς χαριζόμενος τῷ πεσόντι φίλῳ τίθησιν ἀγῶνα διαρκέσαντα μέχρι τῆς ἑσπέρας (Ψ, 109 - Ω, 3).

Συμπεραίνομεν δέ, ὡς καὶ ἐν τοῖς περὶ Τύμβων ἐλέχθη, ἔκτε τῶν ἀγώνων καὶ τῆς ταφῆς, ὅτι ἡ ἀκτὴ ἐφ' ἧς Πάτροκλος ἐτάφη ἦν κατὰ τὸ ἀριστερὸν Κέρας τοῦ Ἑλληνικοῦ Στρατοπέδου, ἔνθα ἦσαν ἐστρατοπεδευμένοι Ἀχιλλεὺς μετὰ Μυρμιδόνων. Ὁ τοῦ Ροιτείου τοίνυν τύμβος ἐστιν ὁ ἀληθὴς τῶν δύω κλεινῶν φίλων τάφος.

Ἐν τῇ Τετάρτῃ Μάχῃ οὐδεὶς τῶν Ἑλλήνων ἐφονεύθη, ἐκ δὲ τῶν Τρώων, ὁ Ἀχιλλεὺς ἐφόνευσε μὲν τέσσαρας καὶ εἴκοσι, ἐν οἷς Ἕκτωρ, Πολύδωρος καὶ Λυκάων υἱοὶ Πριάμου, ἠχμαλώτισε δὲ δυωκαίδεκα οὓς ἔρριψεν ἐν τῇ πυρᾷ Πατρόκλου.

Μόνη δὲ μετὰ τὴν Τετάρτην Μάχην κίνησις ἀναπολοῦσα τὰς γνωστὰς ἡμῖν νῦν χώρας καὶ θέσεις ἔστιν ἡ Πριάμου εἰς Ἀχιλλέως πορεία. Ὁ γηραιὸς ἐξέρχεται τῆς πόλεως περὶ τὴν ἑσπέραν καὶ παρελάσας τὸν τάφον Ἴλου ἀφικνεῖται εἰς τὸν Ποταμὸν καὶ ποτίζει τοὺς ἡμιόνους καὶ ἵππους.

« Οἱ δ' ἐπεὶ οὖν μέγα σῆμα παρὲξ Ἴλοιο ἔλασσαν,
» στῆσαν ἄρ ἡμιόνους τε καὶ ἵππους ὄφρα πίοιεν
» ἐν ποταμῷ . . . .

Ὁ Ἑρμῆς ἐντυχὼν ἐπὶ τοῦ Σκαμάνδρου τῷ Πριάμῳ

ὁδηγεῖ αὐτὸν εἰς τὴν Ἀχιλλέως σκηνήν, οὔσης ἤδη νυκτός, διὰ τῆς Τάφρου καὶ τοῦ Τείχους, ἀποκοιμίσας τοὺς φύλακας καὶ ἀνοίξας τὰς πύλας·

« Ἀλλ' ὅτε δὴ πύργους τε νεῶν καὶ τάφρον ἵκοντο,
» οἱ δὲ νέον περὶ δόρπα φυλακτῆρες πονέοντο
» τοῖσι δ' ἐφ' ὕπνον ἔχευε διάκτορος Ἀργειφόντης,
» πᾶσιν ἄφαρ δ' ὤϊξε πύλας καὶ ἀπῶσεν ὀχῆας (1) ».

Καὶ πάλιν ἀπὸ τῆς σκηνῆς Ἀχιλλέως μέχρι τοῦ πόρου Σκαμάνδρου ὁ Ἑρμῆς συνώδευσε τὸν Πρίαμον φέροντα εἰς Ἄστυ τὸν νεκρὸν Ἕκτορος·

« Ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐϋρρεῖος ποταμοῖο,
» Ἑρμείας μὲν ἔπειτ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον ».

Ὁ Πρίαμος ἀφικνεῖται εἰς Ἴλιον ἅμα τῇ Ἠοῖ (Ω, 605). Ἐνταῦθα λήγουσιν αἱ Ἰλιάδος στρατηγικαὶ καὶ τοπογραφικαὶ κινήσεις. Οἱ δὲ ἀπολειπόμενοι στίχοι περιγράφουσι τὰ τῆς ταφῆς Ἕκτορος περὶ ἧς ἐν τοῖς περὶ τύμβων ἐλαλήσαμεν.

ΤΕΛΟΣ

(1) Ω, 443-459. Ἡ τοῦ Ἑρμοῦ σύμπραξις καὶ τὰ συμβάντα κατὰ τὴν Πριάμου πορείαν μαρτυροῦσι τὴν στρατιωτικὴν τάξιν καὶ τὴν διὰ νυκτὸς ἐπαγρύπνησιν τῶν Ἑλλήνων καί τοι νικητῶν ὄντων.

ΤΑ ΕΝ ΤΗι ΣΥΓΓΡΑΦΗι.

ΠΡΟΛΕΓΟΜΕΝΑ.

ΠΕΡΙ ΤΡΩΪΚΩΝ ΧΡΟΝΩΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

ΚΕΦΑΛΑΙΟΝ Β'.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

ΠΕΡΙ ΣΤΡΑΤΩΝ.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

ΙΛΙΑΔΟΣ ΣΤΡΑΤΙΩΤΙΚΟΙ ΚΑΙΡΜΟΙ.

ΔΙΟΡΘΩΤΕΑ.

Σελὶς 9, στίχος 5 ἀντὶ Ὑμεῖς γραπτέον Ἡμεῖς. — Σελ. 42, στ. 13 ἀντί, κατὰ κατά, γραπτ. κατά. — Σελ. 44, στ. 6 γραπτ. ἠμιπέλεκκα. — Σελ. 46, στ. 15 γραπτ. Ποσειδῶν. — Σελ. 62, στ. 8 ἀντί, μὸν γραπτ. μέν. — Σελ. 63, στ. 18 ἀντί, ἂς κατακρί- γραπτ. Κατακρί- — Σελ. 70, στ. 24 ἀντί, 707 γρ. 17- — Σελ. 72, στ. 25 γραπτ. Ὀδ. Ω. 413-420. — Σελ. 74, στ. 11 γραπτ. προσεκλήθη. — Σελ. 123, στ. 22 ἀντί, ἂς ριψωμεν γραπτ. ρίψωμεν. — Σελ. 124, στ. 1 ἀντί, ἂς διατρέξωμεν γραπτ. διατρέξωμεν. — Σελ. 127, στ. 4 γραπτ. κλισιάων. — Σελ. 128, στ. 19 ἀντί, ἂς ὁρίσωσι γρ. ὁρίσουσι. — Σελ. 133, στ. 2 ἀντὶ τοῦ ἂς γραπτ. δεῦτε. — Σελ. 142, στ. 14 γραπτ. πειρηθῶμεν. — Σελ. 142, στ. 20 γραπτ. μελέας. — Σελ. 151, στ. 7 γραπτ. ἀλλ' ὑποθέσωμεν. — Σελ. 177, στ. 21 γραπτ. Ἀχιλλεύς. — Σελ. 189, στ. 23 ἀντί, ἂς ἐφαρμώση γραπτ. ἐφαρμοσάτω. — Σελ. 190, στ. 12 ἀντί, ἂς γραπτ. , — Σελ. 206, στ. 9 ἀντί, ἂς ἐπανέλθωμεν γραπτ. ἐπανερχόμεθα. — Σελ. 242, στ. 14 ἀντί, ἂς ἐπαναλάβωμεν γραπτ. ἐπαναλαμβάνομεν. — Σελ. 243, στ. 14 ἀντί, ἂς ἐρευνήσωμεν γραπτ. ἐρευνήσωμεν. — Σελ. 245, στ. 19 γραπτ. ὁμοίως. — Σελ. 257, στ. 8 ἀντὶ ἂς ἀναγνώσωμεν γρ. ἀναγνώσωμεν. — Σελ. 260, στ. 15 γραπτ. πολεμούντων. — Σελ. 266, στ. 2-3 γραπτέον καθεῖσεν. — Σελ. 270, στ. 1 γραπτ. Ἀστυάνακτος. — Σελ. 272, στ. 1 γρ. ὀκτωκαίδεκα. — Σελ. 280, στ. 22 ἀντί, ἂς ἐξακολουθήσωμεν γραπτ. ἐξακολουθήσωμεν. — Σελ. 318, στ. 7 γραπτ. λεύσσω. — Σελ. 320, στ. 15 γραπτ. φονεύει. — Σελ. 322, στ. 14 γραπτ. ἆραγε. στ. 21 γραπτ. θριαμβεύοντος. στ. 31 γραπτ. πάλαι. — Σελ. 331, στ. 12 γραπτ. ἀργυροδίνην.

ΠΕΔ

.τά.



Ἀθῆναι Λιθ. Δ. Γαλανάκη & Σ^ας

ΠΙΝΑΞ Α.

ΕΛΛΗΝΩΝ ΣΤΡΑΤΟΠΕΔΟΝ ΠΑΡΑ ΤΟΝ ΕΛΛΗΣΠΟΝΤΟΝ

Κατάλογος τῶν νεῶν.

Ἔκτοσθεν δ' ἐλάσαντες ἐπ' αὐτῷ τάφρον ὀρύξαν εὐρεῖαν μεγάλην, ἐν δὲ σκόλοπας κατέπηξαν (Η 440)

Στῆ δ' ἐπ' Ὀδυσσῆος μεγακήτεϊ νηῒ μελαίνῃ,
ἥ ῥ' ἐν μεσσάτῳ ἔσκε γεγωνέμεν ἀμφοτέρωσε,
ἠμὲν ἐπ' Αἴαντος κλισίης Τελαμωνιάδαο,
ἠδ' ἐπ' Ἀχιλλῆος τοί ῥ' ἔσχατα νῆας ἐίσας,
εἴρυσαν, ἠνορέῃ πίσυνοι καὶ κάρτεϊ χειρῶν. (Θ. 222.)

ἔνθ' ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου (Ν 674–681)

1ον 'Αργοὺς αὖ νηῶν ἐρέω, νῆάς τε προπάσας ('Ιλ. Β. 493).
ΒΟΙΩΤΩΝ μὲν ΠΗΝΕΛΕΩΣ καὶ ΛΗΙΤΟΣ ἦρχον,
ΑΡΚΕΣΙΛΑΟΣ τε ΠΡΟΘΟΗΝΩΡ τε ΚΛΟΝΙΟΣ τε . . . .
τῶν μὲν ΠΕΝΤΗΚΟΝΤΑ νέες κίον· ἐν δὲ ἑκάστῃ
κοῦροι Βοιωτῶν ΕΚΑΤΟΝ καὶ ΕΙΚΟΣΙ βαῖνον.

2ον Οἳ δ' ΑΣΠΛΗΔΟΝΑ ναῖον ἰδ' ΟΡΧΟΜΕΝΟΝ Μινύειον,
τῶν ἦρχ' ΑΣΚΑΛΑΦΟΣ καὶ ΙΑΛΜΕΝΟΣ υἷες Ἄρηος.
. . . .
τοῖς δὲ ΤΡΙΗΚΟΝΤΑ γλαφυραὶ νέες ἐστιχόωντο.

3ον Αὐτὰρ ΦΩΚΗΩΝ ΣΧΕΔΙΟΣ καὶ ΕΠΙΣΤΡΟΦΟΣ ἦρχον,
. . . .
τοῖς δ' ἅμα ΤΕΣΣΑΡΑΚΟΝΤΑ μέλαιναι νῆες ἕποντο.
Βοιωτῶν δ' ἔμπλην ἐπ' ἀριστερὰ θωρήσσοντο.

4ον ΛΟΚΡΩΝ δ' ἡγεμόνευεν Ὀϊλῆος ταχὺς ΑΙΑΣ,
μείων, οὔτι τόσος γε ὅσος Τελαμώνιος Αἴας,
. . . .
τῷ δ' ἅμα ΤΕΣΣΑΡΑΚΟΝΤΑ μέλαιναι νῆες ἕποντο

5ον Οἳ δ' εἶχον ΦΥΛΑΚΗΝ καὶ ΠΥΡΑΣΣΟΝ ἀνθεμόεντα,
. . . .
τῶν αὖ ΠΡΩΤΕΣΙΛΑΟΣ Ἀρήϊος ἡγεμόνευεν,
ζωὸς ἐών· τότε δ' ἤδη ἔχεν κατὰ γαῖα μέλαινα.
. . . .
Οὐδὲ μὲν οὐδ' οἱ ἄναρχοι ἔσαν, πόθεόν γε μὲν ἀρχόν·
ἀλλά σφεας κόσμησε ΠΟΔΑΡΚΗΣ, ὄζος Ἄρηος,
τῷ δ' ἅμα ΤΕΣΣΑΡΑΚΟΝΤΑ μέλαιναι νῆες ἕποντο.

6ον Οἳ δ' ἄρ' ΑΘΗΝΑΣ εἶχον, ἐϋκτίμενον πτολίεθρον
. . . .
τῶν αὖθ' ἡγεμόνευ' υἱὸς Πετεῶο, ΜΕΝΕΣΘΕΥΣ,
τῷ δ' ἅμα ΠΕΝΤΗΚΟΝΤΑ μέλαιναι νῆες ἕποντο.

7ον ΑΙΑΣ δ' ἐκ ΣΑΛΑΜΙΝΟΣ ἄγεν ΔΥΟΚΑΙΔΕΚΑ νῆας.

8ον Οἳ δ' ΑΡΓΟΣ τ' εἶχον ΤΙΡΥΝΘΑ τε τειχιόεσσαν
. . . .
Τῶν αὖθ' ἡγεμόνευε βοὴν ἀγαθὸς ΔΙΟΜΗΔΗΣ,
καὶ ΣΘΕΝΕΛΟΣ Καπανῆος ἀγακλειτοῦ φίλος υἱός.
Τοῖσι δ' ἅμ' ΕΥΡΥΑΛΟΣ τρίτατος κίεν, ἰσόθεος φώς,
. . . .
Τοῖσι δ' ἅμ' ΟΓΔΩΚΟΝΤΑ μέλαιναι νῆες ἕποντο.

9ον Οἳ δὲ ΜΥΚΗΝΑΣ εἶχον, ἐϋκτίμενον πτολίεθρον,
ἀφνειόν τε Κόρινθον, ἐϋκτιμένας τε Κλεωνάς.
. . . .
Τῶν ΕΚΑΤΟΝ νηῶν ἦρχε κρείων ΑΓΑΜΕΜΝΩΝ.

10ον Οἳ δ' εἶχον κοίλην ΛΑΚΕΔΑΙΜΟΝΑ κητώεσσαν,
Φᾶρίν τε ΣΠΑΡΤΗΝ τε πολυτρήρωνά τε Μέσσην,
. . . .
τῶν οἱ ἀδελφεὸς ἦρχε, βοὴν ἀγαθὸς ΜΕΝΕΛΑΟΣ,
ΕΞΗΚΟΝΤΑ νεῶν· ἀπάτερθε δὲ θωρήσσοντο.

11ον Οἳ δὲ ΠΥΛΟΝ τ' ἐνέμοντο καὶ Ἀρήνην ἐρατεινήν,
. . . .
Τῶν αὖθ' ἡγεμόνευε Γερήνιος ἱππότα ΝΕΣΤΩΡ.
τῷ δ' ΕΝΕΝΗΚΟΝΤΑ γλαφυραὶ νέες ἐστιχόωντο.

12ον Οἳ δ' ἔχον ΑΡΚΑΔΙΗΝ ὑπὸ Κυλλήνης ὄρος αἰπύ,
. . . .
Τῶν ἦρχ' Ἀγκαίοιο πάϊς, κρείων ΑΓΑΠΗΝΩΡ,
ΕΞΗΚΟΝΤΑ νεῶν. . . . .

13ον Οἳ δ' ἄρα ΒΟΥΠΡΑΣΙΟΝ τε καὶ ΗΛΙΔΑ δῖαν ἔναιον,
τῶν αὖ τέσσαρες ἀρχοὶ ἔσαν· ΔΕΚΑ δ' ἀνδρὶ ἑκάστῳ
Νῆες ἕποντο θοαί, πολέες δ' ἔμβαινον Ἐπειοί.
Τῶν μὲν ἄρ' ΑΜΦΙΜΑΧΟΣ καὶ ΘΑΛΠΙΟΣ ἡγησάσθην,
τῶν δ' Ἀμαρυγκείδης ἦρχε κρατερὸς ΔΙΩΡΗΣ·
τῶν δὲ τε τετάρτων ἦρχε ΠΟΛΥΞΕΙΝΟΣ θεοειδής.

14ον Οἳ δ' ἐκ ΔΟΥΛΙΧΙΟΙΟ, ΕΧΙΝΑΩΝ θ' ἱεράων
. . . .
Τῶν αὖθ' ἡγεμόνευε ΜΕΓΗΣ ἀτάλαντος Ἄρηϊ,
τῷ δ' ἅμα ΤΕΣΣΑΡΑΚΟΝΤΑ μέλαιναι νῆες ἕποντο.

15ον Αὐτὰρ ΟΔΥΣΣΕΥΣ ἦγε ΚΕΦΑΛΛΗΝΑΣ μεγαθύμους
οἵ ῥ' ΙΘΑΚΗΝ εἶχον καὶ Νήριτον εἰνοσίφυλλον
τῷ δ' ἅμα νῆες ἕποντο ΔΥΩΔΕΚΑ μιλτοπάρῃοι.

16ον ΑΙΤΩΛΩΝ δ' ἡγεῖτο ΘΟΑΣ, Ἀνδραίμονος υἱός,
. . . .
Τῷ δ' ἅμα ΤΕΣΣΑΡΑΚΟΝΤΑ μέλαιναι νῆες ἕποντο.

17ον ΚΡΗΤΩΝ δ' ΙΔΟΜΕΝΕΥΣ δουρικλυτὸς ἡγεμόνευεν,
. . . .
ΜΗΡΙΟΝΗΣ τ', ἀτάλαντος Ἐνυαλίῳ ἀνδρειφόντῃ.
Τοῖσι δ' ἅμ' ΟΓΔΩΚΟΝΤΑ μέλαιναι νῆες ἕποντο

18ον ΤΛΗΠΟΛΕΜΟΣ δ' Ἡρακλείδης, ἠΰς τε μέγας τε,
ἐκ ΡΟΔΟΥ ΕΝΝΕΑ νῆας ἄγεν Ῥοδίων ἀγερώχων,
. . . .

19ον ΝΙΡΕΥΣ αὖ Σύμηθεν ἄγε ΤΡΕΙΣ νῆας ἐΐσας.
Νιρεύς, Ἀγλαΐης υἱός, Χαρόποιό τ' ἄνακτος.

20ον Οἳ δ' ἄρα ΝΙΣΥΡΟΝ τ' εἶχον ΚΡΑΠΑΘΟΝ τε ΚΑΣΟΝ τε,
καὶ ΚΩΝ Εὐρυπύλοιο πόλιν, νήσους τε Καλύδνας.
τῶν αὖ ΦΕΙΔΙΠΠΟΣ τε καὶ ΑΝΤΙΦΟΣ ἡγησάσθην
τοῖς δὲ ΤΡΙΗΚΟΝΤΑ γλαφυραὶ νέες ἐστιχόωντο.

21ον Οἳ δ' ΕΥΒΟΙΑΝ ἔχον μένεα πνείοντες Ἄβαντες,
τῶν αὖθ' ἡγεμόνευ' ΕΛΕΦΗΝΩΡ, ὄζος Ἄρηος,
τῷ δ' ἅμα ΤΕΣΣΑΡΑΚΟΝΤΑ μέλαιναι νῆες ἕποντο.

22ον Νῦν αὖ τούς, ὅσσοι τὸ ΠΕΛΑΣΓΙΚΟΝ ΑΡΓΟΣ ἔναιον
Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί,
τῶν αὖ ΠΕΝΤΗΚΟΝΤΑ νεῶν ἦν ἀρχὸς ΑΧΙΛΛΕΥΣ.

23ον Οἳ δὲ ΦΕΡΑΣ ἐνέμοντο παραὶ Βοιβηΐδα λίμνην,
τῶν ἦρχ' Ἀδμήτοιο φίλος παῖς ΕΝΔΕΚΑ νηῶν,
ΕΥΜΗΛΟΣ

24ον Οἳ δ' ἄρα ΜΗΘΩΝΗΝ καὶ ΘΑΥΜΑΚΙΗΝ ἐνέμοντο,
τῶν δὲ ΦΙΛΟΚΤΗΤΗΣ ἦρχεν, τόξων εὖ εἰδώς,
ΕΠΤΑ νεῶν· ἐρέται δ' ἐν ἑκάστῃ ΠΕΝΤΗΚΟΝΤΑ.
Ἀλλ' ὁ μὲν ἐν νήσῳ κεῖτο κρατέρ' ἄλγεα πάσχων,
Λήμνῳ ἐν ἠγαθέῃ, ὅθι μιν λίπον υἷες Ἀχαιῶν.
Ἀλλὰ ΜΕΔΩΝ κόσμησεν, Ὀϊλῆος νόθος υἱός.

25ον Οἳ δ' εἶχον ΤΡΙΚΚΗΝ καὶ ΙΘΩΜΗΝ κλωμακόεσσαν
τῶν αὖθ' ἡγείσθην Ἀσκληπιοῦ δύο παῖδε,
Ἰητῆρ' ἀγαθώ, ΠΟΔΑΛΕΙΡΙΟΣ ἠδὲ ΜΑΧΑΩΝ.
Τοῖς δὲ ΤΡΙΗΚΟΝΤΑ γλαφυραὶ νέες ἐστιχόωντο.

26ον Οἳ δ' ἔχον ΟΡΜΕΝΙΟΝ, οἵ τε κρήνην Ὑπέρειαν,
τῶν ἦρχ' ΕΥΡΥΠΥΛΟΣ, Εὐαίμονος ἀγλαὸς υἱός,
τῷ δ' ἅμα ΤΕΣΣΑΡΑΚΟΝΤΑ μέλαιναι νῆες ἕποντο.

27ον Οἳ δ' ΑΡΓΙΣΣΑΝ ἔχον, καὶ Γυρτώνην ἐνέμοντο,
τῶν αὖθ' ἡγεμόνευε μενεπτόλεμος ΠΟΛΥΠΟΙΤΗΣ.
Οὐκ οἶος, ἅμα τῷ γε ΛΕΟΝΤΕΥΣ ὄζος Ἄρηος.
Τοῖς δ' ἅμα ΤΕΣΣΑΡΑΚΟΝΤΑ μέλαιναι νῆες ἕποντο.

28ον ΓΟΥΝΕΥΣ δ' ἐκ ΚΥΦΟΥ, ἦγε ΔΥΟ καὶ ΕΙΚΟΣΙ νῆας.

29ον ΜΑΓΝΗΤΩΝ δ' ἦρχε ΠΡΟΘΟΟΣ, Τενθρηδόνος υἱός,
τῷ δ' ἅμα ΤΕΣΣΑΡΑΚΟΝΤΑ μέλαιναι νῆες ἕποντο.
Οὗτοι ἄρ' ἡγεμόνες Δαναῶν καὶ κοίρανοι ἦσαν·

Ἀργεῖοι δὲ νεῶν μὲν ἐχώρησαν καὶ ἀνάγκῃ τῶν πρωτέων, αὐτοῦ δὲ παρὰ κλισίῃσιν ἔμειναν (Ο 656–657)

Ἀλλ' ὅτε δὴ κατὰ νῆας Ὀδυσσῆος θείοιο
Ἷξε θέων Πάτροκλος, ἵνα σφ' ἀγορή τε θέμις τε
Ἤην, τῇ δὴ καί σφι θεῶν ἐτετεύχατο βωμοί.
Ἔνθα οἱ Εὐρύπυλος βεβλημένος ἀντεβόλησεν. (Λ 806)

ΙΛΙΑΔΟΣ

ΣΤΡΑΤΗΓΙΚΗ ΔΙΑΣΚΕΥΗ

ΚΑΙ


ΤΟΠΟΓΡΑΦΙΑ

ὑπὸ

Γ. ΝΙΚΟΛΑΪΔΟΥ

ΑΘΗΝΗΣΙ

Ἀθῆναι Λιθ. Δ. Γαλανάκη & Σ^ας



ΙΛΙΑΔΟΣ
ΣΤΡΑΤΗΓΙΚΗ ΔΙΑΣΚΕΥΗ
ΚΑΙ
ΤΟΠΟΓΡΑΦΙΑ
ὑπὸ
Γ. ΝΙΚΟΛΑΪΔΟΥ
ΑΘΗΝΗΣΙ
ΙΔΗ
ΚΑΜΑΡΑ
ΣΙΜΟΕΙΣ
ΚΑΛΛΙΚΟΛΩΝΗ
ΝΕΟΝ ΙΛΙΟΝ

Εὑρίσκεται παρὰ τοῖς Βιβλιοπώλαις κ. κ.

C. Wilberg, Σ. Κ. Βλαστῷ, Ν. Νάκῃ καὶ C. Beck

καὶ τιμᾶται δραχ. νέων 6.